ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Τῷ ὀναγνώστῃ Κυριλλῷ Βενιαμὶν
ὁ συγγραφεύς.

ΠΕΡΙ

ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ

ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ

ΑΠΟ ΤΩΝ ΑΡΧΑΙΟΤΑΤΩΝ ΧΡΟΝΩΝ

ΜΕΧΡΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ

385
αρ. 379
ΑΣ 18

ΥΠΟ

ΓΕΩΡΓΙΟΥ Α. ΚΩΣΤΟΜΟΙΡΗ

ΟΦΘΑΛΜΙΚΟΥ ΚΑΙ ΩΤΙΚΟΥ

Ἰητρικὴ δὲ πάντα πάλαι ὑπάρχει, καὶ ἀρχὴ καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς ἔχοντα εὑρηται ἐν πολλῷ χρόνῳ, καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἢν τις ἱκανός τε ἰὼν καὶ τὰ εὑρημένα εἰδώς, ἐκ τουτέων ὁρμώμενος ζητέῃ. Ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν καὶ φήσει τι εὑρηκέναι, ἐξαπατᾶται καὶ ἐξαπατᾷ· ἀδύνατον γάρ.

ΙΠΠΟΚΡΑΤΗΣ Περὶ ἀρχαίης ἰητρικῆς 2.

ΕΝ ΑΘΗΝΑΙΣ

ΕΚ ΤΟΥ ΤΥΠΟΓΡΑΦΕΙΟΥ ΤΩΝ ΑΔΕΛΦΩΝ ΠΕΡΡΗ

1887

ΝΕΑΥΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ"
ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878

Μελετίου Περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς. Cramer. 3ᵘᵃ. Oxonii 1836 καὶ Patrologiæ Tom. 64.
Μοσχόπουλος. Περὶ Σχεδῶν. Lutetiæ 1545.
Μόσχος. God. Hermannus. Lipsiæ 1849.
Νίκανδρος. Schneider. Lipsiæ 1856.
Νόννος Θεοφάνης. Steph. Bernard. 1-2. Gotæ 1794-5.
Ὅμηρος. Dindorf. Lipsiae 1875-7 καὶ Didot. Parisiis 1856.
Ὀππιανός. Κυνηγετικὰ καὶ Ἁλιευτικά. Schneider. Lipsiæ 1813.
Ὀρειβάσιος. Bussemaker et Daremberg. 1-4. Paris 1851-62.
Ὀρφεύς. God. Hermannus. Lipsiæ 1805.
Παῦλος ὁ Αἰγινήτης. Aldi. Venetiis 1528 καὶ Briaux. Paris 1855.
Πολυδεύκους Ὀνομαστικόν. Dindorfius. 1-5. Lipsiæ 1824.
Πορφύριος Μάλχος. Περὶ ἀποχῆς ἐμψύχων. J. de Rhoer. Trajecti ad Rhenum 1767.
Ῥοῦφος. Matthæi. Mosquæ 1806.
Σέξτος ὁ Ἐμπειρικός. Imm. Bekkeri. Berolini 1842.
Σιμπλικίου Ὑπομνήματα εἰς τὰ 8 Ἀριστοτέλους Φυσικῆς ἀκροάσεως. Aldus. Venetiis 1526.
Σουΐδας. God. Bernhardy. 1-2. 1853.
Στέφανος Βυζάντιος. Περὶ πόλεων. Amstelædami 1725.
Σχόλια εἰς τοὺς Ἕλληνας συγγραφεῖς.
Στοβαίου Ἀνθολόγιον. Aug. Meineke. 1-4. Lipsiæ 1855-7.
Τζέτζου Ἰ. Βιβλίον Ἱστορικῆς. Kiesslingius. Lipsiæ 1826.
Τζέτζου Ἰ. καὶ Ἰσαακίου Σχόλια εἰς Λυκόφρονα. Müller. Lipsiæ 1811.
Τραλλιανὸς Ἀλέξανδρος. Th. Puschmann. 1-2. Wien 1878-9.
Φωτίου Ἀπογραφὴ καὶ συναρίθμησις βιβλίων. Imm. Bekkeri. 1-2. Berolini 1825.
Χοιροβοσκὸς Γεώργιος. Th. Gaisford. 1-3. Oxonii 1842.

Andreæ, Aug. Zur ältesten Geschichte der Augenheilkunde. Magdeburg 1841.
Andreæ, Aug. Die Augenheilkunde des Hippocrates. Magdeburg 1843.
Buchholz. Die Homerischen Realien. Leipzig 1871-83.
Wise, T.A. Commentary on the Hindu system of medicine. London 1860.
Wise, T. A. Review of the history of medicine. 1-2. London 1867.
Curtius, G. Griechische Etymologie, 4 Aufl. Leipzig 1873. Ἐτ. σημαίνει τὸ βιβλίον τοῦτο.
Daremberg, Ch. Études d'archéologie medicale sur Homère. Revue Archéologique XII, 95, 249, 338.
Daremberg, Ch. De l'état de la médecine entre Homère et Hippocrate. Revue Archéologique 1868. XVIII, 345. XIX, 63, 199, 259.
Deffner, Mich. Zakonische Grammatik. Berlin 1881.
Friedreich. Die Realien in der Iliade und Odyssée. Erlangen 1851.
Gellii Noctes atticæ. Londini 1824.
Hirsch, Aug. Geschichte der Augenheilkunde. Leipzig 1877.
Hygini Fabulæ. Bernhardus Bunte. Lipsiæ 1856.
Jugler. Bibliotheca ophthalmica. Dessau 1783.
Magnus, Hugo. Die Anatomie des Auges bei den Griechen und Römern. Leipzig 1878.

Magnus, Hugo. Geschichte des grauen Staares. Leipzig 1876.
Papyrus Ebers. Das hermetische Buch über die Arzneimittel der alten Egypter in hieratischer Schrift. 2 Bde. Leipzig 1875.
Papyrus, Berliner von Brugsch in Allg. Monatsschrift für Wissenschaft und Litteratur 1853.
Plinius. Jul. Sillig. 1-5. Lipsiæ 1831-6.
Sprengel, Kurt. Geschichte der Arzneikunde. Halle 1821.
Susruta. Ayurvédas. Uebersetzt von Hessler. Erlangae 1844-1855.
Trillerus. Opuscula medica et medicophilologica. 1-3. Lipsiæ 1766.
Wallroth's Syntagma de Ophthalmologia veterum. Halæ 1818.
Zeller, Eduard. Die Philosophie der Griechen. 4te. 1-5. Leipzig 1876-81.
Zeller, Eduard. Gründriss der Geschichte der Griechischen Philosophie. 2te Aufl. Leipzig 1885, ἐξελληνισθεῖσα ὑπὸ Μ. Εὐαγγελίδου 1886.

ΔΕΣΧΗ ΠΛΩΜΑΡΙΟΥ "ΒΕΝΙΑΜΙΝ Ο ΛΕΣΒΙΟΣ" • ΕΤΟΣ ΙΔΡΥΣΗΣ 1878 •

ΠΡΟΛΟΓΟΣ

Αὐτὴ καθ' αὑτὴν ἡ ἐν τῇ προμετωπίδι Ἱπποκράτειος ῥήτρα σαφέστατα ἐξηγεῖται τί τὸ παρορμῆσαν ἡμᾶς ἐπὶ συγγραφὴν οὕτω πολύμοχθον καὶ ἄγονον κατὰ τὸ φαινόμενον καὶ τίς ὁ σκοπός, ὃν προεθέμεθα. Ἀδύνατον γὰρ ὄντως Ἑλληνικὴν δὴ ὀφθαλμολογίαν καὶ ὠτολογίαν τῶν καθ' ἡμᾶς χρόνων συγγράψαι, εἰ μή τις πάντα τῶν πάλαι Ἑλλήνων τὰ εὑρήματα καὶ οἷς ἐκεῖνοι ἐχρῶντο ἐπιστημονικοῖς ὅροις καλῶς ἐπίσταται, τούτων δὲ τὰ κύριά γε καὶ χρήσιμα ἐν αὐτῇ συμπεριλάβοι σὺν ταῖς νεωτέραις τῶν νῦν σοφῶν ἐρεύναις· πλεῖστα γὰρ καὶ καλὰ γνωστὰ ἦν τοῖς Ἕλλησιν, οὐ δικαίως δέ, δοκεῖ μοι, πολλὰ τούτων παρημελημένα τυγχάνει.

Ἐπὶ ταύτης οὖν τῆς ἀρχῆς ἐρειδόμενοι καὶ ὡς οἷόν τε κατ' ἐπίστασιν ἐπὶ δώδεκα ὅλα ἔτη τὰς ἀρχικὰς πηγὰς μελετήσαντες συγγράψαι ἐπεχειρήσαμεν πρῶτον *Περὶ ὀφθαλμολογίας καὶ ὠτολογίας τῶν ἀρχαίων Ἑλλήνων ἀπὸ τῶν ἀρχαιοτάτων χρόνων μέχρις Ἱπποκράτους*, ὃ νῦν εἰς φῶς ἐκδίδοται, δεύτερον *Περὶ ὀφθαλμολογίας καὶ ὠτολογίας τῶν Ἑλλήνων ἀπὸ Ἱπποκράτους μέχρι τῶν καθ' ἡμᾶς χρόνων* μετ' εἰκόνων, ὃ ὅσον οὔπω ἐκδοθήσεται, πλῆρες δὲ λεξικὸν τῶν ὀφθαλμικῶν καὶ ὠτικῶν ὅρων καὶ τοῦ περιεχομένου ἐν τέλει προστεθήσεται· τρίτον δ' ἐπὶ τούτοις *Περὶ Ἑλληνικῆς ὀφθαλμολογίας καὶ ὠτολογίας τῶν καθ' ἡμᾶς χρόνων* μετ' εἰκόνων ὡσαύτως, ἔνθα ἡ παροῦσα τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης κατάστασις ἐρευνᾶται, πάντα δὲ τῶν ἀρχαίων Ἑλλήνων καὶ τὸ νῦν ἔτι χρήσιμα εὑρήματα συμπεριείληπται καὶ ἐξ ἐπιστάσεως ἐξηκρίβωται.

Καὶ τὰ μὲν δύο πρῶτα ἐν ἀρχαΐζούσῃ πως φωνῇ γέγραπται, ἵνα μὴ μόνον τοῖς Ἕλλησιν ἀλλὰ καὶ πᾶσι τοῖς ἑλληνίζουσι χρήσιμα ᾖ· τὸ δὲ τρίτον ἐν λέξει καθωμιλημένῃ ἁπλῇ ὡς οἷόν τε καὶ σαφεῖ· τοῦτο γὰρ Ἑλλήνων μόνον ἰατρῶν καὶ φοιτητῶν χάριν γέγραπται.

Καὶ εὖ μὲν εἰδότες τὸ πολύμοχθον καὶ πολυδάπανον καὶ χαλεπὸν τοῦ ἔργου ἀνομολογοῦμεν τὸ τοῦ Σωκράτους, ὡς χαλεπὸν οὕτω τι ποιῆσαι, ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντα μὴ ἀγνώμονι καὶ φιλαιτίῳ κριτῇ περιτυχεῖν (Ξεν. Ἀπομν. Β, η, 5)· ἀλλὰ μὴν ὡς κάλλιστα καὶ προθυμότατα τό γ' ἐφ' ἡμῖν τῆς ὅλης συγγραφῆς ἐπεμελήθημεν, ὥστε πεποίθαμεν ἥκιστα μὲν ἐν αἰτίᾳ ἔσεσθαι, μάλιστα δ' εὐγνώμοσι κριταῖς περιτεύξεσθαι καὶ τῇ ἀπορίᾳ βοήθειαν εὑρήσειν.

Καὶ οὐδεὶς μὲν μόχθος, οὐδεμία δὲ δαπάνη, οὐ μὴν ἀλλ' οὐδ' ἀδίκου κριτοῦ κρίσις κωλύσει ἡμᾶς τῆς ὡς τάχιστα δημοσιεύσεως τοῦ ὅλου ἔργου· χάριτας δὲ μεγάλας παντὶ δικαίῳ καὶ εὐγνώμονι κριτῇ ὁμολογήσομεν, εἴ τι χρήσιμον ἡμῖν εἴτ' ἰδίᾳ εἴτε δημοσίᾳ συμβουλεύσειε.

ΠΙΝΑΞ ΤΩΝ ΠΕΡΙΕΧΟΜΕΝΩΝ

Προλογος. . . . . γ′
Πηγαι . . . . . ιδ′

Α. Πως η νυν οφθαλμολογια και ωτολογια παρα τοις αρχαιοις λεγεται και πως ο οφθαλμολογος και ωτολογος 3-7.

Ἡ ὀφθαλμολογία ἐπιγέγραπται ὧδε· Περὶ ὄψιος ἢ Περὶ ὄψιος λόγος, Περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων παθῶν, Περὶ θεραπείας ὀφθαλμῶν 3, Περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν, Πόσα καὶ τίνα πάθη περὶ ἓν ἕκαστον μέρος τοῦ ὀφθαλμοῦ συνίσταται· ῥητέα δ' ἂν εἴη καὶ περὶ ὀφθαλμῶν ἢ περὶ παθῶν ὀφθαλμῶν ἢ περὶ ὀφθαλμικῶν παθῶν, πρὸς δὲ ὀφθαλμική· ὀφθαλμολογία καλῶς ἔχει, ὀφθαλμιολογία οὐ καλῶς. Ὁ ὀφθαλμολόγος λέγεται ἰατρὸς ὀφθαλμῶν, ὀφθαλμοὺς θεραπεύων, ὀφθαλμικὸς καὶ ὀφθαλμόσοφος· ὀφθαλμολόγος ὀρθῶς ἔχει, ὀφθαλμιολόγος οὐ καλῶς. Ἡ ὠτολογία εἴρηται· Περὶ τῶν ἐν τοῖς ὠσὶ παθῶν· ῥητέα δ' ἂν εἴη καὶ περὶ ὤτων ἢ περὶ παθῶν ὤτων ἢ περὶ ὠτικῶν παθῶν, πρὸς δὲ ὠτική· ὠτολογία ὀρθῶς ἔχει. Ὁ ὠτολόγος ῥητέος ἂν εἴη ἰατρὸς ὤτων, ὦτα θεραπεύων, ὠτικὸς καὶ ὠτόσοφος· ὠτολόγος ὀρθῶς ἔχει 4. Ὀφθαλμία ἐστὶν ἡ τοῦ ἐπιπεφυκότος φλόγωσις 5· ὀφθαλμιολόγος ἄρα ὁ τῆς ὀφθαλμίας ἐπιστήμων καὶ ὀφθαλμιολογία ἡ περὶ αὐτῆς ἐπιστήμη 6.

Β. Τι εστιν ανατομη η ανατομαι 7-17.

Ἀνατομαὶ παρ' Ἀριστοτέλει ἐστὶ πρῶτον μὲν ζῴων διαίρεσις, καὶ δὴ οἱ περὶ Ἀναξαγόραν νεκροὺς ἀνέτεμνον 7, αὐτὸς δὲ κριόν, οἱ δὲ Λακεδαιμόνιοι Ἀριστομένην, καὶ Ἀριστοτέλης μὲν καὶ ζῶντα δή ζῷα 8, οἱ δὲ πρὸ αὐτοῦ τεθνεῶτα μόνον 9· κυρίως δ' ἀνατομαὶ βιβλία ἐστίν, ἐν οἷς καὶ σχήματα 10. Ἐν τοῖς Ἱπποκράτους βιβλίον «Περὶ ἀνατομῆς» ἐστι. Ἀνατομαί ἐστιν ἡ τῶν ζῴων διαίρεσις παρὰ Θεοφράστῳ· ἀνατομὴ δὲ παρὰ Νόννῳ. Τί ἐστιν ἀνατομὴ ἢ ἀνατομαὶ παρὰ Γαληνῷ· ἡ ἐπιστήμη κυρίως ἡ ἀνατομικὴ 11, ἀνατομικὴ θεωρία, ἀνατομική· πρὸς δὲ ἡ τῶν ζῴων διαίρεσις. Ἀνατομὴ κατὰ τὸ ἔτυμόν ἐστι ζῴων ἀνάσχισις 12· διὰ δὲ τὸν ἀεὶ ἐπιστημονικὸν αὐτῆς σκοπὸν ἀνατομὴ εἴρηται κυρίως ἡ ἐπιστήμη καὶ τὰ βιβλία 13. Ἀνατομικὴ ἐγχείρησίς ἐστι παρὰ Γαληνῷ ἡ τέχνη τοῦ διαιρεῖν τὰ μόρια· ἐπιγράφει Περὶ μυῶν ἀνατομῆς ἢ Περὶ μήτρας ἀνατομῆς βιβλίον κτλ· λέγει ἀνατομάς, ἀνατομικὰς βίβλους ἢ βιβλία ἢ συγγράμματα 14. Τί ἄρα ἔκπαλαι ἀνατομὴ ἢ ἀνατομαί. Πῶς οἱ πάλαι τὰ ἀνατομικὰ βιβλία ἐπιγράφουσι (13) καὶ πῶς ἂν εἴη ἐπιγράψαι 15. Ἀνατομικὸς ἢ ἀνατέμνων ἐστὶν ὁ ἐπιστήμων· ἀνατόμος οὐκ ὀρθόν, *ἀνάτομος*, *ἀνατομία*, ὀρθῶς ἔχει 16—17.

Γ. Περι αρχης της ανατομης οφθαλμων και ωτων 18-41.

Παλαιτάτη ἂν εἴη· Προμηθεὺς γὰρ καὶ Χείρων ἀνατομικοὶ καὶ Ὅμηρος εὖ οἶδε τὰ

τῆς ἀνατομῆς καὶ τὸ 37ον Ἑρμοῦ βιβλίον ἀνατομικόν. Ἡ ἀνατομὴ τά τε ἐντὸς καὶ τὰ ἐκτὸς μόρια ὀνομάζει καὶ περιγράφει 18.

α'. Περὶ ἀρχῆς τῆς τῶν ἔξω μορίων ἀνατομῆς 19.

Αἱ ὀφθαλμῶν καὶ ὤτων ὀνομασίαι διάφοροι παρὰ τοῖς διαφόροις φύλοις· αἱ τῶν Αἰολέων καὶ Βοιωτῶν ἀρχαιότεραι. Ἀρχέτυπος ῥίζα *οκ*, ἐξ ἧς *οπ*, ἐπὶ τῶν ὀμμάτων καὶ *αυ*, *αF* ἢ *αυσ* ἐπὶ τῶν ὤτων 19· παλαίταται ὀφθαλμῶν ὀνομασίαι αἱ ἐκ τῆς *οκ*, τῶν δ' ὤτων αἱ ἐκ τῆς *αυ* 20.

α'. Περὶ ὀνομασιῶν ὀμμάτων 20.

1) Αἱ ἐκ τῆς ῥίζης *οκ*· ὄκκος, ὄκταλλος 20, ὄσσε 21· 2) Αἱ ἐκ τῆς *οπ*· ὄππα, ὄθμα 22, ὀπτίλος ἢ ὀπτίλλος ἢ πτίλλος 23, ὀπωπὴ 24, ἐνωπή, ὀφθαλμὸς καὶ ὄμμα 25, ὄψις 26, ὤψ 27, ἡ ὤψ, ὁ ὤψ, τὸ ὤπον 28, ἡ ὄψ 29. 3) Αἱ ἐκ διαφόρων ῥιζῶν παρὰ τοῖς ποιηταῖς ἐν χρήσει· ὄρασις 29, αὐγαί, φάεα 30, γλήνη 31, κόρη 32, βλέφαρον, ὀφρύς, *ἴλλοι*, ὀπαί, δέργματα 33.

β'. Περὶ ἀκοῆς ὀνομασιῶν 34.

Οὖς παρὰ τὸ αὖας, οὖας, ὄας, ἐξ οὗ οὖς καὶ ὦας καὶ ὦς· αὖας καὶ αὖς, ἆτα, αὐτίον· ὠτίον, ὠτάριον. Ἀκοή, ἀκουή, ἀκουά, ἄκουαι. Παρὰ τὸ αὖς, αὐτός, κατὰ Κοραῆν τὸ *αὐτίον* 34. Ἀρήνσιος τὸ παρ' Ἡσυχίῳ «*αὖς· αὐτὸς*» οὐκ ὀρθῶς «*αὔσαυτος· αὐτὸς*» διορθοῦται. «Αὖς· αὐτὸς» ὀρθῶς ἔχει· ἢ ἴσως «αὖς· αὐτίον» διορθωτέον 35. Ἡ ἀρχέτυπος ῥίζα τοῦ οὖς ἐστιν *αυ* (au, aF) ἢ *αυσ*· ἀρχαϊκώτερα δὲ τὸ αὖς, ἆτα, αὐτὶ καὶ ἀδουτάνα 36, μεταγενέστερα δὲ τὸ οὖας, ὄας, οὖς, καὶ τὸ ὦας καὶ ὦς. Διὰ τὴν διάφορον τῆς *αυ* προφορὰν τὰ ποικίλα πάθη. Οὖς· ὦς· οὖας. Ἀκοὴ παρὰ τὸ ἀκούω ἢ παρὰ τὴν ῥίζαν *κοF* 37, σημαίνει τὴν ἐνέργειαν, τὴν αἴσθησιν καὶ τὸ αἰσθητήριον τοῦ ἀκούειν 38.

β'. Περὶ ἀρχῆς τῆς κυρίως ἀνατομῆς 38.

Ἀνατομικὴ βίβλος ἀρχαιοτάτη ἂν εἴη ἡ 37η Ἑρμοῦ καὶ ἀνατομικοὶ οἱ Αἰγύπτιοι διὰ τὰς ταριχείας, οἳ καὶ ὀφθαλμοὺς ἀνέτεμνον, καὶ δὴ καὶ χειρουργοὶ 38 οἱ ταριχευταὶ οἱ παλαίτατοι ἂν εἶεν ἀνατομικοί· πῶς αἱ ταριχεῖαι ἐγίγνοντο 39. Ἡ πρώτη τῆς κυρίως ἀνατομῆς ἀρχὴ τοῖς Ἕλλησιν ἡ μαντικὴ καὶ ἡ σπλαγχνοσκοπία ἐγένετο. Προμηθεὺς μαντικὴν καὶ δὴ σπλαγχνοσκοπίαν καὶ ἀνατομὴν ἐδίδαξε, βοῦν καὶ τὸν Καύκασον ἀνέτεμε 40· καὶ ἀνθρώπων θυσίαι καὶ σπλαγχνοσκοπίαι καὶ δὴ ἀνατομαὶ ἐγίγνοντο· Ὅμηρος ἐν ἀνατομικῇ ἀκριβείᾳ τὰ τῶν τραυμάτων περιγράφει 41.

Δ. Περὶ ἀρχῆς τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας 41-53.

Ἡ αὐτὴ ἂν εἴη τῇ τῆς καθόλου ἰατρικῆς καὶ παλαιτάτη δὴ καθ' Ἱπποκράτην 41· καὶ ἡ ὀφθαλμικὴ καὶ ὠτικὴ ἀρχὴν τὴν δίαιταν καὶ τροφὴν ἔχουσιν, ἄρτος ἄναλος καὶ ὕδωρ ἔσωθεν, γάλα καὶ ὠὰ ὡς τοπικὸν φάρμακον ὀφθαλμῶν καὶ ὤτων. Ἰάματα ὀφθαλμικὰ ἐξ ἐμφύτου ἰάσεως ζῴων· τὴν παρακέντησιν τοῦ ὑποχύματος ἔμαθον ἐκ τῆς αἰγός 24, ὑπόχυμα τὸ τῆς αἰγὸς πάθος καὶ παρακέντησις αὐτοῦ ἂν εἴη ἡ χειρουργία κοὐκ ἀμυγαὶ 43· ὑπόχυσις, ὑπόχυμα καὶ ὑποκεχύσθαι τὸ αὐτό ἐστι πάθος, ἡ δὲ χειρουργία ἁπλῆ παρακέντησις 44. Τὸν τοῦ μαράθου χυμὸν ὡς ὀξυδορκικὸν ἐκ τοῦ ὄφεως ἔμαθον 44· τὸ δὲ χελιδόνιον τὸ μέγα ἐκ τῶν χελιδόνων. Ὁ παθὼν ἰατρὸς ἦν τοῦ ὁμοιοπαθοῦς. Ἀπόλλων πρῶτος ὀφθαλμικὸς μυθολογεῖται· καὶ ἡ Ἀθηνᾶ ὡς ὀφθαλμικὴ τιμᾶται ὑπὸ Διομήδους τε ὡς ὀξυδερκὴς καὶ Λυκούργου ὡς ὀπτιλέτις ἢ ὀφθαλμῖτις· καὶ Ποσειδῶν ὡς ὀφθαλμικὸς παρίσταται. Χείρων τὸν τυφλὸν Φοίνικα ἰᾶται 45 καὶ Ἀσκληπιὸς Ἄσκλην τε καὶ τοὺς Φινέως υἱούς. Παρ' Ἕλλησιν ὀφθαλμικοὶ καὶ ὠτικοὶ οὐκ ἦσαν, ἔκπαλαι δὲ παρ' Αἰγυ-

πτίοις. Κῦρος τὸν ἄριστον ἰατρὸν ὀφθαλμῶν ἤτησε παρ' Ἀμάσιος. Ἡ ἀρχαιοτάτη ὀφθαλμολογία ἂν εἴη ἡ 41η Ἑρμαϊκὴ βίβλος 46 ἢ ὁ παλαίτατος περὶ ὀφθαλμῶν λόγος. Οὐκ ἐξῆν δὲ καινοτομεῖν 47. Ἡ θεὰ Ἶσις τυφλούς τε καὶ κωφοὺς καθ' ὕπνον ἰᾶται. Ἡ τοῦ τυφλοῦ Φερῶνος ἴασις οὔρῳ ἀγνῆς γυναικός. Τῷ οὔρῳ καὶ νῦν ὁ λαὸς πρὸς ὀφθαλμίας χρῆται 48. Μεταλλικὰ ἔμπλαστρα καὶ ἀλοιφαὶ καὶ κολλύρια Αἰγυπτίων· τὸ ἀχάριστον, Αἰγυπτία ἀλοιφὴ διττή, φάνιον σαραπιακόν, ἡ Σεραπίωνος ἔμπλαστρος καὶ ἡ Ἶσις. Οἱ τοῦ Βρουξίου καὶ Ἐβέρσου πάπυροι ἔχουσί τινα ὀφθαλμικὰ 49· ὁ τοῦ Ἐβέρσου πάπυρος καὶ περὶ τῆς θεραπείας ὀφθαλμικῶν παθῶν περιέχει· κροκοδείλου νόσος ἐν ὀφθαλμῷ ἐστι τὸ πτερύγιον, σμαράγδινος ἢ πρασίνη ὄψις τὸ γλαύκωμα, τυφλότης κατὰ τὸ φακοειδὲς ἢ ἀναδρομὴ τοῦ ὕδατος ἐν τοῖς ὀφθαλμοῖς τὸ ὑπόχυμα 50· ἡ παλαιὰ περὶ ὑποχύματος θεωρία καὶ ἡ καταγωγὴ αὐτοῦ ἴσως Ἑρμοῦ ἂν εἴη. Εἰ Ἕλληνες ἐξ Αἰγυπτίων ὀφθαλμικόν τι παρέλαβον. Τὰ τοῦ Σουσρούτα καὶ Χαράκα βιβλία πολλὰ τῶν Ἑλλήνων ὀφθαλμικὰ καὶ ὠτικὰ εὑρήματα ἐνέχουσι 51. Ἡ τοῦ τυφλοῦ Τωβὶτ ἴασις τῇ χολῇ μεγάλου ἰχθύος 52· χρῆσις τῆς θεραπείας ταύτης καὶ νῦν παρὰ τῷ λαῷ 53.

Ε. Περι παλαιτατης προ ομηρου οφθαλμολογιας και ωτολογιας 53 - 109.

Τίνες οἱ τῆς ἰατρικῆς εὑρεταὶ καὶ δὴ καὶ τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας. Μαγικὴ καὶ φυσικὴ ἰατρική. Καὶ εἴ ἐξ ἄλλων Ἕλληνες τὰ στοιχεῖα τῆς ἰατρικῆς καὶ ὀφθαλμολογίας καὶ ὠτολογίας παρέλαβον, τὰ μάλιστα προήγαγον 53.

α'. Περὶ τῆς μαγικῆς ἰατρικῆς 54.

α' Περὶ Κίρκης 54. *β' Περὶ Ἑκάτης. γ' Περὶ Μηδείας* 55. *δ' Περὶ Ἀγαμήδης. ε' Περὶ Πολυδάμνης. ς' Περὶ Ἑλένης* 56.

β'. Περὶ τῆς φυσικῆς ἰατρικῆς 57.

Ἡ φυσικὴ καὶ μαγικὴ ἰατρικὴ στενῶς συνέχονται. Οἵ τε παλαίτατοι ἰατροὶ καὶ οἱ ἱερεῖς Ἀσκληπιοῦ φαρμάκοις καὶ τομαῖς ἀλλὰ καὶ ἐπῳδαῖς ἰῶντο. Ἄβαρις, Τόξαρις καὶ Ζάμολξις ἐπῳδοὶ 57. Ἡ τῶν ἐπῳδῶν ἐπὶ τῆς ψυχῆς καὶ δὴ καὶ ἐφ' ὅλου καὶ μέρους τοῦ σώματος ἰαματικὴ δύναμις καὶ ἐπὶ τῶν ὀφθαλμικῶν δὴ καὶ ὠτικῶν παθῶν 58.

α'. Περὶ Προμηθέως 58.

Ὁ Προμηθέως μῦθος τί διδάσκει· πᾶσαι τέχναι καὶ ἰατρικὴ ἐξ αὐτοῦ 59, ὡς καὶ ἡ θεραπευτικὴ καὶ ἡ ἀνατομική· ἐκ Διὸς αἱ νόσοι 60.

β'. Περὶ Ὀρφέως 60.

Εὑρηκέναι νόσων ἰάματα λέγεται· ἴσως τὰς τῶν ὀμμάτων κόρας ὠνόμασε καὶ περὶ ζῴων γενέσεως εἶπεν 61.

γ'. Περὶ Μουσαίου 61.

Ἰατρικὸς καὶ χρησμολόγος. Οἱ Ὀρφικοὶ ἐν σανίσι κατέγραφον τὰ φάρμακα. Ζωολόγος. Ἀκέσεις νόσων συνέγραψεν 61.

δ'. Περὶ Μελάμποδος 61.

Δράκοντος ἔκγονα τὰ ὦτα αὐτοῦ περιλείχοντα μαντικὴν ἐνέπνευσαν. Εὑρετὴς ἂν εἴη τῆς τῷ λείχειν θεραπείας. Ἴασις τοῦ τυφλοῦ Πλούτου τῷ λείχειν 62. Χρῆσις τῆς τοῦ λείχειν μεθόδου παρὰ τῷ λαῷ. Τῷ λείχειν, ὡς εἰκός, οἱ ὄφεις τὴν κυψέλην ἐξεκάθαιρον καὶ ὀξυηκοΐαν ἐπήγαγον. Οἶδε τὴν τοῦ ἰοῦ τοῦ σιδήρου δύναμιν 63. Τὴν μανίαν τῶν Προιτίδων ἐλλεβόρῳ τῷ λευκῷ ἰάσατο. Τὰ τοῦ πάθους συμπτώματα 64. Καθαρμοῖς καὶ μαντικῇ καὶ φαρμάκοις ἰᾶτο. Καὶ ἀνατομικὸς ἂν εἴη 65.

ε'. *Περὶ Ἀριστ*αίου 66.

Ἰατρικὸς καὶ μαντικὸς λέγεται καὶ πάσας που τὰς τέχνας διδάξαι 66· λοιμοῦ ἀλεξητὴρ ἐγένετο· τὴν Σιλφίου δύναμιν εὗρε· περὶ τὰ χειρουργικὰ ἔμπειρος φαρμάκοις τε καὶ τομαῖς ἰώμενος 67.

ς'. *Περὶ Χείρωνος* 68.

Χείρων ὄντως ἦν, πανεπιστήμων δέ, διδάσκαλος καὶ παιδαγωγὸς τῶν πλείστων ἡρώων 68. Ἀθάνατος μυθολογεῖται καὶ διφυής, θεοῦ δὲ τιμὰς ἔσχεν 69. Ἥπια φάρμακα Ἀσκληπιὸν ἐδίδαξε καὶ Ἀχιλλέα· ὁ τρόπος ἄρα τῆς τῶν τραυμάτων θεραπείας ὁ παρ' Ὁμήρῳ Χείρωνος ἂν εἴη 70· καὶ Ἰάσονα ἰατρικὴν ἐδίδαξε. Πίνδαρος τὴν περὶ τὰ ἰατρικὰ δεινότητα αὐτοῦ ἐξαίρει. Ἐδίδασκε τήν τε χειρουργικὴν καὶ παθολογικὴν 71. Τί ἐστι τὸ *χειρώνειον* 72· πάντες που εὑρετὴν καὶ διδάσκαλον ἰατρικῆς ἀποφαίνουσι· καὶ ἀνατομικὸς ἦν 73· καὶ ὀφθαλμικὸς ἐγένετο τὸν τυφλὸν Φοίνικα θεραπεύσας. Ἡ τύφλωσις Φοίνικος διὰ τὸ ἄπαιδα γενέσθαι νοητέα κατὰ Τζέτζην, ἀλλ' ἀληθῆ τύφλωσιν ἔστι νοεῖν, δοκεῖ μοι, 73.

ζ'. *Περὶ Ἀσκληπιοῦ* 74-100.

Πρῶτος ἴδιος ἰατρικῆς διδάσκαλος καὶ ἀμύμων ἰητὴρ καὶ θεὸς ἰατρικῆς ἐνομίζετο 75. Παυσανίας οἴεται Ἀσκληπιὸν ἐξ ἀρχῆς θεὸν νομισθῆναι, ὡς θεὸς δὲ καὶ ἐν Ὀρφικοῖς ὕμνοις ὑμνεῖται 76 καὶ παρὰ Σοφοκλεῖ· τὸ γένος καὶ ὁ τόπος τῆς γεννήσεως αὐτοῦ 77· τῇ Καισαρικῇ τομῇ ἐς φῶς ἦλθεν· ὑπὸ πυρετοῦ φλεχθεὶς ὤλετο· ἐκ περιπνευμονίας ἔπαθε· καὶ ἄλλοι ἰατροὶ ἐπ' Ἀσκληπιοῦ 78. Ἰᾶτο τὸ μὲν ἐπῳδαῖς, τὸ δὲ φαρμάκοις ποτοῖς ἢ παστοῖς, τὸ δὲ τομαῖς· εὗρε τὴν χειρουργίαν καὶ φαρμακευτικήν 79.

1) *Περὶ Ἀσκληπιοῦ ἰατρικῆς ἐπιστήμης* 80· περὶ ἰατρικῆς καὶ χειρουργικῆς ἐν τοῖς Ἀσκληπιοῦ ἱεροῖς 83· ἄλλοι οἱ Ἀσκληπιάδαι οἱ φυσικοὶ ἰατροὶ καὶ ἄλλοι οἱ ἱερεῖς οἱ θεόπνευστοι ἰατροὶ 84. Ἀσκληπιεῖα παλαίτατα ἱδρύθησαν. Ἀσκληπιὸς εὑρετὴς τῆς τε θείας καὶ τῆς ἀνθρωπικῆς ἰατρικῆς 85. Ἐν τοῖς Ἀσκληπιείοις κατ' ἐπιστήμην ἰατρικὴ ἠσκεῖτο καὶ χειρουργίαι ἐγίγνοντο ὑπὸ τῶν ἱερέων, Ἀσκληπιὸς δ' ἐπιστεύετο τοὺς πάσχοντας ἰᾶσθαι 86. Ὕπνος ναρκωτικὸς καὶ ὑπνωδία ἐν τοῖς ναοῖς 88.

2) *Περὶ ὀφθαλμολογίας καὶ ὠτολογίας Ἀσκληπιοῦ* 89. Τοὺς ἐξορωρυγμένους ὀφθαλμοὺς τῶν Φινειδῶν ἰᾶται καὶ Ἄσκλην ὀφθαλμιῶντα, πρὸς δὲ Ἶρον ὀφθαλμιῶντα ἐπιτάξας αὐτῷ ὄξει λῦσαι κάπρου πιμελὴν κατὰ τῷ ὀφθαλμῷ ὑπαλείψασθαι 90. Τὰ ἐν τοῖς Ἀσκληπιείοις ὀφθαλμικὰ καὶ ὠτικὰ ἰάματα κατὰ τὴν ἔκπαλαι Ἀσκληπιοῦ διδασκαλίαν γίγνοιτ' ἄν. Ἡ τοῦ γλάμωνος Νεοκλείδου δριμυτάτῳ καταπλάσματι θεραπεία 91, ἣ καὶ νῦν παρὰ τῷ λαῷ ἐν χρήσει. Ὁπός ἐστιν ὁ τοῦ σιλφίου. Ἡ τῷ λείχειν τοῦ ὀφθαλμιῶντος Πλούτου ἴασις 92· ὀφθαλμία τὸ πάθος. Ἡ τοῦ Φαλυσίου ἴασις μόνῃ τῇ εἰς τὸν κηρὸν προσβλέψει καὶ τὰ ὑπέρογκα ἴατρα 93. Ἐξορυχθέντος ὀφθαλμοῦ τὸ ἀδύνατον τῆς ἰάσεως εὖ εἰδότες οἱ ἱερεῖς τῇ ἀκολασίᾳ τοῦ Κίλικος δικαιολογοῦσιν. Ὀφθαλμικὸν κολλύριον χρυσοχόου 94. Ὀφθαλμικὰ καὶ ὠτικὰ ἰάματα Ἐπιδαύρου 95. Δράκοντες καὶ κύνες ἱεροὶ ἦσαν τῷ θεῷ τῇ γλώττῃ ὀφθαλμικά τε καὶ ἄλλα πάθη ἰώμενοι, οἱ μὲν ἐν ὕπνῳ, οἱ δ' ὕπαρ 97. Φαρμάκοις καὶ τομαῖς καθ' ὕπνον ἰάσεις καὶ ἄνευ τούτων ἐν τῷ ἐγκαθεύδειν. Ἀναπλήρωσις ἱάματος η' καὶ ι'. Ὁ θεὸς τυφλοῖ αὖθις Ἕρμωνα μὴ δόντα τὰ ἴατρα 98. Ἐν ὄψει βέλος ἐξελκύει καὶ τὰς κόρας εἰς τὰ βλέφαρα ἐναρμόττει. Λόγχῃ τρωθέντα φαρμάκῳ ἰᾶται. Παῖς ἄφωνος ὕπαρ ἄνευ φαρμάκων ἰάθη 99. Δύο ὀφθαλμικὰ ἰάματα ἐν τῇ νήσῳ τοῦ Τιβέρεως· ὁ μὲν Γαῖος θαύματι, ὁ δ' Ἄπρος ὀφθαλμικῷ ἰάθη φαρμάκῳ 100.

η'. *Περὶ τῶν Ἀσκληπιοῦ υἱῶν Ποδαλειρίου καὶ Μαχάονος* 100.

Ἰατροὶ ἀγαθοὶ ὑπὸ τοῦ πατρὸς διδαχθέντες ἢ ὑπὸ Χείρωνος 100. Ποδαλείριος πρε-

σβύτερος 101. Μαχάων χειρουργικός, Ποδαλείριος παθολογικός 102. 104. Δύο μόνοι ἰατροὶ ἐν Τροίᾳ ὑπῆρχον· διὰ τί; 103. Ποδαλείριος καὶ Μαχάων θεῶν τιμὰς ἔσχον. Ποδαλείριος ἐν Σύρνῳ ᾤκησεν 105· Μαχάων δ' ἐν Μεσσηνίᾳ. Μαχάονος παῖδες καὶ ἱερὰ αὐτῶν. Οἱ τῆς Κῶ καὶ Κνίδου Ἀσκληπιάδαι ἐκ Ποδαλειρίου. Γενεαλογία αὐτῶν κατὰ Τζέτζην 106. Περὶ τοῦ τρόπου ᾧ ἰῶντο οἱ Ἀσκληπιάδαι Ὅμηρος διδάσκει 107. Πῶς ἡ τῶν τραυμάτων ἴασις 108.

θ'. Περὶ Τροφωνίου 108.

Ἐν τῷ μαντείῳ αὐτοῦ περὶ ὑγιείας καὶ νόσου ὁ σπλαγχνοσκοπῶν μάντις προὔλεγεν 108. Τῷ εἰσιόντι ἐν τῷ σπηλαίῳ ὀξυτάτη ἡ ὅρασις ἐγίγνετο 109.

Ϛ. Περι ὀφθαλμολογιας και ωτολογιας παρ' ομηρῳ 109-144.

α'. Περὶ ὀφθαλμολογίας παρ' Ὁμήρῳ 110.

α'. Περὶ ἀνατομῆς ὀφθαλμῶν 110.

Μέτωπον, μετώπιον, ὃ οὐκ ἐπίθετον ἀλλὰ τὸ μέτωπόν ἐστι καὶ διὰ τί, ὀφρύες, ἐπισκύνιον, βλέφαρα 110· καὶ αἱ βλεφαρίδες ὑπερφαίνονται· ὑπώπιά ἐστι τὰ ὑποφθάλμια κοῖλα· ὀφθαλμοῦ δὲ θέμεθλα ὁ κόγχος· ῥίζαι δ' ὀφθαλμῶν τὰ ὀπτικὰ νεῦρα ἂν εἶεν. Ὀφθαλμός, ὄμματα, ὄσσε· ὤψ 111, ὄψις, φάεα, ὀπωπή, γλήνη 112.

6'. Περὶ ὀπτικῆς καὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας 112

Ἡ ψυχὴ ἀίδιος καὶ ἄυλος, τὸ δὲ σῶμα ὑλικὸν καὶ φθαρτὸν 112· ἕδρα τῆς ψυχῆς ἡ τῶν φρενῶν ἢ τοῦ θυμοῦ πᾶν τὸ σῶμα· ἐκ γῆς καὶ ὕδατος τὰ πάντα. Τὸ τῆς ὄψεως αἰσθητήριον οἱ ὀφθαλμοί· κύρια αἰσθητήρια οἱ ὀφθαλμοὶ καὶ τὰ ὦτα· φῶς καὶ χρῶμα τὰ ὁρατά· τὸ ὁρᾶν τὸ φῶς ἐστι ζῆν, τὸ δὲ μὴ ὁρᾶν θνήσκειν 113. Τὸ ὁρᾶν διακρίνεται τοῦ νοεῖν· πρῶτον ἡ αἴσθησις, εἶτα δ' ἐκ ταύτης ἡ νόησις 114. Πυρὸς ἡ ὄψις 115. Ἐξιόντος τοῦ πυρὸς ἡ ὄψις γίνεται τῷ ὁμοίῳ ἡ ὄψις. Ἡ πρώτη αὕτη ὀπτικὴ θεωρία ἀρχὴν ἔσχεν ἐκ τοῦ καὶ τὸν Ἥλιον ταῖς ἀπὸ τῶν ὀμμάτων αὐτοῦ ἀπορρεούσαις ἀκτῖσιν ὁρᾶν νομίζεσθαι 116. Αἱ ποικίλαι τῶν ὀμμάτων κινήσεις τί φυσιογνωμονικῶς ἐκφράζουσιν· αἱ πάντοσε κινήσεις τὸ εὐκρινῶς ὁρᾶν 117· τὸ εἰς τοὐπίσω τρέπειν τὰ ὄμματα ἀκηδίαν καὶ περιφρόνησιν καὶ ἐπιχαιρεκακίαν· τὸ ἀτενῶς ὁρᾶν φροντίδα καὶ μέριμναν 118· αἱ ἐπὶ τὰ πλάγια συζυγεῖς κινήσεις φόβον καὶ τρόμον· αἱ πρὸς τὰ κάτω αἰδῶ καὶ σέβας· ἀναίδειαν 119· ὀργὴν καὶ ἀφροσύνην. Αἱ δὲ τῶν βλεφάρων καὶ τῶν ὀφρύων κινήσεις φυσιογνωμονικῶς παριστᾶσιν ἕκστασιν 120, δεινὴν σκυθρωπότητα, μειδίαμα, ὕπνον 121, ἐγρήγορσιν, πένθος 122. Ἡ βούλησις μέγα δύναται ἐν τῷ δακρύειν Ἐκ τίνων ἀφορμῶν δακρύομεν. Ἐκφράσεις ποικίλαι τοῦ δακρύειν 123. Ταῖς ὀφρύσιν ἀνανεύειν καὶ ἐπινεύειν. Ὀφρῦς ῥιπτάζειν 125.

γ'. Περὶ ὀφθαλμικῶν παθῶν 125.

1) *Περὶ τυφλότητος, ἀμαυρώσεως, δυσοράσιας. Ἀχλύς, σκότος, νύξ, ἀήρ.*—Εἰκόνες θανάτου ἐκ τῆς διὰ παντὸς ἀμαυρώσεως 125, λιποθυμίας 126, σκοτοδινίας. Ἀχλύς, σκότος, νὺξ καλύπτει τὸν διὰ παντὸς ἢ προσκαίρως ἀμαυρούμενον 127. Ἀθηνᾶ καὶ Ποσειδῶν πρῶτοι ὀφθαλμικοί· ἡ Ἀθηνᾶ τὴν ἐκ τῆς δειλίας τῶν Ἀχαιῶν δυσοράσιαν ἰάσατο τὸ θεσπέσιον τῆς ἀχλύος νέφος ἀπὸ τῶν ὀφθαλμῶν ἀπώσασα· τὴν ἐκ ῥαγδαίας αἱμορραγίας ἀχλὺν Διομήδους ἀφεῖλε 128· δι' ὃ Διομήδης Ἀθηνᾶς ὀξυδερκοῦς ἱερὸν ἱδρύσατο, εἶτα δὲ καὶ Λυκοῦργος ὀφθαλμίτιδος ἢ ὀπτιλέτιδος ἐν Σπάρτῃ· Ὀδυσσέα ἀχλύι ἢ ἀέρι περικαλύπτει, ἵν' ἀόρατος ᾖ· καὶ πάντες οἱ θεοὶ ἑαυτούς τε καὶ τοὺς ἥρωας. Ποσειδῶν ἀχλὺν κατέχεε κατὰ τῶν ὀφθαλμῶν Ἀχιλλέως καὶ αὖθις ἀφεῖλε 129 τί δ' ἂν εἴη ἡ ἀχλὺς αὕτη; ἴσως πρόσκαιρος τυφλότης δι' ἐπιληπτικὴν ἔκστασιν ἢ ὑπνωδίαν· Ποσει-

δῶν ὑπνοῖ καὶ θαμβοῖ τὰ ὄμματα Ἀλκαθόου 130. Αἱ ἀπὸ τῶν στιλβόντων αὐγαὶ θαμβοῦσι τὰ ὄμματα· πρὸς σκότος προσβλέποντες κάμνουσιν οἱ ὀφθαλμοί. Ὑπνωδίας φαινόμενα ἐν ὀφθαλμοῖς. Τυφλὸς καὶ πηρός ἐστι ὁ τῆς ὄψεως ἐστερημένος 131.

2) *Περὶ ὀφθαλμικῶν τραυμάτων.* Τρῶσις Πεισάνδρου καὶ ἡ Κεβριόνου, καθ' ἃς ἀμφοτέρων οἱ ὀφθαλμοὶ χαμαὶ ἐν τῇ κόνει ἔπεσον 132 πῶς ἂν τοῦτο ἐξηγητέον. Τρῶσις Ἐρύμαντος κατὰ τὸ στόμα, ἐξ ἧς ὕφαιμον ἔπαθε καὶ δὴ καὶ σκότωσιν· οἷα τις ἡ τρῶσις 133 - 4. Τρῶσις Πανδάρου 134. Ἔξωσις τοῦ βολβοῦ τοῦ Ἰλιονέως. Ἡ τύφλωσις τοῦ Κύκλωπος 135. Ὁ μὲν Κύκλωψ ἐκ θεοῦ τὴν τύφλωσιν καὶ τὴν ἴασιν νομίζει 136, ὁ δὲ Ὀδυσσεὺς φυσικὴν τὴν αἰτίαν, τὴν καῦσιν, τὴν δ' ἴασιν ἀδύνατον καὶ ὑπὸ Ποσειδῶνος αὐτοῦ ἀποφαίνει· καὶ Φινεὺς ἀδύνατόν φησι τοὺς κενοὺς αὐτοῦ ὀφθαλμοὺς οὐδὲ θεὸν ἰάσασθαι. Στραβισμός. Κνύζωσις 137· Τί ἐστι κνύζωσις 138· ψωροφθαλμία ἂν εἴη καὶ μαδάρωσις 139.

β'. Περὶ ὠτολογίας παρ' Ὁμήρῳ 139.

α'. Περὶ ὦτων ἀνατομῆς 139.

Οὗς καὶ οὐδὲ εἰσι τὸ μὲν τὸ τῆς ἀκοῆς αἰσθητήριον, τὸ δὲ ὁ κοχλιώδης χόνδρος. Ἀκουὴ δ' ἡ τοῦ ἀκούειν ἐνέργεια 139.

β'. Περὶ ἀκουστικῆς καὶ φυσιολογίας ὦτων 139.

Τὸ οὗς ἀντιληπτικὸν τῶν ψόφων, τούτῳ ἀκούομεν, ἀκούειν καὶ εἰδέναι διαφέρει· πρῶτον δ' ἡ ἀκοὴ καὶ εἶτα ἡ γνῶσις. Ἡ τῆς ἀκοῆς ὀξύτης διάφορος. Κωφὸς ὁ τῆς ἀκοῆς ἐστερημένος· Ὁ ψόφος ἀπὸ τῶν ἀκουστῶν ἀπορρέων βάλλει τὰ ὦτα· δι' αἰθέρος ἡ τοῦ φωτὸς καὶ ἤχου κίνησις. Τί ἂν εἴη αἰθὴρ 140. Ὁ ἰσχυρότερος ψόφος πορρωτέρω ἀκούεται καὶ ἐν ταῖς νάπαις ἰσχυρότερος γίγνεται. Ἡ ἀπόστασις ἀσθενῆ ποιεῖ τὸν ἦχον. Δυσκοΐα ἐξ ἐμφράξεως τῶν ἀκουστικῶν πόρων 141. Ὀνομασίαι τῶν φωνῶν, ἤχων, ψόφων. Ῥήματα ψόφον δηλοῦντα. Ὁ κύων τὰ ὦτα ἀνέχει ἀκροώμενος 142.

γ'. Περὶ ὠτικῶν παθῶν 142.

Δύο παρὰ τὸ οὖς τρῶσες· τρεῖς ὑπὸ τὸ οὖς· τρεῖς ὑπὸ τὴν γνάθον καὶ τὸ οὖς· μία ὑπὲρ τὸ οὖς· μία κατ' αὐτὸ τὸ οὖς 143. Ἀποτομαὶ ὦτων καὶ τὸ τύπτειν αὐτὰ ποινῆς χάριν 144.

Ζ. Περὶ ὀφθαλμολογίας καὶ ὠτολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 144 - 245.

Σπουδαίαν πως ἐπίδοσιν οὐκ ἔσχε (109) βιβλίον ἰατρικὸν οὐδὲν περιεσώθη (203) 144. Διοκλῆς πρῶτος ἀνατομὰς συνέγραψε, Μαρῖνος δ' ἀνατομικὰς ἐγχειρήσεις· περὶ τούτων ἄρα βιβλία ἴδια οὐχ ὑπῆρχεν, ὡς οὔτε περὶ ὀφθαλμῶν οὔτε περὶ ὦτων· ἐκ τῶν ποιητῶν, φιλοσόφων καὶ ἱστορικῶν μόνον τὰ τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας ἔστι πως γνῶναι 145. Ἀπὸ Θαλοῦ ἐπίδοσίς τις φαίνεται· οἱ γὰρ φιλόσοφοι τὰ τῆς ἀνατομῆς καὶ ὀπτικῆς καὶ ἀκουστικῆς προήγαγόν πως. Οἱ μάντεις οἱ πρῶτοι ἀνατομικοὶ διὰ τὰς σπλαγχνοτομίας· ἱστορικῶς πρῶτος Ἀλκμέων (154) καὶ Ἀναξαγόρας 146· ἀλλ' ἔοικε καὶ πρὸ Ὁμήρου ὑπάρχειν τοὺς περὶ τὰς ἀνατομὰς διατρίβοντας. Νέαι ὀνομασίαι διαφόρων μορίων καὶ ἀνατομικαὶ γνώσεις μεθ' Ὅμηρον καὶ τίνες 147.

α'. Περὶ ὀφθαλμολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 149.

α'. Περὶ ἀνατομῆς ὀφθαλμῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 149.

Τῶν αὐτῶν ὡς ἐπὶ τὸ πολὺ ἀνατομικῶν ὅρων ὧν καὶ Ὅμηρος χρῆσιν ποιοῦνται καὶ οἱ μετέπειτα καὶ τίνων· 1) Ἡσίοδος 149· 2) Ἐπικὸς κύκλος· 3) Λυρικοὶ ποιηταί, Ἀρ-

χλοχος, Σιμωνίδης, Ἀλκαῖος 150, Σαπφώ, Σόλων, Ἱππῶναξ, Ἴβυκος, Ἀνακρέων 151, Πίνδαρος· 4) Τραγῳδοὶ καὶ κωμῳδοί, Αἰσχύλος, Σοφοκλῆς, Εὐριπίδης 152, Ἀριστοφάνης· 5) Ἱστορικοί, Ἡρόδοτος, Θουκυδίδης, Ξενοφῶν 153· 6 Φιλόσοφοι· πρῶτοι οὗτοι τὰ ἐντὸς τῶν ὀφθαλμῶν μόρια, ὡς ἔοικεν, ἐσπουδάκασιν· Ἀλκμέων 154, Ἐμπεδοκλῆς, Δημόκριτος 155, Ἀναξαγόρας, Διογένης. Ἀνακεφαλαίωσις τῆς τῶν ὀφθαλμῶν ἀνατομῆς 156.

6'. Περὶ ὀπτικῆς καὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 158-202.

1. Περὶ ὀπτικῆς 158.

Αἱ ὀπτικαὶ ἀλήθειαι καὶ ἡ πρώτη ὀπτικὴ θεωρία καὶ αἱ φυσιολογικαὶ καὶ φυσιογνωμονικαὶ γνώσεις αἱ παρ' Ὁμήρῳ κρατοῦσι καὶ παρὰ τοῖς μετέπειτα ἐπὶ τὸ τελειότερον ἀναπτυχθεῖσαι ὑπὸ τῶν φιλοσόφων ἰδίᾳ 159.

α'. Περὶ ὀπτικῆς παρὰ τοῖς ποιηταῖς 159. Ἡσίοδος πυρὸς τὴν ὄψιν εἶναί φησιν, ἐξιόντος δὲ τοῦ πυρὸς ὁρᾶν ἡμᾶς καὶ φῶς τοῖς ὀφθαλμοῖς ὁρᾶν, τοῦ δὲ φωτὸς ἀγωγὸν τὸν ἀέρα, καὶ πρῶτον ὁρᾶν, εἶτα δὲ νοεῖν, καὶ ὡς μεγάλη ἡ τοῦ φωτὸς ταχύτης καὶ αἰσθητήριον τῆς ὁράσεως οἱ ὀφθαλμοί. Ταὐτὰ δέ που καὶ Αἰσχύλος 160 καὶ Εὐριπίδης· Πίνδαρος δὲ τὴν τῆς ἀπορροῆς ὀπτικὴν θεωρίαν λέγειν ἔοικε 161. Διόπτρον ἤτοι ὄργανόν τι ὀπτικὸν γνωστὸν ἦν ἐπ' Ἀλκαίου καὶ διὰ τί· τῶν κυρτῶν ὑάλων μνείαν ποιεῖται Ἀριστοφάνης 162, τῆς τε χυτῆς καὶ ὀρυκτῆς ὑάλου Ἡρόδοτος· ἐπιπεδόκυρτος ὕαλος ἐν Τύρῳ ἀνευρέθη. Οὐ μόνον ἡ τῶν κυρτῶν φακῶν ἰδιότης τοῦ πῦρ ἅπτειν γνωστὴ ἦν, ἀλλὰ καὶ ἡ τοῦ εὐκρινέστερον δι' αὐτῶν ὁρᾶν 163.

6'. Περὶ ὀπτικῆς τῶν φιλοσόφων 163. Οἱ μὲν τῷ ὁμοίῳ οἱ δὲ τῷ ἐναντίῳ ποιοῦσι τὴν ὄψιν ἐκ τῆς παρατηρήσεως τῆς φύσεως ὁρμώμενοι· καὶ ἄλλοι μὲν ἐξιούσης τῆς ὄψεως 164, ἄλλοι δ' ἀπορροῆς ἀπὸ τῶν ὁρατῶν γιγνομένης ὁρᾶν ἡμᾶς οἴονται· εἰς τὸ μέσον δὲ τούτων ἡ Πλάτωνος ὀπτική. 1) Περὶ ἀρχαίας τῶν Ἰώνων σχολῆς· Θαλῆς, Ἀναξίμανδρος, Ἀναξιμένης 165· Περὶ Διογένους τοῦ Ἀπολλωνιάτου 166. 2) Περὶ Ἐλεατικῆς σχολῆς· Ξενοφάνης 167, Παρμενίδης 168. 3) Περὶ Πυθαγορείων· Φιλόλαος, Ἱππόδαμος, Εὐρύφαμος, Μέτωπος 169-172. 4) Περὶ φυσικῶν τοῦ πέμπτου αἰῶνος· Περὶ Ἀλκμέωνος 172· Περὶ Ἡρακλείτου 175· Περὶ Ἐμπεδοκλέους 177· Περὶ ἀτομικῶν Λευκίππου καὶ Δημοκρίτου τῶν Ἀβδηριτῶν 181· Περὶ Ἀναξαγόρου 186. 5) Περὶ Σοφιστῶν 188· Πρωταγόρας 189· Γοργίας 190.

2. Περὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας 191.

Περὶ ψυχῆς πῶς φυσιολογεῖ Ἡσίοδος, Ἐπίχαρμος, Ἡρόδοτος 191. Αἴσθησιν ἄνευ νοήσεως ἀδύνατον ὑπεμφαίνουσιν Αἰσχύλος, Ἀρχίλοχος καὶ Εὐριπίδης. Ἔσοπτρον δὲ τῶν καλῶν ἔργων τὰς ᾠδὰς λέγει Πίνδαρος. Μέγεθος ὀφθαλμῶν· βοῶπις, ἐξόφθαλμος καὶ κοιλόφθαλμος, σμικρόφθαλμος, μεγαλόφθαλμος καὶ μικρόμματος 192. Χρῶμα· γλαυκῶπις καὶ κυανῶπις ἢ κελαινώπης, γλαυκόμματος καὶ μελανόμματος. Ἀριθμός· μονώψ καὶ κύκλωψ, μυριωπός, πανόπτης, πολύγληνος. Ὁ αἰθὴρ τὸν ὀφθαλμὸν δίκην κύκλου ἡλίου ἐποίησε κατ' Εὐριπίδην, ἀγωγὸς δὲ τοῦ φωτός ἐστι κατ' Αἰσχύλον. Φυσιολογία τῶν ὀμμάτων κατὰ Δημόκριτον 193, κατὰ Σωκράτην, κατὰ Κριτόβουλον. Ὀξυωπέστερος ὁ ἵππος ἐνομίζετο 194. Ὁ λαγὼς οὐκ ὀξὺ βλέπει καὶ διά τί· φυσιολογία τῶν τοῦ λαγὼ βλεφάρων. Ὁ λέων ἐκπεπταμένοις τοῖς ὄμμασι γεννᾶται κατὰ Δημόκριτον. Διάφορος ἡ ὀξύτης τῆς ὁράσεως πέφυκεν. Ὁ ὀξυωπὸς λέγεται δεινὸς ὁρᾶν, ὀξὺ βλέπων 195, εὐόφθαλμος, εὔοπτος, ὀξυωπής, ὀξυωπίας, ὀξυδερκής. Αἱ ποικίλαι τῶν ὀμμάτων κινήσεις

ἐκφράζουσιν· αἱ μὲν πάντοσε τὸ εὐκρινῶς καὶ ἀκριβῶς ὁρᾶν, αἱ δ' ἐπὶ τὰ ὀπίσω περιφρόνησιν καὶ ὀλιγωρίαν, τὸ δ' ἀτενὲς τὸ μὲν ἀκριβῆ ὄψιν τὸ δὲ θράσος καὶ εὐτολμίαν τὸ δὲ ἀναίδειαν 196, αἱ δὲ πρὸς τὰ κάτω κινήσεις αἰδῶ· πρὸς δὲ φόβον, ὀργὴν καὶ ἄγριον βλέμμα 197, χαρίεν βλέμμα. Αἱ δὲ τῶν βλεφάρων κινήσεις παριστᾶσιν ὕπνον 198, θάνατον, ἔρωτα 199. Αἱ δὲ τῶν ὀφρύων κινήσεις σημαίνουσι τὸ ἀνανεύειν καὶ ἐπινεύειν, ὃ Πίνδαρος βλεφάροις ποιεῖ, γέλωτα 200, ὑπερηφανίαν τὸ θλιβερὸν καὶ κατηφές, τὸ σεμνόν, τὸ σκυθρωπόν. Τοῦ δακρύειν ἐκφράσεις 201.

γ'. Περὶ ὀφθαλμικῶν παθῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 202.

Ὀφθαλμικαὶ θεραπεῖαι καὶ ἐν τοῖς ναοῖς Ἀσκληπιοῦ ἐγίγνοντο 202. Οἱ ἰατροὶ καὶ τὰ τῶν ὀφθαλμῶν πάθη ἰῶντο. Τὰ κύρια ὀφθαλμικὰ αὐτῶν εὑρήματα ἐν τοῖς Ἱπποκράτους εὕρηνται καὶ διά τί 203. Περὶ τῶν πρὸ Ἱπποκράτους ἰατρῶν καὶ πῶς τοὺς ὀφθαλμιῶντας ἰῶντο καὶ καθόλου ὅ τι περὶ ὀφθαλμικῶν παθῶν παρὰ ποιηταῖς, ἱστορικοῖς καὶ φιλοσόφοις εὕρηται· Περὶ ἰατρικῆς ἑταιρείας Ἰταλίας καὶ Σικελίας, Δημοκήδης, Παυσανίας, Ἄκρων 205, Ἐμπεδοκλῆς 206, Μητρόδωρος, Ἐπίχαρμος, Πυθαγόρας· Περὶ Κυρηναίων ἰατρῶν· Περὶ Ἀσκληπιαδῶν τῆς Ῥόδου 206· Περὶ Ἀσκληπιαδῶν τῆς Κῶ καὶ Κνίδου· Εὐρυφῶν καὶ Κτησίας Κνίδιοι, γενεαλογία τῶν Κῴων ἰατρῶν 207. Οὗτοι γνήσιοι Ἀσκληπιάδαι Ποδαλειρίου ἀπόγονοι. Πάντες οὗτοι φυσικοὶ ἦσαν ἰατροὶ κοὐχ ἱερεῖς, ἄλλοι δ' οἱ Ἀσκληπιάδαι καὶ ἄλλοι οἱ ἱερεῖς 208. Περὶ παιωνίων ἰατρῶν ἢ παιώνων, οἳ ἀπὸ Παιήονος τὸ γένος ἕλκειν ἐοίκασι 209· οἱ Αἰγύπτιοι ἰατροὶ κυρίως Παιῶνος γένους ἦσαν, ἐξ ὧν ἴσως καὶ ἐν Ἑλλάδι ὑπῆρχον 200. Περὶ ἰατρείων· ἐν τούτοις κλινικῶς τε καὶ ἔξωθεν προσιόντας τοὺς ἀρρώστους καὶ τοὺς ὀφθαλμιῶντας ἰῶντο 211. Ἕκαστος φύσει ἰατρὸς εἶχεν ἰατρεῖον. Ἐν τούτῳ τούς τε ἑαυτοῦ παῖδας ἐδίδασκε καὶ τοὺς ὑπηρέτας· δι' ὃ δύο γένη ἰατρῶν ὑπῆρχον, οἱ φύσει ἰατροί, οἱ ἐλεύθεροι, καὶ οἱ κατ' ἐμπειρίαν ἰατροί, οἱ ὑπηρέται. Καὶ νῦν ἐν Ζαγορίῳ καὶ ἀλλαχοῦ ὑφίσταται ἡ κληρονομικὴ τῆς ἰατρικῆς διδασκαλία. Οἱ τὴν ἰατρικὴν ἀσκοῦντες ἄδειαν παρὰ τῆς πόλεως ἐλάμβανον 212.

Τὰ τῶν ὀφθαλμικῶν παθῶν τῶν χρόνων τούτων ἐκ τῶν ποιητῶν, φιλοσόφων καὶ ἱστορικῶν ἴσμεν. Οὐκ ἂν εἴη σαφῶς εἰπεῖν εἰ αἱ Κωακαὶ προγνώσεις προγενέστεραι Ἱπποκράτους. Τῶν παλαιῶν ἰατρῶν πολλὰ ἦν συγγράμματα. Περὶ αἰτίων παθοποιῶν 213· οἱ μὲν ἐκ θεοῦ τὰς νόσους ἐνόμιζον, οἱ δὲ φυσικὰ αἴτια παρεδέχοντο καὶ τῶν ὀφθαλμικῶν παθῶν 214. Περὶ τυφλότητος, δυσοφασίας, ἀμβλυωπίας 215· Ἀήρ, νεφέλη, νύξ, ἀχλὺς τὸ ὁρατὸν περικαλύπτοντα ἀόρατον ποιοῦσιν, οἷον θεοὶ καὶ δαίμονες 216· τοὺς δ' ὀφθαλμοὺς κατακαλύπτοντα σκοτοῦσιν αὐτούς, οἷον Ἀθηνᾶ σκοτοῖ τὰ τοῦ Αἴαντος ὄμματα· ὁ δὲ θάνατος τὸ μὲν ὡς αἰωνία σκότωσις, τὸ δὲ ὡς διὰ παντὸς τῶν βλεφάρων μύσις παρίσταται 217· πρὸς δὲ καὶ ἐπὶ δυστυχιῶν, ἀσκόπου ἔπους, ἐν τῷ δακρύειν, ἐπὶ μέθης, μανίας καὶ γήρως νεφέλαι, σκότος, ὁμίχλη, ἀχλύς, νὺξ τοὺς ὀφθαλμοὺς καλύπτουσι σκότωσιν καὶ δυσορασίαν ἐπάγοντα. Περὶ ὀφθαλμίας καὶ ψωροφθαλμίας 218. Γλάμων ἐστὶν ὁ ὀφθαλμιῶν· σύκα ἂν εἴη τὰ τραχωματικὰ κοκκία, ἐξ οὗ καὶ σύκωσις· τὸ δάκρυον καὶ δὴ καὶ ἡ λήμη τοῦ αἵματος ταραχθέντος ἐκκρούεται κατ' Ἐμπεδοκλέα. Κοιλοφθαλμία ἐστὶ τὸ τοὺς ὀφθαλμοὺς κοιλαίνεσθαι ἐκ γενικῆς ἀρρωστίας 219. Ὑπαφρον ὄμμ' ἂν εἴη ἡ κνύζωσις ἤτοι ἡ ψωροφθαλμία. Περὶ στραβισμοῦ διάστροφον ὀφθαλμὸν ἔχει ὁ μαινόμενος, μεθύων καὶ λιποθυμῶν 220· ὁ δὲ στραβὸς διπλωπεῖ καὶ δὴ ἀμβλυωπεῖ. Περὶ ὀφθαλμικῶν τραυμάτων· τὸ τὰ ὄμματα ἐξορύττειν πῶς εἴρηται· αὐτόχειρ ἐξόρυξις τῶν ὀμμάτων Οἰδίποδος 222, τοῦ Πολυμήστορος ὑφ' Ἑκάβης· ἡ Κύκλωπος τύφλωσις ὑπ' Ὀδυσσέως κατ' Εὐριπίδην 223· διάφορα ὀφθαλμικὰ τραύματα 224· αὐτόματος τύφλωσις ἄνευ πληγῆς· ἡ τύφλωσις ὡς τιμωρία καὶ ὡς ποινὴ νόμῳ· οἱ Σκύθαι

τοὺς βούλους τυφλοῦσι 125. Περὶ θεραπείας τῶν ὀφθαλμικῶν παθῶν· τὰς τῶν ὀφθαλμῶν ἰάσεις οἱ μὲν ἐκ θεῶν ἐνόμιζον, οἷον Διομήδης τῇ ὀξυδερκεῖ Ἀθηνᾷ ναὸν ἱδρυσάμενος, Λυκοῦργος τῇ ὀπτιλέτιδι ἢ ὀφθαλμίτιδι 226 καὶ Σόλων μόρσιμα καὶ ἐκ θεοῦ τὰ τῆς θεραπευτικῆς ἡγούμενος 227. Οἱ δ' ἰατροὶ φυσικῶς φαρμάκοις τε καὶ τομαῖς τὰς ἰάσεις ἐποιοῦντο· πρόοδον καὶ πεποίθησιν τῇ θεραπευτικῇ δεικνῦσιν αἱ περὶ ἰατρικῆς καὶ χειρουργικῆς καὶ ἰατρῶν γνῶμαι Πινδάρου 228, Αἰσχύλου 229, Σοφοκλέους, Εὐριπίδου 230. Καὶ τὰ ὀφθαλμικὰ πάθη ἔοικε τομαῖς καὶ φαρμάκοις τοὺς ἰατροὺς ἰᾶσθαι καὶ διά τί. Τὰ ὑποβλέφαρα ἤτοι οἱ τεχνητοὶ ὀφθαλμοὶ παλαίτατα τὴν ἀρχὴν ἔχουσιν. Ἴδιοι ὀφθαλμικοὶ τοῖς μὲν Αἰγυπτίοις βεβαίως ἐπὶ Κύρου καὶ Ἡροδότου ὑπῆρχον, τοῖς δ' Ἕλλησιν οὔπω οὐδ' ἐπ' Ἀριστοτέλους. Φάρμακα ὀφθαλμικά· τὸ οὖρον, ᾧ Φερὼν ἰάθη καὶ οὗ καὶ νῦν χρῆσις παρὰ τῷ λαῷ 231· τὸ πήγανον, βλαπτικὸν τῆς ὄψεως κατὰ Πυθαγόραν, ὀξυδορκικὸν δὲ κατ' ἄλλους, οὗ καὶ νῦν χρῆσις· ἡ τῆς δαίνης χολὴ κατὰ Δημόκριτον· τὸ ὄπιον ἀμαυρωτικόν, διάρροδον δὲ τὸ μέγα πανάκεια κατὰ Διαγόραν· ἡ τῷ λείχειν τοῦ Πλούτου θεραπεία καὶ ἡ τοῦ Νεοκλείδου δριμεῖ καταπλάσματι· ἡ Βλεπύρου ἀλοιφὴ πρὸς ἴασιν Νεοκλείδου 232· ὀφθαλμικαὶ ὑπαλείψεις· ἡ χρυσοκόλλα, τὸ τοῦ χαλκοῦ ἄνθος καὶ ἡ Φρυγία τέφρα, πρὸς δὲ βοτάνῃ λόγχῃ παρόμοιος κατ' Ἀριστοτέλην 233.

β'. Περὶ ὠτολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 233-245.

Καὶ τὰ τῆς ὠτολογίας ἐκ τῶν ποιητῶν, ἱστορικῶν καὶ φιλοσόφων ἔστι πως γνῶναι 233· τὰ τῶν παλαιῶν ἰατρῶν κύρια ὠτικὰ εὑρήματα καὶ φάρμακα ἐν τοῖς Ἱπποκράτους κεῖται· τοῖς Αἰγυπτίοις πάλαι ἰδίους ὠτικοὺς ἔοικεν ὑπάρχειν, παρὰ δὲ τοῖς Ἕλλησι καὶ τὰ ὠτικὰ πάθη οἱ ἰατροὶ ἴωντο εἴτ' ἐν ἰατρείοις εἴτ' ἀνὰ τὴν πόλιν· οἱ φιλόσοφοι τὰ τῆς ἀνατομῆς καὶ φυσιολογίας καὶ τῆς ἀκουστικῆς προήγαγον 234.

α'. Περὶ ἀνατομῆς ὤτων ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 234.

Οὔατα καὶ οὔασιν· ὦς· οὖς 234. Ἄκουαι, ἀκουή, ἀκοά. Ἀκούουσα πηγὴ τὸ ἔσω οὖς ἂν εἴη· σάρκινος δ' ὄζος τὸ ἔξω. Ἀλκμέων εὗρε τὸ ἀκουστικὸν νεῦρον καὶ τὴν Εὐσταχιανὴν σάλπιγγα καὶ τὴν φυσιολογίαν αὐτῆς· τὸ κενὸν ἢ κοῖλον, ὁ ἔξω χιτὼν ἤτοι τὸ τύμπανον καὶ τὰ φλέβια ἤτοι οἱ ἀκουστικοὶ πόροι 235· αἱ παρὰ τῇ ἀκοῇ φλέβες 236.

β'. Περὶ ἀκουστικῆς καὶ φυσιολογίας ὤτων ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 236.

Τὰ ὦτα ἔστιν ὥστ' ἀκούειν τὰ ἀκουστά· ἐν αὐτοῖς ὁ θυμὸς οἰκεῖ· τὰ ὦτα ἀπιστότερα ὀφθαλμῶν· ἐνδοχεῖα μύθων τὰ ὦτα κατὰ Δημόκριτον. Κινήσεις τῶν ὤτων τῶν ζῴων 236. Ἀκουστικὴ Σιμωνίδου, Φωκυλίδου, Ἡσιόδου, Σοφοκλέους 237, Εὐριπίδου· ἔξωθεν οἱ ψόφοι εἰς τὰ ὦτα ἐμπίπτοντες τὴν ἀκοὴν ποιοῦσι. Κατὰ δὲ τοὺς φιλοσόφους ὁ ψόφος κίνησις ἀέρος, τὸ δ' ἀκούειν τῇ τοῦ ἐντὸς ἀέρος κινήσει ὑπὸ τοῦ ψόφου γίνεται· οἱ μὲν τῷ ὁμοίῳ, οἱ δὲ τῷ ἐναντίῳ τὴν ἀκοὴν ποιοῦσιν. Ἀκουστικὴ Θάλεω, Ἀναξιμάνδρου καὶ Ἀναξιμένους 238, Διογένους, Παρμενίδου, Πυθαγορείων 239, Ἀλκμέωνος, Ἡρακλείτου 240, Ἐμπεδοκλέους 241, Δημοκρίτου 242, Ἀναξαγόρου 243, Πρωταγόρου καὶ Γοργίου 244.

γ'. Περὶ ὠτικῶν παθῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους 244.

Ὁ κωφὸς παρὰ Σοφοκλεῖ λέγεται καὶ κλύων μηδὲν καὶ τυφλὸς τὰ ὦτα· φραγμὸς τῶν ὤτων δυσηκοΐαν ἐπάγει 244, πρὸς δὲ καὶ ἡ δυστυχία. Ὁ ἐκ γενετῆς κωφὸς καὶ ἄφωνός ἐστιν ἢ ἐνεός· δεινὸν δ' ἡ κώφωσις. Τὸ τέμνειν τὰ ὦτα ὡς ποινὴ παρὰ τοῖς Πέρσαις καὶ ὡς ἔθος κατὰ τὴν κηδείαν βασιλέως παρὰ τοῖς Σκύθαις 245.

ΔΙΟΡΘΩΤΕΑ 246

ΠΗΓΑΙ

Αἰλιανός, Αἰσχύλος, Ἀπολλώνιος, Ἀριστοτέλης, Ἀριστοφάνης, Διογένης ὁ Λαέρτιος, Διόδωρος, Εὐριπίδης, Ἐπικὸς κύκλος, Ἡρόδοτος, Ἡσίοδος, Θεόφραστος, Θουκυδίδης, Κόιντος, Κύλουθος, Λουκιανός, Μουσαῖος, Νόννου Διονυσιακά, Ξενοφῶν, Παυσανίας, Πλάτων, Πλούταρχος, Πολύβιος, Σοφοκλῆς, Στράβων, Ι. Τζέτζου τὰ πρὸ Ὁμήρου κτλ., Τρυφιόδωρος, Φιλοσόφων λείψανα (Fgr. Mullach.), Φιλόστρατος, κατὰ τὴν ἔκδοσιν τοῦ A. F. Didot. Parisiis.

Ἀέτιος. Aldus. Venetiis 1534.

Ἀθήναιος. Ἐκδ. στερεότυπος. 1-4. Lipsiæ 1834.

Ἀλέξανδρος Ἀφρ. Φυσικαὶ καὶ ἠθικαὶ ἀπορίαι καὶ λύσεις. L. Spengel. Monachii 1842.

Ἀλέξανδρος. Εἰς τὰ Μετὰ τὰ φυσικὰ Ἀριστοτέλους. Herm. Bonitz. Berolini 1847.

Ἀναγνωστάκης. Μελέται περὶ τῆς ὀπτικῆς τῶν ἀρχαίων. Ἀθήναις 1878.

Ἀνωνύμου Εἰσαγωγὴ ἀνατομική. Trilleri et Bernard. Lugd. Bat. 1744.

Ἀπολλόδωρος. Ἐκδ. στερεότυπος. Lipsiæ 1832.

Ἀρεταῖος. Ed. Kühn. Vol. 24. Lipsiæ 1828.

Ἀρκάδιος. Περὶ τόνων. Barkerus. Lipsiæ 1820.

Γαληνός. Ed. Kühn. Vol. 1-20. Lipsiæ 1821-33.

Γρηγόριος ὁ Κορίνθου. Περὶ διαλέκτων. Schæfer. 1-2. Lipsiæ 1811.

Διοσκορίδης. Ed. Kühn. Vol. 25-26. Lipsiæ 1829-30.

Ἐπίχαρμος. Aug. Lorenz. Berlin 1864.

Ἐρωτιανός. Jos. Klein. Lipsiæ 1865.

Ἐτυμολογικὸν τὸ μέγα. Th. Gaisford. Oxonii 1848.

Εὐαγγελίδου Μαργαρίτου Ἱστορία τῆς θεωρίας τῆς γνώσεως, Α. Ἀθήναις 1885.

Εὐστάθιος. Weigel. Lipsiæ 1825-30.

Ζωναρᾶς. Λεξικόν. Henr. Tittmann. 1-3. Lipsiæ 1808.

Ἡράκλειτος Μυθολ. Περὶ ἀπίστων. Teucherus. Lemgoviæ 1796.

Ἡσύχιος Ἀλεξ. Λεξικόν. M. Schmidt. 1-5. Jenæ 1858-68.

Ἡσύχιος Μιλήσιος. J. Meursius. Lugduni Batavorum 1613.

Ἡρῳδιανὸς Αἴλιος. Aug. Lentz. 1-2. Lipsiæ 1867-70.

Θεόγνωστος. J. A. Cramer. vol. 2us. Oxonii 1835.

Θεόκριτος. Herm. Fritzsche. Leipzig 1881.

Θεοφίλου Πρωτοσπαθαρίου περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς. Oxonii 1842.

Ἰάμβλιχος. Περὶ μυστηρίων. Gust. Parthey. Berolini 1857.

Ἰάμβλιχος. Περὶ τοῦ Πυθαγορικοῦ βίου λόγος. Th. Kiessling. Lipsiæ 1815-6.

Ἱπποκράτης. E. Littré. 1-10. Paris 1839-61.

Κλήμης ὁ Ἀλεξανδρεύς. Reinh. Klotz. 1-4. Lipsiæ 1831.

Κοραῆς Δ. Ἡλιοδώρου Αἰθιοπικῶν βιβλία δέκα. 1-2. Παρισίοις 1804.

Λυρικῶν ποιητῶν λείψανα. Th. Bergk. 1-3. Lipsiæ 1865-8.

Μαξίμου Τυρίου Λόγοι. Δούκα Ν. Βιέννῃ 1810.

Μαξίμου φιλοσόφου Περὶ καταρχῶν. Ed. Gerhardius. Lipsiæ 1820.

ΠΕΡΙ
ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ
ΤΩΝ ΑΡΧΑΙΩΝ ΕΛΛΗΝΩΝ

Α.

ΠΩΣ Η ΝΥΝ ΟΦΘΑΛΜΟΛΟΓΙΑ ΚΑΙ ΩΤΟΛΟΓΙΑ ΠΑΡΑ ΤΟΙΣ ΑΡΧΑΙΟΙΣ ΛΕΓΕΤΑΙ ΚΑΙ ΠΩΣ Ο ΟΦΘΑΛΜΟΛΟΓΟΣ ΚΑΙ ΩΤΟΛΟΓΟΣ.

Περὶ τῆς τῶν ἀρχαίων Ἑλλήνων ὀφθαλμολογίας καὶ ὠτολογίας συγγράψαι ἐπιχειρήσας, εὔκαιρον ἡγοῦμαι εἰπεῖν, πῶς ἡ νῦν ὀφθαλμολογία καὶ ὠτολογία λεγομένη τοῖς ἀρχαίοις ὠνόμασται καὶ πῶς ὁ ὀφθαλμολόγος καὶ ὠτολόγος.

Καὶ ἐν μὲν τῇ Ἱπποκρατείῳ συλλογῇ 2,152 *Περὶ ὄψιος* ἐπιγέγραπται τὸ περὶ ὀφθαλικῶν παθῶν βιβλίον· *ὄψις* γὰρ παρ' Ἱπποκράτει ὁτὲ μὲν ὀφθαλμὸν ὡς ἐνταῦθα, ὁτὲ δὲ τὴν ὅρασιν, ἄλλοτε τὸν κερατοειδῆ καὶ τὴν ἶριδα καὶ ἄλλοτε τὴν κόρην σημαίνει. Ἔν τινι δὲ τῆς Φλωρεντίας χειρογράφῳ τὸ αὐτὸ βιβλίον ἐπιγέγραπται *Τοῦ αὐτοῦ περὶ ὄψιος λόγος κε'*. Τοῦτο δ' ἀπόσπασμα εἶναι νομίζεται τοῦ περὶ ὀφθαλμῶν βιβλίου, τοῦ ἐν τῷ *Περὶ παθῶν* μνημονευομένου, ὃ τῷ Πολύβῳ ἀποδίδοται 4,214· « Ταῦτα μὲν ὅσα ἀπὸ τῆς κεφαλῆς » φύεται νουσήματα, *πλὴν ὀφθαλμῶν*· ταῦτα δὲ ἰδίως γεγράψεται ». Ἀλλ' ἐκ τῆς λέξεως τοῦ χωρίου τούτου τοῦ Πολύβου εἰκάσειεν ἄν τις, ὅτι ἡ Πολύβου ὀφθαλμολογία οὐκ ἐπεγράφετο *περὶ ὄψιος*, ἀλλὰ *περὶ ὀφθαλμῶν* ἢ *περὶ νοσημάτων ὀφθαλμῶν* ἢ περὶ *παθῶν ὀφθαλμῶν*. Οἱ δὲ μετέπειτα ὧδέ πως τὴν ὀφαλμολογίαν αὐτῶν ἐπιγράφουσιν· οἷον, Γαληνὸς μὲν ἐν Εἰσαγωγῇ ἢ ἰατρῷ ιστ'. 14,767· *Περὶ τῶν ἐν ὀφθαλμοῖς συνισταμένων παθῶν*. Ἀέτιος δ' ἐν ἀρχῇ τοῦ Ζ' καὶ Ἀλέξανδρος Τραλλιανὸς ἐν τῷ *Περὶ θεραπείας ὀφθαλμῶν Β'*. II,3

καὶ Θεοφάνης Νόννος I, 194· *Περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν*. Ἀέτιος Z, 6' ἐπιγράφει προσέτι· *Πόσα καὶ τίνα πάθη περὶ ἓν ἕκαστον μέρος τοῦ ὀφθαλμοῦ συνίσταται.*

Τὴν δ' ὠτολογίαν αὐτῶν Ἀλέξανδρος ὁ Τραλλιανὸς Γ, α'. II,71 καὶ Νόννος I, 264 ἐπιγράφουσι· *Περὶ τῶν ἐν τοῖς ὠσὶ παθῶν.*

Ῥητέα δ' ἂν εἴη καὶ *περὶ ὀφθαλμῶν ἢ περὶ παθῶν ὀφθαλμῶν ἢ περὶ ὀφθαλμικῶν παθῶν* (λόγος ἢ βιβλίον) καὶ *περὶ ὤτων ἢ περὶ παθῶν ὤτων ἢ περὶ ὠτικῶν παθῶν* (λόγος ἢ βιβλίον), πρὸς δὲ καὶ *ὀφθαλμικὴ* καὶ *ὠτικὴ* κατὰ τὸ *ἰατρικὴ* καὶ *χειρουργικὴ* καὶ τὰ τούτοις ὅμοια· κατὰ δὲ τὸ *φυσιολογία* καὶ *φιλολογία* κλ. ἄριστα ἔχει καὶ τὰ καθωμιλημένα *ὀφθαλμολογία* καὶ *ὠτολογία*.

Ὁ δὲ νῦν ὀφθαλμολόγος λεγόμενος παρὰ τοῖς ἀρχαίοις ὠνόμασται *ἰατρὸς ὀφθαλμῶν, ὀφθαλμοὺς θεραπεύων, ὀφθαλμικὸς* καὶ *ὀφθαλμόσοφος*. Καὶ δὴ *ἰητρὸς ὀφθαλμῶν* παρ' Ἡροδότῳ εὕρηται 2,84 καὶ 3,1, *ὀφθαλμοὺς θεραπεύων* ἀναγινώσκεται παρ' Ἀριστοτέλει ἐν Ἠθικοῖς Νικομαχείοις A, ιγ'. 2,13,18. *Ὀφθαλμικὸς* δὲ πολλάκις κεῖται παρὰ Γαληνῷ 12,632· «ὠτικὴ πρὸς τὰ ἀπεγνωσμένα, ὡς Ζωίλος ὁ ὀφθαλμικός»· ἐξ οὗ φανερόν, ὅτι οἱ ὀφθαλμικοὶ ἦσαν ἅμα καὶ ὠτικοί· Ζωίλος γὰρ ὀφθαλμικὸς τυγχάνων ὠτικὴν δύναμιν ἤτοι ἄριστον ὠτικὸν φάρμακον παρεσκεύασε· *ὀφθαλμόσοφος* δὲ εἴρηται παρὰ Λουκιανῷ Λεξιφάνει 34,4. Τούτων δ' ἀναλόγως καὶ ὁ ὠτολόγος ῥητέος ἐστὶν *ἰατρὸς ὤτων, ὦτα θεραπεύων, ὠτικὸς* καὶ *ὠτόσοφος*. Ὡς δὲ *φυσιολόγος*, οὕτω ὀρθῶς εἴρηται καὶ *ὀφθαλμολόγος* καὶ *ὠτολόγος* ἐν τῇ καθωμιλημένῃ.

Αἱ δὲ λέξεις *ὀφθαλμιολογία* καὶ *ὀφθαλμιολόγος*, καθ' ἅπερ τινὲς γράφουσιν, οὐ καλῶς, ἔμοιγε δοκεῖ, ἔχουσιν. Καὶ τοῦτο λεκτέον, ἵνα μὴ λάθρᾳ παρεισαχθῶσι καὶ αὗται εἰς τὴν καθ' ἡμᾶς ἰατρικὴν φιλολογίαν. Ἀλλ' ἐπιτραπήτω μοι, ἵνα ῥητῶς δηλώσω ὅτι οὐκ ἐλέγχου χάριν ἀλλ' αὐτῆς τῆς ἀληθείας ἕνεκα καὶ τοῦ ὀρθοῦ ταῦτα γράφω· ἐπαίνου γὰρ ἄξιοι καὶ οὐ ψόγου εἰσὶν οἱ περὶ τὴν προαγωγὴν τῆς Ἑλληνικῆς ἰατρικῆς ἀκαμάτως ἐργαζόμενοι, κἂν σφάλλωνταί που ἥν τ' ἐν ταῖς αὐτῶν ἐρεύναις ἥν τ' ἐν τῇ γλώσσῃ αὐτῇ.

Ἀληθῶς δ' εἰπεῖν, *ὀφθαλμιολογία* καὶ *ὀφθαλμιολόγος* γραμματικῶς καὶ γλωσσικῶς πάνυ ὀρθῶς ἔχουσιν· οὐδ' εἰμὶ ἐναντίος τῇ εἰσαγωγῇ νέων ἀλλ' ὀρθῶν καὶ τὸ πρᾶγμα ἐπιτυχῶς δηλουσῶν λέξεων εἰς

τὴν πλουσίαν ἡμῶν γλῶσσαν, κἂν ἔτι αὐτῇ ἀφθονία ὑπάρχῃ πολλή. Καὶ ὀρθῶς μὲν ἐγένοντο καθ' ἃ καὶ αἱ ἐν χρήσει παρὰ τοῖς ἀρχαίοις λέξεις *φυσιολόγος φυσιολογία*· ἀλλ' οὐ δηλοῦσιν αὐτὸ τὸ πρᾶγμα, ὃ δι' αὐτῶν σημῆναι βούλονται. Τί γάρ ἐστι *φυσιολόγος*; Βεβαίως ὁ λέγων, ὁ ἐπιστημόνως ἐρευνῶν τὰ περὶ φύσεως. Τί δὲ *φυσιολογία*; Βεβαίως λόγος ἔρευνα ἐπιστημονικὴ τῆς φύσεως. Τί οὖν δῆτ' ἂν εἴη *ὀφθαλμιολόγος*; Οὐδὲν ἄλλο γε ἢ ὁ λέγων, ὁ διδάσκων, ὁ ἐπιστήμων περὶ τῆς *ὀφθαλμίας*. Καὶ τί δὴ *ὀφθαλμιολογία*; ὁ λόγος, ἡ ἐπιστήμη, ἡ διδασκαλία περὶ τῆς *ὀφθαλμίας*.

Ἄγε δὴ νῦν ἴδωμεν, τί ποτ' ἐστὶν *ὀφθαλμία*; Καὶ Ἱπποκράτης καὶ Πλάτων καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ Γαληνὸς καὶ Ὀρειβάσιος καὶ πάντες οἱ Ἕλληνες συγγραφεῖς, παρ' οἷς εὕρηται ἡ λέξις *ὀφθαλμία*, καὶ νῦν δ' ἔτι πάντες οἱ πεπαιδευμένοι ἰατροί τε καὶ μὴ ἰατροὶ *ὀφθαλμίαν* ὀνομάζουσιν αὐτὸ τοῦτο, ὅπερ ὁ λαὸς προσφυῶς πάνυ ἐν πολλοῖς τόποις καλεῖ *πονόμματον* ἢ *ὀμματόπονον*, τὴν φλόγωσιν δηλαδὴ τοῦ ἐπιπεφυκότος ὑμένος. Καὶ δὴ καὶ νῦν ἐν πάσαις ταῖς γλώσσαις ὀφθαλμίαι εἰσὶν αὗται αἱ τοῦ Ἱπποκράτους *ὀφθαλμίαι ὑγραὶ* καὶ *ῥοώδεις* (ὀφθαλμοὶ *λημῶντες*), *ξηραί*, *ὀδυνώδεις*, *σκληραὶ* καὶ *ἰσχυραὶ* ἢ *ἐλαφραί*, *ἐπέτειοι* καὶ *ἐπιδήμιοι*, *ὀλιγοχρόνιοι*, *πολυχρόνιοι*, διάφοροι τὴν ἔντασιν, αἳ μολυσματικαί εἰσι κατὰ Πλάτωνα, καθ' ἃ ἐν Φαίδρῳ λέγει 255 δ καὶ κατ' Ἀριστοτέλην καθ' ἃ ἐν τοῖς Προβλήμασι Z, 8. 4,154. Καὶ αὐτὸς δ' ὁ Πλάτων διδάσκει ἐν *Ἀλκιβιάδῃ* 139 ε, ὅτι οὐ πᾶσα νόσος ὀφθαλμία, λέγων ὧδε· « Σω. Ὀφ» θαλμία οὖν σοι δοκεῖ πᾶσα, νόσος εἶναι;— Ἀλ. Ναί.— Σω. Ἆρ' » οὖν καὶ πᾶσα νόσος ὀφθαλμία; — Ἀλ. οὐ δῆτ' ἔμοιγε· ἀπορῶ » μέντοι πῶς λέγω — . . . . . Σω. Οὐκοῦν ὡμολογήθη ἡμῖν ὀφθαλ» μία μὲν πᾶσα, νόσος εἶναι, νόσος μέντοι οὐκ εἶναι πᾶσα, *ὀφθαλμία*. » — Ἀλ. Ὡμολογήθη. Σω. Καὶ ὀρθῶς γέ μοι δοκεῖ ὁμολογηθῆναι ». Ἐν δὲ Φαίδρῳ 255 δ καὶ τὸ κολλητικὸν τῆς ὀφθαλμίας διδάσκει, ἀπ' ἄλλου ὀφθαλμίας ἀπολελαυκέναι οἷόν τ' εἶναι λέγων καὶ ἀπ' αὐτῆς ἁλίσκεσθαι τοὺς πλησιάζοντας. Καὶ Ξενοφῶν δ' ἐν *Ἀπομνημονεύμασι* 3, 8, 3 καὶ Ἀριστοφάνης ἐν Πλούτῳ 115 καὶ Πολυδεύκης 3,79,12 τοῦτ' αὐτὸ ὀφθαλμίαν λέγουσι. Καὶ οἴονται μέν τινες ὀφθαλμίαν Ἀριστοφάνην τὴν τοῦ Πλούτου τυφλότητα λέγειν· ἀλλ' οὐκ ὀρθῶς, ἔμοιγε δοκεῖ, ὀφθαλμία ὡς τυφλότης ὑπολαμβάνεται· κατω-

τέρω γὰρ ἐν στίχῳ 729 αὐτὸς Ἀριστοφάνης τὸν Πλοῦτον παρίστησι λήμην ἐν ὀφθαλμοῖς ἔχοντα καὶ δὴ ὑπ' ὀφθαλμίας πάσχοντα· Ἀσκληπιὸς γάρ, φησί, καθαρὸν ῥάκος λαβὼν τὰ βλέφαρα περιεσπόγγισε· τοῦτο δ' οὐκ ἂν ἐποίει, εἰ μὴ λημῶντες ἦσαν οἱ ὀφθαλμοί. Ὁ δὲ Γαληνὸς σαφῶς καὶ ῥητῶς ὁρίζει, τί ὀφθαλμία ἐστίν. Καὶ ἐν μὲν 11,77 καὶ 12,711 λέγει, ὅτι *ὀφθαλμία* ἐστὶν ἡ τοῦ ἐπιπεφυκότος ὑμένος φλεγμονή. Τὸν ἐπιπεφυκότα δ' ὀνομάζει καὶ *πεφυκότα* ἢ *περιόστεον* ἢ *περικράνιον* χιτῶνα ἢ ὑμένα. Ἐν δὲ 14,768 τὴν ὀφθαλμίαν συμπτωματικῶς ὁρίζει ὧδε· « *ὀφθαλμία* δ' ἐστίν, ὅταν τὸ λευκὸν ἐνερευ- » θὲς ᾖ καὶ τὰ βλέφαρα ἐπηρμένα μετὰ τοῦ τήν τε μύσιν τῶν βλε- » φάρων ἐπαλγῆ εἶναι καὶ τὴν τῶν χειρῶν ἐπαφὴν ἐπώδυνον». Ἀλλὰ καὶ νῦν ἔτι πάντες οἱ ὀφθαλμικοὶ οἵ τε ξένοι καὶ οἱ ἡμέτεροι ὀφθαλμίας ὀνομάζουσι τὰς διαφόρους τοῦ ἐπιπεφυκότος φλεγμονὰς καὶ οὐ πᾶσαν ὀφθαλμικὴν νόσον, πλὴν εἴ τις νεωτερίζειν βούλοιτο, ὡς ἔν τινι διατριβῇ ἐπί ὑφηγεσίᾳ δεινῶς *δεινὴ ὀφθαλμία* τὸ γλαύκωμα ὠνόμασται. Φανερὸν δ' ἐκ τῶν ἀνωτέρω, ὅτι οὐκ ὀρθῶς εἴρηται· τὸ γὰρ γλαύκωμα νόσος μὲν ὀφθαλμική, ἀλλ' οὐκ ὀφθαλμία, πλὴν εἴ τις τὰ τῶν προγόνων ἡμῶν καὶ τὰ κοινὰ καὶ συνήθη ὑπερορᾶν βούλοιτο, εἰκῇ δὲ καὶ ὡς ἔτυχε λέγειν ἐθέλοι.

Εἰ ἄρα *ὀφθαλμίαι* εἰσὶν αἱ τοῦ ἐπιπεφυκότος μόνον φλογώσεις, ὡς εἴρηται, καὶ οὐδὲν ἄλλο· εἰ τοῦτ' οὕτως ἔχει, τί οὖν ἐστιν *ὀφθαλμιολόγος*; Βεβαίως ὁ ἐπιστήμων, ὁ θεραπεύων, ὁ διδάσκων περὶ τῶν τοῦ ἐπιπεφυκότος φλογώσεων, περὶ πονομμάτου, περὶ ὀφθαλμίας. Ἡ δὲ περὶ τούτων ἐπιστήμη *ὀφθαλμιολογία*. Εἴ ταῦτ' ἄρα τις *ὀφθαλμιολογίαν* καὶ *ὀφθαλμιολόγον* ἔλεγεν, οὐδὲν ἄν τις ἀντειπεῖν εἶχεν. Ἀλλ' οὕτω λέγουσί τινες, καθ' ἅπερ ἔν τε τῷ τοῦ Πανεπιστημίου προγράμματι τοῖς ὀφθαλμικοῖς ὑφηγηταῖς γέγραπται καὶ ἄλλοις ἀλλαχοῦ, τὴν περὶ τῶν ὀφθαλμῶν ἐπιστήμην καὶ τὸν ὀφθαλμικὸν ἢ ὀφθαλμόσοφον. Οὐκ ὀρθῶς ἄρα γράφεται *ὀφθαλμιολογία* καὶ *ὀφθαλμιολόγος*· λεκτέον δ' ἔμοιγε δοκεῖ τὴν πάνυ ὀρθὴν καὶ τὸ πρᾶγμα αὐτὸ σαφῶς δηλοῦσαν νεωτέραν λέξιν *ὀφθαλμολογίαν* ἢ, ὡς παρὰ τοῖς ἀρχαίοις κεῖται, *Περὶ ὀφθαλμῶν*, *Περὶ τῶν ἐν ὀφθαλμοῖς παθῶν*, ἢ *Περὶ ὀφθαλμικῶν παθῶν*, ὡς ὁ καθηγητὴς Ἀναγνωστάκης πάνυ ὀρθῶς γράφει· ὑπονοεῖται δὲ λόγος ἢ ἐπιστήμη ἢ βιβλίον καὶ τὰ τούτοις ὅμοια. Καὶ δὴ καὶ *ὀφθαλμολόγος* εἰρήσθω καὶ οὐχὶ *ὀφθαλμιολόγος*, ἢ ὡς παρὰ τοῖς ἀρ-

χαίοις γέγραπται *ὀφθαλμικός*, *ὀφθαλμόσοφος*, *ὀφθαλμοὺς θεραπεύων*, *ὀφθαλμῶν ἰατρός*. Καὶ πάντα δὲ τὰ ὀφθαλμικὰ πάθη εἰ ὀφθαλμίαι κοινῷ ὀνόματι ὠνομασμένα εἶεν, οὐκ ὀρθῶς ἂν εἶχε τὸ *ὀφθαλμιολόγος* καὶ *ὀφθαλμιολογία*· ἡ γὰρ ὀφθαλμικὴ ἐπιστήμη διδάσκει οὐ μόνον περὶ ὀφθαλμικῶν παθῶν, ἀλλὰ καὶ τὴν τῶν ὀφθαλμῶν ἀνατομὴν καὶ τὴν φυσιολογίαν αὐτῶν καὶ τὴν ὀπτικήν, ἄρ' ἐν γένει περὶ ὀφθαλμῶν.

Ἐπεὶ δὲ καὶ περὶ τῆς ἱστορίας τῆς τῶν ὀφθαλμῶν καὶ ὥτων ἀνατομῆς παρὰ τοῖς ἀρχαίοις Ἕλλησιν ἔσται ἡμῖν ὁ λόγος, καλὸν νομίζω εἰπεῖν, καὶ τί ἐστιν *ἀνατομὴ* ἢ *ἀνατομαί*.

B.

ΤΙ ΕΣΤΙΝ ΑΝΑΤΟΜΗ Η ΑΝΑΤΟΜΑΙ.

Ἀνατομαὶ πληθυντικῶς πάντοτε εὕρηται, οὐδαμοῦ δ' ἑνικῶς ἐν τοῖς Ἀριστοτέλους βιβλίοις. Διττὴν δ' ἔχει τὴν ἔννοιαν. Καὶ ἐν ὀλίγοις μὲν πάνυ χωρίοις αἱ φράσεις *ἐν ταῖς ἀνατομαῖς*, *διὰ τῶν ἀνατομῶν*, *ἐκ τῶν ἀνατομῶν* οὐδὲν ἄλλο σημαίνουσιν ἢ τὴν τῶν σωμάτων τῶν ζώων ἀνατομήν, ἢ καὶ *διαίρεσις* καὶ *ἀνάσχισις* λέγεται. Κυρίως δὲ φανερὰ ἡ σημασία αὕτη ἐν τῷ *Περὶ ζώων μορίων* Δ, 6. 3, 275, 4· « Οὐκ ὀρθῶς δ' ἐοίκασιν οἱ περὶ Ἀναξαγόραν ὑπολαμβά-» νειν ὡς αἰτίαν οὖσαν τῶν ὀξέων νοσημάτων (τὴν χολὴν δηλαδή)· » ὑπερβάλλουσιν γὰρ ἀπορραίνειν πρός τε τὸν πλεύμονα καὶ τὰς » φλέβας καὶ τὰ πλευρά· σχεδὸν γὰρ οἷς ταῦτα συμβαίνει τὰ » πάθη τῶν νόσων, οὐκ ἔχουσι χολήν, *ἔν τε ταῖς ἀνατομαῖς* ἂν ἐγί-» νετο τοῦτο φανερόν· ἔτι δὲ τὸ πλῆθος τό τ' ἐν τοῖς ἀρρωστήμασιν » ὑπάρχον καὶ τὸ ἀπορραινόμενον ἀσύμβλητον ». Βεβαίως καὶ ἀναντιλέκτως ἐκ τοῦ ἄνω χωρίου φανερὸν ὅτι περὶ τεθνεώτων διαιρέσεως πρόκειται· ἐν γὰρ νεκροῖς μόνον ἀνατεμνομένοις ἐγίνετ' ἂν φανερόν, εἰ ὑπερβάλλουσα χολὴ ἀπορραίνοι πρός τε τὸν πνεύμονα καὶ τὰς φλέβας καὶ τὰ πλευρά, αἰτία οὕτω γινομένη τῶν ὀξέων νοσημάτων.

Ἔστω δὲ τὸ χωρίον τοῦτο πρὸς πολλοῖς ἄλλοις καὶ τρανὴς ἀπόδειξις ὅτι καὶ νεκρῶν ἀνατομὰς ἐποίουν οἱ περὶ Ἀναξαγόραν οὐ μόνον πρὸς θεωρίαν καὶ ἀκριβῆ τῶν ἔσω μορίων περιγραφήν, ἀλλὰ καὶ πρὸς ἔρευναν τῆς τῶν παθῶν ἀνατομῆς καὶ τῶν αἰτιῶν τῶν ἀρρωστιῶν.

Τῶν σοφῶν μὲν δὴ πολλοὶ ἐναντίαν ἔχουσι δόξαν· ἀλλὰ μὴν ἐκ τοῦ ἄνω χωρίου, ἔμοιγε δοκεῖ, φανερόν, ὅτι οὐ μόνον ζῷα ἀλλὰ καὶ ἄνθρωποι τεθνεῶτες ἀνετέμνοντο τὸ πάλαι ἀνατομικῆς θεωρίας χάριν· πῶς γὰρ ἄνευ ἀνατομῆς εἰδέναι οἷόν τ' ἂν ἦν, εἰ ἀνθρώπων ἔνιοι μὲν φαίνονται χολὴν ἐπὶ τοῦ ἥπατος ἔχοντες, ἔνιοι δ' οὔ; Ἢ εἴ τις ἄλλως ταὐτὸ εἰπεῖν ἐθέλοι, πῶς ἄνευ ἀνθρώπων ἀνατομῆς ἐγίγνωσκον ἄν, ὅτι ἔνιοι μὲν πλήρη τὴν χολιδόχον κύστιν ἔχουσιν, ἔνιοι δὲ κενὴν χολῆς; Καὶ γὰρ αὐτὸς Ἀριστοτέλης ἐν τῷ Περὶ ζῴων μορίων Δ, 6. 3,274,45, περὶ ἐναίμων ζῴων προκειμένου, ὧν ἰχθύες μὲν καὶ ὄφεις, φησί, ἔχουσι χολήν, ἵππος δὲ καὶ ὀρεὺς καὶ ὄνος καὶ ἔλαφος καὶ πρὸξ καὶ κάμηλος οὐκ ἔχουσι, πρόβατα δὲ καὶ αἶγες τὰ μὲν ἔχουσι, τὰ δ' οὔ, τάδε περὶ ἀνθρώπου λέγει· « Τούτων δ' ἐστὶ καὶ » ὁ ἄνθρωπος· ἔνιοι μὲν γὰρ φαίνονται ἔχοντες χολὴν ἐπὶ τοῦ ἥπα- » τος, ἔνιοι δ' οὐκ ἔχοντες· διὸ καὶ γίνεται ἀμφισβήτησις περὶ ὅλου » τοῦ γένους· οἱ γὰρ ἐντυχόντες ὁποτερωσοῦν ἔχουσι περὶ πάντων » ὑπολαμβάνουσιν ὡς ἁπάντων ἐχόντων ». Σαφέστερον, οἶμαι, τεκμήριον τῶν λόγων τούτων τοῦ Ἀριστοτέλους οὐκ ἂν ἔχοι τις εἰπεῖν, ὅτι τὸ πάλαι ἀνατομαὶ καὶ τεθνεώτων ἀνθρώπων ἀνατομικῆς θεωρίας χάριν ἐγίγνοντο. Ὡς δέ φησι Στέφανος Βυζάντιος ἐν λέξει *Ἀνδαρία*, οἱ Λακεδαιμόνιοι λέγονται τὸν ἀνδρεῖον στρατηγὸν Ἀριστομένην ἀνατεμεῖν, ἵνα ἴδωσιν, εἰ ταὐτὰ τοῖς ἄλλοις ἀνθρώποις πάντα αὐτοῦ τὰ μόρια εἶεν, σπλάγχνον δ' ἐξηλλαγμένον καὶ τὴν καρδίαν δασεῖαν παρ' αὐτῷ εὑρεῖν ὡς φυσικὴν αἰτίαν τῆς ἀνδραγαθίας αὐτοῦ. Καὶ κρυὸν δὲ μονοκέρατον ἀνατεμεῖν Ἀναξαγόραν ἱστορεῖται, ἵνα τῇ ἀνατομῇ τὴν αἰτίαν ἀνεύρῃ, δι' ἣν μονοκέρατος ἦν ὁ κρυός, ὥς φησι Πλούταρχος ἐν Περικλεῖ 6.

Αὐτὴν δὲ τῶν σωμάτων τῶν ζῴων τὴν ἀνατομὴν φαίνεται σημαίνουσα ἡ λέξις παρ' Ἀριστοτέλει καὶ ἐν τῷ Περὶ ζῴων γενέσεως Β, ζ. 3,366,29 καὶ Ε, α. 3,415,32 καὶ ἐν τῷ Περὶ πνεύματος ε'. 3,667,10. Τὸ ἐν τῷ Περὶ ζῴων γενέσεως χωρίον Ε, α. 3,415,32 καταδείκνυσι σαφῶς ὅτι καὶ ἐπὶ ζώντων ζῴων καὶ ἐγκύων ἐγίγνοντο ἐν τοῖς ἀρχαιοτάτοις ἐκείνοις χρόνοις ἀνατομαὶ πρὸς λύσιν πολλῶν ἀνατομικῶν τε καὶ φυσιολογικῶν προβλημάτων· ὥστε καὶ αἱ ἐπὶ ζώντων ἀνατομαὶ πειράματος χάριν ἀπὸ τῆς ἀκμῆς ἐκείνης τῶν Ἑλλήνων ἔχουσιν ἀναντιρρήτως τὴν ἀρχήν. Καὶ ἄκουσον τοῦ Ἀριστοτέ-

λους λέγοντος τάδε· « ἀλλ' ὅμως ἐγειρόμενα [τὰ ζῷα δηλαδὴ ἐκ τοῦ » ὕπνου] φαίνεται καὶ ἐν τῇ μήτρᾳ (δῆλον δὲ γίνεται τοῦτο *ἐν ταῖς* » *ἀνατομαῖς* καὶ ἐν ᾠοτοκοῦσιν), εἶτ' εὐθὺς καθεύδουσι καὶ καταφέ- » ρονται πάλιν ». Ὅρα δὲ περὶ τούτου καὶ τὰ ἐν τῷ *Περὶ ζῴων γενέσεως* χωρία Δ, α. 3,393,20 καὶ Δ, δ. 3,404,40. Ἐν συνόλῳ ἄρα ἐν ἓξ μόνον χωρίοις ἡ λέξις *ἀνατομαὶ* σημαίνει τὴν τῶν σωμάτων τῶν ζῴων διαίρεσιν ζώντων τε καὶ τεθνεώτων, ὑπονοουμένης πάντοτε τῆς ἐπιστημονικῆς ἐρεύνης, σαφέστερον δ' ἐν τοῖς δυσὶν ἄνω παρατεθεῖσι χωρίοις.

Ἀλλαχόθι δ' Ἀριστοτέλης ἄλλῃ φράσει τὴν τῶν σωμάτων ἀνατομὴν λέγει. Καὶ ἐν μὲν τῷ Περὶ ἀναπνοῆς φησι ις'. 3,547,38· « Ὃν δὲ τρόπον ἡ καρδία τὴν σύντρησιν ἔχει πρὸς τὸν πλεύμονα, » δεῖ θεωρεῖν ἔκ τε τῶν *ἀνατεμνομένων* καὶ τῶν ἱστοριῶν τῶν περὶ » τὰ ζῷα γεγραμμένων ». Τοῦτο δὴ τὸ χωρίον σαφῶς δείκνυσιν ὅτι, ὅπῃ ἂν ὁ φιλόσοφος λέγῃ *ἐκ τῶν ἀνατομῶν καὶ τῶν ἱστοριῶν* ἢ τὰς *ἀνατομὰς* μετ' ἄλλων αὐτοῦ συγγραφῶν ἀναφέρῃ (καὶ τοῦτο ἐν δώδεκα χωρίοις), ἐννοεῖ τὰ περὶ ἀνατομῶν βιβλία αὐτοῦ καὶ οὐχὶ τὴν τῶν ζῴων ἀνατομήν· ἐνταῦθα δὲ τὴν τῶν σωμάτων τῶν ζῴων διαίρεσιν καὶ οὐχὶ τὰ Περὶ ἀνατομῶν αὐτοῦ βιβλία εἰπεῖν βουλόμενος, γέγραφε *δεῖ θεωρεῖν ἐκ τῶν ἀνατεμνομένων* καὶ οὐχὶ ἐκ τῶν ἀνατομῶν. Ἐν δὲ ταῖς Περὶ τὰ ζῷα ἱστορίαις Γ, β. 3,38,22 λέγει· « Ὥσθ' οἱ μὲν [πρότερον ἰατροὶ ἢ φυσιολόγοι] *ἐν τεθνεῶσι καὶ διη-* » *ρημένοις* τοῖς ζῴοις θεωροῦντες, τὰς μεγίστας ἀρχὰς [τῶν φλεβῶν] » οὐκ ἐθεώρουν ». Ὅρα δὲ καὶ Α, ιζ. 3,16,2. Καὶ τοῦτο δὴ τὸ χωρίον σαφέστατα δηλοῖ, τὸ μὲν ὅτι οἱ πρὸ τοῦ Ἀριστοτέλους ἰατροὶ καὶ φυσικοὶ ἀνέτεμνον τεθνεῶτα ζῷα ἀνατομικῶν ἐρευνῶν χάριν, τὸ δὲ ὅτι Ἀριστοτέλης καὶ ζώντων ἀνατομὰς ἐποίει. Πρότερον δ' Ἀριστοτέλους οἱ περὶ Ἀναξαγόραν ἀνέτεμνον, ὡς ἄνω μοι εἴρηται, καὶ Ἀλκμαίων καὶ ἄλλοι φυσιολόγοι καὶ ἰατροί.

Περὶ δὲ φλεβῶν ἀνατομῆς καὶ δὴ καὶ ἄλλων ἀνατομικῶν μορίων Συέννεσις ὁ Κύπριος ἰατρός, Διογένης ὁ Ἀπολλωνιάτης καὶ ὁ Πόλυβος γεγράφασι. Τούτων δὲ δεινότερος περὶ τὰ ἀνατομικὰ ἐν τοῖς πρὸ τοῦ Ἀριστοτέλους χρόνοις φαίνεται ὁ φυσικὸς Διογένης ὁ Ἀπολλωνιάτης κατὰ τὸν πέμπτον πρὸ Χριστοῦ αἰῶνα ζῶν, ὑφ' οὗ καὶ ὀνομασίαι φλεβῶν τέθεινται, ἡ *σπληνῖτις*, ἡ *ἡπατῖτις*, αἱ *σπερματίτι-*

δες· καὶ τοῦτο, εἰ ἡμῖν ἐξείη γνώμην ἀποφήνασθαι ἐκ τῶν ὑπ' Ἀριστοτέλους μνημονευομένων αὐτολεξεὶ χωρίων αὐτῶν ἐν ταῖς *Περὶ τὰ ζῷα ἱστορίαις* Γ, 6. 3,38.

Καὶ ταῦτα μὲν περὶ τῆς πρώτης σημασίας τῶν ἀνατομῶν.

Δύο δὲ καὶ εἴκοσιν ἐν τοῖς Ἀριστοτέλους συγγράμμασιν εὗρον χωρία, ἐν οἷς σαφέστατα *ἀνατομαὶ* σημαίνουσι *βιβλία ἀνατομικά*, ἔνθα πρὸς σαφήνειαν ὑπῆρχον καὶ σχήματα. Πέντε τούτων τὰ σπουδαιότερα παρατίθημι ἐνταῦθα, ὧν τέτταρα μὲν ἐν ταῖς Περὶ τὰ ζῷα ἱστορίαις· Α, ιζ. 3,17,14 «ὧν ἡ μὲν ὄψις [τῶν ὑστερῶν] θεωρείσθω *ἐκ τῆς διαγραφῆς τῆς ἐν ταῖς ἀνατομαῖς*». Γ, α. 3,37,24 «Αὐτῶν » δὲ τούτων [τῶν σελαχῶν καὶ γαλεῶν] πρὸς ἄλληλά τε καὶ πρὸς » τοὺς ἄλλους ἰχθῦς ἡ διαφορὰ τῶν ὑστερῶν ἀκριβέστερον ἂν θεωρη» θείη *τοῖς σχήμασιν ἐκ τῶν ἀνατομῶν*». Δ, α. 3,57,42 «Ἕκαστα » δὲ τούτων ὡς κεῖται τῶν μορίων θεωρείσθω *ἐκ τῆς ἐν ταῖς ἀνατο*» *μαῖς διαγραφῆς*»· καὶ ϛ, ι. 3,113,34 «Θεωρείσθωσαν δὲ καὶ οἱ » τῶν ἀρρένων [σελαχωδῶν] πόροι ὡς ἔχουσιν, *ἐκ τῶν ἐν ταῖς ἀνα*» *τομαῖς διαγεγραμμένων*». Τὸ δὲ πέμπτον χωρίον ἐν τῷ Περὶ ζῴων γενέσεως εὑρηται Β, ζ. 3,366,20· «Δεῖ δὲ ταῦτα [τὰ ἔμβρυα] θεω» ρεῖν *ἔκ τε τῶν παραδειγμάτων τῶν ἐν ταῖς ἀνατομαῖς* καὶ τῶν ἐν » ταῖς ἱστορίαις γεγραμμένων». Ὅρα δὲ καὶ τὰ χωρία 3,35,26. 64, 15. 65, 6. 112, 16. 234, 51. 258, 47. 262, 46. 357, 10. 271, 29. 279, 34. 286, 26. 293, 6. 302, 15. 325, 27. 504, 11. 542,28. 547,47. Ἐκ τῶν ἄνω χωρίων σαφέστατα καταφαίνεται ὅτι ὁ ἐπικρατέστερος τῶν *ἀνατομῶν* νοῦς ἐστι *βιβλία ἀνατομικά*, ἐν οἷς καὶ διὰ σχημάτων σαφηνίζεται καὶ περιγράφεται τὰ ἐντὸς κυρίως μόρια τὰ ἐν διῃρημένοις τοῖς ζῴοις θεωρούμενα, οὐχὶ ὅμως καὶ τὰ ἔξω τὰ ἄνευ ἀνατομῆς φανερά. Μαρτυρεῖ δ' αὐτὸς ὁ Ἀριστοτέλης τοῦτο ἐν τῷ *Περὶ ζῴων μορίων* Α, ις. 3, 13, ἔνθα ὀνομάζει τὰ πρὸς τὴν ἔξω ἐπιφάνειαν μόρια, λέγων· « Τὰ μὲν οὖν μόρια τὰ πρὸς » τὴν ἔξω ἐπιφάνειαν τοῦτον τέτακται τὸν τρόπον καὶ καθ' ἅπερ ἐλέ» χθη, διωνόμασταί τε μάλιστα καὶ γνώριμα διὰ τὴν συνήθειάν ἐστιν· » τὰ δ' ἐντὸς τοὐναντίον». Ὥστ' εἰκὸς ἂν εἴη τὰ διὰ τὴν συνήθειαν γνώριμα μὴ σχήμασιν ἐν ταῖς ἀνατομαῖς σαφηνίζειν. Καλεῖ δ' ὁ Ἀριστοτέλης τὰ σχήματα τὰ ἐν τοῖς ἓξ κατὰ Διογένην Λαέρτιον ἀνατομικοῖς αὐτοῦ βιβλίοις *παραδείγματα*, *διαγραφήν*, *διαγεγραμμένα*

καὶ *σχήματα*. Λυπηρὸν δ' ὅτι ὁ χρόνος τὰ πολύτιμα ταῦτα ἀνατομικὰ βιβλία ἐξηφάνισε.

Καὶ ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις εὑρηται τεμάχιον « *Περὶ Ἀνατομῆς* » ἐπιγραφόμενον, οὔπερ οὔτε Ἐρωτιανὸς οὔτε Γαληνὸς μνείαν ποιεῖται ἐν τοῖς γνησίοις τοῦ Ἱπποκράτους ἔργοις· ἀλλὰ βεβαίως ὑπό τινος τῶν μαθητῶν τοῦ Ἱπποκράτους, ἴσως ὑπὸ τοῦ Πολύβου ἐγράφη. Ἐν τῇ ἀνατομῇ ταύτῃ περιγράφονται μόνον ἔσω μόρια· ἔστι δὲ κυρίως *σπλαγχνοτομία* ἢ *σπλαγχνολογία*. Ἀνατομὴ δ' ἐνταῦθα φανερῶς βιβλίον ἀνατομικὸν σημαίνει.

Παρὰ δὲ τῷ συμπολίτῃ μου Θεοφράστῳ, μαθητῇ καὶ διαδόχῳ Ἀριστοτέλους, *ἀνατομαὶ* πληθυντικῶς εὑρηται ἐν τῷ Περὶ φυτῶν ἱστορίας Α, α, 4 καὶ σημαίνει τὴν τῶν ζώων διαίρεσιν πρὸς θέαν τῶν ἐντός, ὑπολανθανούσης πως τῆς ἐπιστημονικῆς ἐρεύνης. Ἀέτιος δὲ Ζ, α' τὴν τῶν ὀφθαλμῶν ἀνατομὴν « *Περὶ φύσεως ὀφθαλμῶν* » ἐπιγράφει. Μελέτιος δ' ἐν τῷ *Περὶ φύσεως ἀνθρώπου* 5 καὶ 6 (64,1081) λέγει *ἀνατομικὴν ἐπιστήμην* καὶ *ἀνατομικὰς βίβλους*. Ὁ δὲ Θεοφάνης Νόννος Ι, 158 *ἀνατομὴν* λέγει τὴν τῶν ζώων διαίρεσιν.

Πάνυ δὲ σαφῶς λέγει ὁ Γαληνὸς τί ἐστι *ἀνατομὴ* ἐν τῇ *Εἰσαγωγῇ αὐτοῦ ἢ ἰατρῷ* ια'. 14,709. « [Ἀνατομὴ τῶν ἐντός]. *Ἀνατομὴ* » καταχρηστικῶς μὲν λέγεται καὶ ἡ τῶν ἐκτὸς μερῶν τε καὶ μορίων » τοῦ σώματος διέξοδος, ἥτις ἐστὶ διὰ λόγου διήγησις ἑκάστου μετὰ » τῆς κατὰ φύσιν θέσεως αὐτῶν καὶ τάξεως καὶ χρείας, ἣν παρέχε- » ται τῷ ζώῳ, καὶ τῆς οἰκείας ἑκάστου ὀνομασίας, περὶ ὧν ἤδη διε- » ξήλθομεν· κυρίως δὲ λέγεται *ἡ ἀνατομὴ* ἡ τῶν ἐντὸς μετὰ λόγου » ἀνάπτυξις· *οὐ γὰρ τὸ τῇ ὄψει αὐτὰ δειχθῆναι ἀνατομή ἐστιν*, » ἀλλὰ τὸ μετὰ λόγου ἑκάστου αὐτῶν γνῶσιν λαβεῖν, τάς τε κατὰ » φύσιν ἐνεργείας ὅπως δι' αὐτῶν ἀποτελοῦνται ἐκμαθεῖν καὶ τὰς κοι- » νωνίας, ἃς ἔχει πρὸς ἄλληλα τὰ σπλάγχνα καὶ τὰ ἄλλα μέρη τοῦ » σώματος διὰ φλεβῶν ». Ἐκ τοῦ χωρίου τούτου τοῦ Γαληνοῦ καὶ ἐκ πλείστων ἄλλων (ὅρα 1,231), οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν ἄνω εἰρημένων τοῦ Ἀριστοτέλους χωρίων καὶ ἐκ τοῦ *Περὶ ἀνατομῆς* τῶν Ἱπποκρατείων βιβλίων καὶ ἐκ πάντων τῶν ἄλλων Ἑλλήνων συγγραφέων, οἳ τῆς *ἀνατομῆς* που μνείαν ποιοῦνται, σαφῶς δῆλον γίνεται, ὅτι *ἀνατομὴ* παρὰ τοῖς ἀρχαίοις Ἕλλησίν ἐστιν ἡ ἐπιστήμη κυρίως ἡ ἀνατομική, ὑπολανθανούσης πως τῆς ἐννοίας τῆς τῶν ζώων διαι-

ρέσεως. Ἡ καθολικὴ δ' αὕτη λέξις *ἀνατομὴ* ἀπὸ τῶν χρόνων τοῦ Ἱπποκράτους μέχρι τοῦδε καὶ ἐν πάσαις ταῖς ξέναις γλώσσαις, αἳ ἐκ τῆς Ἑλληνικῆς αὐτὴν παρέλαβον, τὴν αὐτήν που διατηρεῖ σημασίαν καὶ δύναμιν ὅλως ἀναλλοίωτον.

Ἐν δὲ *Ὅροις ἰατρικοῖς* λδ. 19, 357 Γαληνὸς ὁρίζει τὴν ἀνατομὴν ὧδε· « Ἀνατομή ἐστι θεωρία τῶν ἐν κατακαλύψει σπλάγχνων. » Εἰσὶ τῆς ἀνατομῆς εἴδη δύο, τὸ μὲν κατ' ἐπιτήδευσιν, τὸ δὲ κατὰ » περίπτωσιν. Κατ' ἐπιτήδευσιν μὲν οὖν ἐστιν ἡ ἀπὸ τῶν δογματικῶν » παραλαμβανομένη θέα ἕνεκα τῶν ἐν κατακαλύψει ἤτοι ἐπὶ τῶν ζώντων ἢ ἐπὶ τῶν τετελευτηκότων ἢ καὶ ἤτοι ὅλων ἢ μερῶν. Κατὰ δὲ » περίπτωσιν ἐκ συντυχίας ἢ ὑπὸ μεγάλης τρώσεως γινομένη. Προσχρῶνται δ' αὐτῇ μόνοι οἱ ἐμπειρικοί ». Ὅτι δὲ *θεωρία* οὐχὶ ἁπλῶς τὴν ὄψιν τῶν σπλάγχνων δηλοῖ, ἀλλὰ μετὰ λόγου γνῶσιν, ἐπιστημονικὴν ἔρευναν, ἐκ πολλῶν τοῦ Γαληνοῦ χωρίων δῆλον καὶ Πλάτωνος καὶ ἄλλων συγγραφέων· Ἐν τοῖς χωρίοις 2,216 καὶ 2,286 καὶ πλείστοις ἄλλοις εἴρηται *ἀνατομικὴ θεωρία*, ὅπερ βεβαίως σημαίνει ἀνατομικὴν ἐπιστήμην, ὡς αὐτὸς ὁ Γαληνὸς ἐν 2,286 σαφῶς ἐξηγεῖται. Ἐν δὲ 2,287 εὕρηται *ἀνατομικὴ* μόνον, ὑπονοεῖται δ' ἐκ τῶν ἄνω *θεωρία* ἢ *ἐπιστήμη*.

Ἀνατομὴ ἐκ τοῦ *ἀνα-τέμνω* οὐδὲν ἂν ἕτερον κυρίως σημαίνοι ἢ ἀκριβῶς λεπτομερῶς τεχνηέντως πως γινομένην *τομὴν* ἢ *διαίρεσιν* ἢ *ἀνάσχισιν* τῶν ζῴων, ὡς τὸ *ἀνα-γινώσκειν* τὸ ἀκριβῶς βεβαίως ἐπισταμένως γινώσκειν σημαίνει· ἢ κατὰ τὸ *ἀνορύττειν ἀνασκάπτειν* καὶ τὸ *ἀνα-τέμνειν ἀνα-τομὴ* σημαίνει *τέμνειν καὶ φέρειν εἰς φῶς, τέμνειν καὶ ἐξάγειν τὰ ἐντὸς μόρια πρὸς θεωρίαν*. Καὶ ἐν τῇ σημασίᾳ ταύτῃ *ἀνασχίσεως* ἢ *διαιρέσεως* τῶν ζῴων εὕρηται καὶ παρ' Ἀριστοτέλει, ὡς ἔφθημεν εἰπόντες, καὶ παρὰ Γαληνῷ πολλάκις. Τὴν δὲ τῶν ζῴων *ἀνατομὴν* λέγει ὁ Γαληνὸς καὶ *διαίρεσιν* ἐν τῷ χωρίῳ τῷδε 4,664· «Τοὺς πολλοὺς δ' εἰκὸς ἐξηπατῆσθαι, καὶ μάλιστα τοὺς » φιλοσόφους, ὡς ἂν οὐδὲν ἐπισταμένους τῶν ἐν ταῖς *διαιρέσεσι τῶν* » *ζῴων* φαινομένων, ὧν μάλιστ' ἐστὶ χρήσιμα τὰ κατὰ τὴν ἐπὶ τῶν » *ζώντων ἀνατομὴν* ἐγχειρουμένην τεχνικῶς εἰς γύμνωσιν τῶν ἐν τῷ » βάθει μορίων ». Ἐν δὲ *Γαληνοῦ εἰσαγωγῇ ἢ ἰατρῷ* 14,675 ἡ τῶν νεκρῶν ἀνατομὴ καὶ *ἀνάσχισις* λέγεται· « Ἐκ δὲ τῆς ἐν ταῖς ταρυ-

» χείαις *ἀνασχίσεως* τῶν νεκρῶν πολλὰ καὶ τῶν ἐν χειρουργίᾳ παρὰ » τοῖς πρώτοις ἰατροῖς [τῶν ἐν Αἰγύπτῳ] εὑρῆσθαι δοκεῖ ».

Ἐπεὶ δ' ἡ ἀνατομὴ ἐπί τε ζώντων καὶ τεθνεώτων ζῴων ἐπιστημονικῆς ἐρεύνης χάριν ἐγίγνετο τῶν ἐντὸς μορίων· διὰ ταῦτα ἔκπαλαι ἐπεκράτησεν ἐν τῇ δυνάμει τῆς λέξεως ὁ λόγος, ἡ ἐπιστήμη, ἧς χάριν πάντοτε ἐγένοντο αἱ τῶν ζῴων διαιρέσεις ζώντων τε καὶ τεθνεώτων, ὑπολανθανούσης τῆς διανοίας τοῦ ἀνατέμνειν. Τούτων ἕνεκεν ἀπὸ τῶν χρόνων αὐτῶν τοῦ Ἱπποκράτους *ἀνατομὴ* κυρίως μὲν λέγεται ἡ ἐπιστήμη ἡ τὰ ἐντὸς μόρια τοῦ σώματος μετὰ λόγου λεπτομερῶς ἐρευνῶσα, οἰκοθεν ὑπονοουμένου ὅτι διῄρηται τὸ σῶμα πρὸς ὄψιν τῶν ἐντός· καταχρηστικῶς δ' *ἀνατομὴ* λέγεται καὶ ἡ τῶν ἐκτὸς μορίων περιγραφή. *Ἀνατομὴ* ἄρα ἢ *ἀνατομαὶ* πληθυντικῶς, ὡς ἀναγινώσκομεν παρ' Ἀριστοτέλει καὶ Γαληνῷ, ἐστὶν ἔκπαλαι τὸ μὲν ἐπιστήμη, τὸ δὲ τέχνη. *Ἐπιστήμην* δ' ὀνομάζει καὶ ὁ Γαληνὸς τὴν ἀνατομὴν ῥητῶς ἐν τῷ Περὶ ἀνατομικῶν ἐγχειρήσεων Β, 6. 2,286. Καὶ ὅπου δ' ἀνατομὴ τὴν τῶν ζῴων διαίρεσιν φαίνηται σημαίνουσα, πάντοτε σχεδὸν ὑπολανθάνει ἡ ἐπιστημονικὴ ἔρευνα, καθ' ἅπερ σαφῶς ἐν 2,707 δεδήλωται. *Ἀνατομὴ* ἄρα ἢ *ἀνατομαὶ* παρὰ τοῖς ἀρχαίοις ἐστὶν ἡ μετὰ λόγου ἀνάπτυξις καὶ περιγραφὴ τῶν τε ἔσω καὶ ἔξω μορίων τοῦ σώματος καὶ τῆς χρείας καὶ λειτουργίας αὐτῶν, ὡς ἔκ τε Ἱπποκράτους καὶ Ἀριστοτέλους καὶ Θεοφράστου καὶ Γαληνοῦ δῆλον, καὶ δὴ τίς ἡ κατὰ φύσιν θέσις καὶ τὸ μέγεθος καὶ τὸ σχῆμα καὶ ἡ σύνθεσις καὶ τῆς οὐσίας ἡ ἰδιότης ἑκάστου μορίου, καὶ τίς ἡ διαφορὰ τῶν μορίων πρὸς ἄλληλα παρὰ τοῖς διαφόροις ζῴοις (συγκριτικὴ ἀνατομὴ) καὶ τίς ἡ πρὸς ἄλληλα θέσις αὐτῶν καὶ ἐπικοινωνία. Παρ' Ἀριστοτέλει δὲ καὶ διὰ σχημάτων ἢ διαγραφῆς ἐσαφηνίζετο ἕκαστον μόριον, πῶς ἔχει τῇ θέσει, τῇ μορφῇ, τῇ ἐπικοινωνίᾳ καὶ τοῖς ὁμοίοις. Ὥστε σαφέστατα δῆλον ὅτι ἀνατομὴ ἔκπαλαί ἐστιν ὡς καὶ νῦν ἔτι αὐτὴ κυρίως ἡ ἀνατομικὴ ἐπιστήμη εἴτ' ἐν βιβλίοις γραφομένη εἴτε τῷ λόγῳ διδασκομένη.

Τοῦ δὲ Ῥούφου τοῦ Ἐφεσίου ἐπιγέγραπται ἡ ἀνατομὴ ὧδε· « Ῥούφου Ἐφεσίου περὶ ὀνομασίας τῶν τοῦ ἀνθρώπου μορίων ». Ἡ δ' ὑπό τινων τῷ Ἀριστοτέλει ἀποδιδομένη ἀνατομὴ τοῦ ἀνθρώπου λέγεται « Ἀνωνύμου εἰσαγωγὴ ἀνατομική ». Ὁ δὲ Θεόφιλος ἐπιγράφει τὴν ἀνατομὴν αὐτοῦ « Θεοφίλου Πρωτοσπαθαρίου περὶ τῆς

τοῦ ἀνθρώπου κατασκευῆς βιβλία Ε'». ὁ δὲ Μελέτιος «Περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς» καὶ «Πόνημα ἐν συνόψει περὶ φύσεως ἀνθρώπου»· ὁ δ' Ἀέτιος Ζ, α' «Περὶ φύσεως ὀφθαλμῶν».

Ἀνατομικὰς δ' ἐγχειρήσεις τῶν μορίων τοῦ σώματος ὀνομάζει ὁ Γαληνός, ὡς καὶ ὁ Ἀνατομικὸς Μαρῖνος, ὃς, καθ' ἃ μαρτυρεῖ Γαληνός, μόνος τῶν πρὸ αὐτοῦ ἔγραψε ἀνατομικὰς ἐγχειρήσεις, *τὴν τέχνην* τοῦ διαιρεῖν τὰ διάφορα μόρια πρὸς σπουδὴν τῆς ἀνατομῆς αὐτῶν. Ἀνατομικὴ ἐγχείρησις παρὰ Γαληνῷ, ὡς ἐν τῷ Περὶ ἀνατομικῶν ἐγχειρήσεων Γ, 6'. 2,348 καὶ 2,281 καὶ ἐν ἄλλοις τόποις φανερὸν γίνεται, οὐδὲν ἄλλο ἐστὶν ἢ διδασκαλία περὶ τοῦ πῶς δεῖ τεχνικῶς καὶ ἀκριβῶς διαιρεῖν τὰ διάφορα τοῦ σώματος μόρια πρὸς λεπτομερῆ καὶ ἐπιστημονικὴν αὐτῶν ἔρευναν ἀνατομικῆς θεωρίας χάριν· ἔστιν οὐδὲν ἄλλο ἢ Zergliederungskunde. Σαφῶς δ' ὁ Γαληνὸς ἐν ἀρχῇ τοῦ *Περὶ μυῶν ἀνατομῆς* 18 B, 927 λέγει τί ἐστιν *ἀνατομικὴ ἐγχείρησις*· «καὶ μέν τοι καὶ ὡς ἄν τις κάλλιστα γυμνώσειεν οὐ τοὺς μῦς » μόνον, ἀλλὰ καὶ τὰ ἄλλα πάντα τοῦ ζώου μόρια, διὰ τῶν *ἀνα*» *τομικῶν ἐγχειρήσεων* λέγεται». Ἀναγκαίως δ' ἀνατομικὰς ἐγχειρήσεις τῶν μορίων τοῦ σώματος γράφων ὁ Γαληνὸς λέγει καὶ τὴν ἀνατομὴν αὐτῶν.

Τὰ δὲ βιβλία, ἐν οἷς τὴν ἀνατομικὴν τῶν μορίων θεωρίαν ὁ Γαληνὸς διδάσκει καὶ οὐχὶ τὴν τέχνην τοῦ ἐγχειρεῖν τὰς τῶν μορίων ἀνατομάς, οὐχὶ τὸν τρόπον τῶν ἀνατομικῶν ἐγχειρήσεων, ἐπιγράφει «*Περὶ φλεβῶν καὶ ἀρτηριῶν ἀνατομῆς*», «*Περὶ νεύρων ἀνατομῆς βιβλίον*», «*Περὶ Μήτρας ἀνατομῆς βιβλίον*», «*Περὶ μυῶν ἀνατομῆς*» 18 B, 926. Ἔτι δ' ἐν 2,216 λέγει ὅτι ἔγραψε περὶ τῆς Ἱπποκράτους ἀνατομῆς καὶ περὶ τῆς Ἐρασιστράτου ἀνατομῆς καὶ ἐν 4,718 ὅτι ὁ Ἐρασίστρατος ἔγραψε περὶ ἀνατομῶν καὶ ἐν 15,136 εἴρηται ὅτι Διοκλῆς πρῶτος καὶ Πραξαγόρας καὶ Ἐρασίστρατος καὶ Πλειστόνικος καὶ Φιλότιμος καὶ Μνησίθεος καὶ Διεύχης καὶ Χρύσιππος καὶ Ἀντιγένης καὶ Μήδιος καὶ Εὐρυφῶν ἐκ τῶν ἀρχαίων ἰατρῶν, πρὸς δὲ οἱ μετ' αὐτοὺς Ἡρόφιλος καὶ Εὔδημος, Μαρῖνός τε καὶ Νομισιανὸς καὶ Ἡρακλειανὸς καὶ Πέλοψ καὶ Σάτυρος καὶ Λύκος, πάντες ἔγραψαν *ἀνατομάς*, ἃς ἐν τῷ αὐτῷ τόπῳ ὀνομάζει καὶ *ἀνατομικὰς βίβλους* καὶ ἀνατομικὰ βιβλία καὶ ἀνατομικὰ συγγράμματα. Ἔκπαλαι ἄρα ἀπὸ τοῦ πρώτου κατὰ Γαληνὸν 2,282 *ἀνατομὰς*

γράψαντος Διοκλέους τοῦ Καρυστίου, ὃς ἀμέσως μεθ' Ἱπποκράτην καὶ πρὸ τοῦ Ἀριστοτέλους ἔζη ἐν Ἀθήναις, μέχρι τοῦ νῦν *ἀνατομὴ* ἢ *ἀνατομαί* ἐστι καὶ ἀνατομικὴ ἐπιστήμη ἢ θεωρία καὶ ἀνατομικὴ βίβλος καὶ ἀνατομικὴ διδασκαλία, ἀλλὰ καὶ ἀνατομικὴ ἐγχείρησις καὶ ζώντων ἢ τεθνεώτων διαίρεσις αὐτῆς τῆς θεωρίας χάριν τῆς ἀνατομικῆς. Ἡ λέξις *ἀνατομὴ* ἐμπεριέχει ἐν ἑαυτῇ τήν τε ἀνατομικὴν θεωρίαν ἢ ἐπιστήμην καὶ τὴν ἀνατομικὴν τέχνην, καὶ ταύτας εἴτε γραφομένας εἴτε διδασκομένας εἴτε γιγνομένας. Καὶ ἀναγινώσκει τις ἀνατομὴν ἢ ἀνατομὰς καὶ ἀκροᾶται ἀνατομῆς καὶ διδάσκει καὶ συγγράφει, καὶ ποιεῖ ἀνατομὴν ἢ ἀνατομὰς ἐπιστημονικῆς ἐρεύνης χάριν ἢ διδασκαλίας ἢ συγγραφῆς. Διὰ ταῦτ' ἄρα ἡ ἐν πάσαις ταῖς γλώσσαις κοινὴ ἤδη οὖσα *ἀνατομή*, ἣ ἀπὸ Διοκλέους μέχρι τοῦδε ἐν ἀποκλειστικῇ χρήσει ἐστί, προτιμητέα πάσης ἄλλης ἐκφράσεως.

Ἀλλ' εἴποι τις ἄν· οὐκ ἂν εἴη ὀρθὸν ἐπιγράψαι *ἀνατομικὴν βίβλον*, *ἀνατομικὸν βιβλίον ἢ σύγγραμμα*, *ἀνατομικὴν εἰσαγωγήν*, ἢ ἁπλῶς *ἀνατομικήν*, ὑπονοουμένων βίβλου ἢ εἰσαγωγῆς ἢ περιγραφῆς ἢ ἐπιστήμης; Πῶς γὰρ οὔ; ὀρθότατα. Ἀλλὰ περιεκτικώτερον καὶ παρὰ τοῖς ἀρχαίοις Ἕλλησι συνηθέστερον καὶ δὴ προτιμότερον, ἔμοιγε δοκεῖ, τὸ *ἀνατομή*. Καὶ γὰρ πάντες οἱ ἀρχαῖοι *ἀνατομὴν* ἢ *ἀνατομὰς* ὠνόμασαν τὰ ἑαυτῶν ἀνατομικὰ συγγράμματα, ὡς ἔφθημεν εἰπόντες, πλὴν συγγραφῶν τινων ἄλλως ὠνομασμένων· ἀ) «Ρούφου Ἐφεσίου περὶ *ὀνομασίας τῶν τοῦ ἀνθρώπου μορίων*»· β') «Ἀνωνύμου *εἰσαγωγὴ ἀνατομική*»· γ') «Θεοφίλου Πρωτοσπαθαρίου *περὶ τῆς τοῦ ἀνθρώπου κατασκευῆς βιβλία Ε'*»· δ') Μελετίου «*Πόνημα ἐν συνόψει περὶ φύσεως ἀνθρώπου*»· ε) Ἀετίου «*Περὶ φύσεως ὀφθαλμῶν*». Οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς ξέναις γλώσσαις οὕτως ὠνόμασται, *anatomie*, *anatomia*, τὰ ἀνατομικὰ βιβλία· καὶ ἐν τῇ καθωμιλημένῃ *ἀνατομία* πάνυ ὀρθῶς, ἔμοιγε δοκεῖ, λέγεται ἥ τε ἐπιστήμη ἡ ἀνατομικὴ καὶ ἡ βίβλος. Οὐδεμία δὲ τῶν ἀρχαίων βίβλος ἀνατομῆς ἐπιγέγραπται *ἀνατομικὴ* ἁπλῶς, εἰ καὶ ὀρθῶς ἔχει κατὰ τὸ *ἰατρική*, *χειρουργική*, ῥητορική, καὶ τὰ τούτοις ὅμοια.

Ὁ δὲ τῆς ἀνατομῆς ἐπιστήμων τοῖς μὲν ἀρχαίοις εἴρηται *ἀνατομικὸς* ἢ *ἀνατέμνων*, ἐν δὲ τῇ καθωμιλημένῃ *ἀνατόμος*, ὃ ὀρθοτονούμενον καὶ *ἀνάτομος* γιγνόμενον ἄριστα καὶ ἀμεμπτότατα ἔχει κατὰ τὸ *ἀμφίτομος* καὶ *ἀντίτομος*.

Κόντος ἐν Λογίῳ Ἑρμῇ τοῦ 1876 Ε, α, 66, περὶ τῶν νεωτέρων λέξεων *ἀνατόμος* καὶ *ἀνατομία* τοῦ λόγου ὄντος, εὖ μὲν ποιῶν κακκίζει τὸ *ἀνατόμος* ὡς οὐκ ὀρθῶς τονούμενον, ἀντὶ δὲ τοῦ διορθώσασθαι τὴν πλημμελῆ αὐτοῦ τόνωσιν οὐ δικαίως τὰ πάνυ συνήθη καὶ γνώριμα *ἀνατόμος* καὶ *ἀνατομία* ἀποσκορακιστέα οἴεται, ὧδε λέγων· « Ἀνυποστάτου δὲ τοῦ *ἀνατόμος* ὄντος, πῶς δύναται νὰ ἔχῃ ὑπόστασιν τὸ ἐξ αὐτοῦ ἐσχηματισμένον *ἀνατομία*; Διάφορα προφανῶς εἶνε τὸ *σύντομος-συντομία* καὶ *ἀπότομος-ἀποτομία* ». Καὶ κατωτέρω δέ φησι σ, 70· « Ἐκ τῶν διειλημμένων πᾶς τις νομίζομεν, πείθεται ὅτι ἐπάναγκες ὑπάρχει ν' ἀποσκορακίσωμεν μὲν τὰς παρεισδυσάσας εἰς τὴν γλῶσσαν πλημμελεῖς λέξεις *ἀνατομία* καὶ *ἀνατόμος*, νὰ παραλάβωμεν δ' ἀντ' αὐτῶν τὰς ὑγιῶς ἐχούσας καὶ παρὰ τοῖς παλαιοῖς νενομισμένας *ἀνατομή-ἀνατομαὶ* καὶ *ἀνατομικός* ». Καὶ ἐν τῷ αὐτῷ τόπῳ μικρὸν κατωτέρω συνίστησιν, ἡ ἀνατομικὴ ἐπιστήμη, ἣ ὡς ἔφθημεν εἰπόντες τοῖς ἀρχαίοις εἴρηται *ἀνατομὴ* ἢ *ἀνατομαί*, ἵνα λέγηται *ἀνατομικὴ* κατ' ἔλλειψιν τοῦ τέχνη ἢ ἐπιστήμη καὶ δὴ « ἀσχολοῦμαι ἢ σπουδάζω περὶ τὴν ἀνατομικήν, συνέγραψεν ἢ ἐξέδωκεν ἀνατομικὴν κτλ. »

Οὐ δικαίως, ἔμοιγε δοκεῖ, Κόντος τὰς συνήθεις ταύτας λέξεις ἀποσκορακίσαι βούλεται· τὸ μὲν γὰρ *ἀνατόμος* ὀρθῶς τονούμενον γίνεται *ἀνάτομος* κάλλιστα καὶ ἀμεπτότατα ἐσχηματισμένον κατὰ τὸ *ἀμφίτομος* καὶ *ἀντίτομος*, ἐκ δὲ τοῦ *ἀνάτομος* προέρχεται τὸ *ἀνατομία*, ἀμφότερα κατὰ γλωσσικὴν ἀναλογίαν πεπλασμένα· εἰ γὰρ *ἀμφιτόμος* καὶ ἐν Θησαυρῷ Ἐρρίκου Στεφάνου καὶ παρ' ἄλλοις οὐκ ὀρθῶς τονοῦνται, ἀποσκορακιστέον ἐστὶ καὶ τὸ ὀρθὸν *ἀμφίτομος*; Οὐ δῆτ' ἔμοιγε δοκεῖ. Διὰ ταῦτ' ἄρα καὶ τὸ *ἀνάτομος ἀνατομία* ὀρθῶς καὶ σοφῶς ἔχει, διορθωτέα δ' ἡ ἐσφαλμένη τοῦ *ἀνατόμος* τόνωσις, ὡς καὶ τοῦ *ἀμφιτόμος*. Ὡς δὲ *φιλολογία*, *σκυτοτομία*, *φυσιολογία* ἐστὶν ἡ ἐπιστήμη ἢ τέχνη τοῦ *φιλολόγου*, *σκυτοτόμου*, *φυσιολόγου*, οὕτω καὶ *ἀνατομία* ἐστὶν ἡ ἐπιστήμη ἢ τέχνη τοῦ ἀνατομικοῦ. Ὥσπερ δ' *ἀπολογία* καὶ ἄλλα ἐστὶν οὐ μόνον ὁ λόγος ὁ ἀπολογητικός, ἀλλὰ καὶ βιβλίον εἴθ' ἡ γραφὴ ἀπολογία, οὕτω καὶ *ἀνατομία* ἐστὶν οὐ μόνον ἡ ἐπιστήμη ἀλλὰ καὶ ἡ βίβλος ἡ ἀνατομική.

Ὥστ', ἔμοιγε δοκεῖ, εἰ μέν τις τὰ τοῖς ἀρχαίοις εἰρημένα πιστῶς τηρεῖν ἐθέλει, *ἀνατομὴ* μὲν ῥητέα ἐστὶν ἡ ἐπιστήμη κοὐκ *ἀνατομική*,

ἀνατομικὸς δ' ὁ τῶν ἀνατομῶν ἐπιστήμων· ἂν δέ τις νέους ὅρους εἰσαγαγεῖν βούληται, προτιμητέα νομίζω τὰ κοινὰ καὶ συνήθη καὶ γνώριμα καὶ ὀρθά, *ἀνάτομος*, *ἀνατομία*. Ὁ οὖν Κόντος συνίστησιν, «*ἀσχολοῦμαι ἢ σπουδάζω περὶ τὴν ἀνατομικὴν συνέγραψεν ἢ ἐξέδωκεν ἀνατομικὴν* κτλ.», ὀρθὸν μὲν πάνυ καὶ πρὸς τὴν φύσιν τῆς τῶν Ἑλλήνων φωνῆς ἁρμόζον, ἀλλ' οὔτ' ἐν τῇ ἀρχαίᾳ, ὡς ἀνωτέρω μοι δέδεικται, οὔτ' ἐν τῇ καθωμιλημένῃ σύνηθες.

Καὶ εὖ μὲν οἶδα ὅτι τὸ *ἔντομος*, *ἔκτομος*, *ἐπίτομος*, *διάτομος*, *περίτομος*, *σύντομος συντομία* καὶ *ἀπότομος ἀποτομία*, ἃ ἀνάλογα τῷ *ἀνάτομος ἀνατομία* ἐστί, παθητικὴν ἔχουσι δύναμιν· ἀλλὰ γνωστὸν αὖθις τυγχάνει ὅτι τὰ τούτοις ἀνάλογα *ἀμφίτομος* καὶ *ἀντίτομος*, ἃ παρὰ δοκίμοις ἀναγινώσκεται συγγραφεῦσιν, ἐνεργητικὴν μόνον ἔχει διάνοιαν· οἷον, *βέλεμνον ἀμφιτομόν* φησιν Αἰσχύλος ἐν Ἀγαμέμνονι 1496 καὶ *λόγχη ἀμφίτομος* κεῖται παρ' Εὐριπίδῃ Ἱππολύτῳ 1375 καὶ *ξίφη ἀμφίτομα* ἐν Ἠλέκτρᾳ 164, παρ' Ἀπολλωνίῳ δὲ Α 168 *πέλεκυς ἀμφίτομος*· πρὸς δὲ *ἀντίτομον*, ὃ ἐστι φάρμακον ἀντιτέμνον τὰ πάθη καὶ ἀλεξίκακον, ἀναγινώσκομεν ἐν Ὕμνῳ εἰς Δήμητραν 229·

Οἶδα γὰρ *ἀντίτομον* μέγα φέρτερον ὑλοτόμοιο·

καὶ *ἀντίτομα* παρὰ Πινδάρῳ Πυθιονίκαις Δ, 221·

σὺν δ' ἔλαιῳ φαρμακώσαις' *ἀντίτομα* στερεᾶν ὀδυνᾶν
δῶκε χρίεσθαι.

Βεβιασμένως δὲ πάνυ ἐξηγήσαιτ' ἄν τις τὸ *ἀμφίτομος* καὶ *ἀντίτομος* παθητικῶς. Καὶ πλεῖστα δ' ἄλλα τούτοις ὁμοίως ἐσχηματισμένα ἐξ ἄλλων ῥιζῶν ἐνεργητικὴν ἐνέχουσι δύναμιν.

Κατὰ τὰ ἐνεργητικὰ ἄρα *ἀμφίτομος* καὶ *ἀντίτομος* πάνυ ὀρθῶς ἔχει καὶ τὸ *ἀνάτομος*, τὸν ἀνατέμνοντα ἢ ἀνατομικὸν σημαῖνον, ὀρθότατα δὲ καὶ τὸ ἐκ τούτου γιγνόμενον *ἀνατομία* τὴν ἐπιστήμην σημαίνει τὴν ἀνατομικὴν καὶ βιβλίον ἀνατομικόν.

Καὶ ταῦτα μὲν περὶ τῆς δυνάμεως τῆς λέξεως *ἀνατομῆς* ἢ *ἀνατομῶν* καὶ περὶ τῶν τούτοις σχετικῶν· φέρε δὲ νῦν ἴδωμεν τίς ἂν εἴη ἡ ἀρχὴ τῆς τῶν ὀφθαλμῶν καὶ ὠτῶν ἀνατομῆς, ἧς ἡ λεπτομερεστάτη ἐν τοῖς καθ' ἡμᾶς χρόνοις ἔρευνα μεγάλας τῇ ὀφθαλμικῇ καὶ ὠτικῇ ἐπιστήμῃ προσεπορίσατο προόδους.

Γ.

ΠΕΡΙ ΑΡΧΗΣ ΤΗΣ ΑΝΑΤΟΜΗΣ ΟΦΘΑΛΜΩΝ ΚΑΙ ΩΤΩΝ.

Τίς ἡ ἀρχὴ τῆς τῶν ὀφθαλμῶν καὶ ὤτων ἀνατομῆς, τοῦτο μὲν ἐν τοῖς παλαιτάτοις πρὸ Ὁμήρου χρόνοις τοῖς τε μυθικοῖς καὶ ἡρωϊκοῖς σαφῶς εἰπεῖν ἀδύνατον. Ἐκ δὲ τεκμηρίων, ἃ ἐν τοῖς λειψάνοις τῶν μετέπειτα συγγραφέων εὑρεῖν συμβαίνει, παλαιτάτην νομίζω γενέσθαι τὴν ἀρχὴν τῆς ἀνατομῆς, καθ' ἅπερ καὶ τῆς ἰατρικῆς καὶ τῆς συμπαρεπομένης ὀφθαλμικῆς τε καὶ ὠτικῆς ἐπιστήμης. Προμηθεὺς γὰρ μυθολογεῖται πρῶτος τὴν ἰατρικὴν καὶ τὴν μαντικὴν τοὺς ἀνθρώπους διδάξαι καὶ δὴ καὶ τὴν σπλαγχνοσκοπίαν, τὰ πρῶτα στοιχεῖα τῆς τῶν ἐντὸς μορίων ἀνατομῆς· πρὸς δὲ καὶ τὸν ποιμένα Καύκασον ἀνατεμεῖν καὶ σπλαγχνοσκοπῆσαι μαντικῆς χάριν. Χειρων δ' ὁ Κένταυρος λέγεται διδάξαι Ἀσκληπιὸν τὴν ἰατρικὴν καὶ πρῶτος ὀφθαλμικὸς γεγονέναι, τὸν τυφλὸν Φοίνικα τὸν Ἀμύντορος θεραπεύσας, ἀλλὰ μὴν καὶ ἀνατομὰς ποιήσασθαι ἐπὶ ζώων, ἵνα τὴν ῥωστικὴν τροφὴν ἀνεύρῃ· σπλάγχνοις γὰρ λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς τρέφειν τὸν Ἀχιλλέα, ὅπως ῥωμαλέον ποιήσῃ. Καὶ Ὅμηρος δὲ καίπερ ποιητὴς ὢν καὶ οὐκ ἰατρός, οὕτως ἐπιστημόνως φαίνεται τὴν ἀνατομὴν ἐν πολλοῖς γιγνώσκων καὶ οὕτως ἀκριβῶς ὀφθαλμικὰ καὶ ὠτικὰ καὶ ἄλλα τραύματα περιγράφει, ὥστ' εἰκότως εἴποι ἄν τις πολὺ πρὸ αὐτοῦ ὑπάρχειν τοὺς περὶ τὰς ἀνατομὰς διατριβοντας. Καὶ τὸ 37ον τῶν εἰς Ἑρμῆν τὸν Αἰγύπτιον (περὶ τὰ 1600 π. Χ.) ἀναφερομένων βιβλίων περὶ τῆς τοῦ σώματος κατασκευῆς πραγματεύεσθαί φησιν Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν Στρωματέων λόγῳ 6, 4.

Εἰ δ' *ἀνατομὴ* λέγεται παρὰ τοῖς ἀρχαίοις, ὡς Γαληνὸς ἐν τῇ Ἰατρῷ ἰά σαφῶς ἐξηγεῖται, κυρίως μὲν ἡ τῶν ἐντὸς τοῦ σώματος μορίων μετὰ λόγου γνῶσις (διότι πρὸς ἐπιστημονικὴν ἔρευναν καὶ διδασκαλίαν αὐτῶν ἀνατέμνεται τὸ σῶμα καὶ διαιροῦνται οἱ ἱστοί), καταχρηστικῶς δὲ καὶ ἡ τῶν ἐκτὸς μερῶν τε καὶ μορίων διδασκαλία μετὰ τῆς οἰκείας ἑκάστου ὀνομασίας καὶ τῆς κατὰ φύσιν αὐτῶν θέσεως καὶ τάξεως καὶ χρείας· εἰ οὖν τοῦτ' οὕτως ἔχει· εἰ *ἀνατομὴ* παρὰ τοῖς ἀρχαίοις, ὡς καὶ νῦν ἔτι, λέγεται ἡ ἐπιστήμη ἡ ἐρευνῶσα, διδάσκουσα, περιγράφουσα, οὐ μόνον *τὰ ἐντός*, ἀλλὰ καὶ *τὰ ἐκτὸς μό-*

ρια τοῦ σώματος, ἤτοι τίς ἡ ὀνομασία ἑκάστου, τίς ἡ κατὰ φύσιν ἐνέργεια, τίς ἡ θέσις καὶ τάξις αὐτῶν καὶ ἡ πρὸς ἄλληλα ἐπικοινωνία· τότ' εἰκότως ἄν τις ἔχοι εἰπεῖν, τὴν πρώτην ἀρχὴν τὰ στοιχεῖα ὡς ἔπος εἰπεῖν τῆς τῶν ἔξω μορίων ἀνατομῆς καὶ κυρίως τῆς τῶν ὀφθαλμῶν καὶ ὤτων τόσον παλαιὰν εἶναι ὅσον καὶ τὴν τῶν Ἑλλήνων φωνήν. Ἐρευνητέον ἄρα πρῶτον μὲν τὴν ἀρχὴν τῆς τῶν ἐκτὸς μορίων ἀνατομῆς, εἶτα δὲ τῶν ἐντὸς μορίων, τῶν ἐν ἀνατεμνομένοις τοῖς ζώοις φανερῶν.

ά. Περὶ ἀρχῆς τῆς τῶν ἔξω μορίων ἀνατομῆς.

Ἡ γλῶσσα ὁμολογουμένως ἐστὶ τὸ πρῶτον τοῦ ἀνθρωπίνου νοῦ δημιούργημα καὶ πάντων τῶν ἄλλων ἡ βάσις. Ἡ δὲ συγκριτικὴ τῶν γλωσσῶν ἐπιστήμη, ἡ μεγάλην κατὰ τοὺς νῦν χρόνους ἐπίδοσιν λαβοῦσα, ἀπέδειξεν ὅτι τῆς τῶν Ἑλλήνων γλώσσης μήτηρ ἡ ἰαπετικὴ ἢ ἰνδογερμανικὴ ἐστιν, ἧς αὕτη ἀπεσχίσθη. Εἰς πολλὰς δὲ διαλέκτους παλαίτατα κατατετμημένης τῆς τῶν Ἑλλήνων φωνῆς, εἰς τὴν τῶν Πελασγῶν, Δρυόπων, Ἀβάντων, Λελέγων, Ἐπειῶν καὶ ἄλλων ἀρχαιοτάτων φύλων τῶν μυθικῶν τῆς Ἑλλάδος χρόνων, μετέπειτα δὲ εἰς τὴν τῶν Αἰολέων, Δωριέων, Ἰώνων καὶ τὴν Ἀττικήν, ἐπόμενον ἦν καὶ τὰς ὀνομασίας τῶν εὐγενῶν ὀργάνων τῆς ὁράσεως καὶ τῆς ἀκοῆς διαφόρους εἶναι τὸν σχηματισμόν. Ἀρχέτυποι δὲ ῥίζαι, ἐξ ὧν τὰ αἰσθητήρια ταῦτα ὠνόμασται, εἰσὶν *οκ*, ἐξ ἧς κατὰ μεταγραμματισμὸν *οπ* διὰ τὴν ὄψιν καὶ *αυ*, *aF* ἢ *αυσ* διὰ τὴν ἀκοήν. Καὶ πῶς μὲν τὰ αἰσθητήρια τῆς ὁράσεως καὶ ἀκοῆς ὠνομάζοντο ὑπὸ τῶν ἀρχαιοτάτων τῆς Ἑλλάδος φύλων τῶν ἐν τοῖς μυθικοῖς χρόνοις, τοῦτο μὲν διὰ χρόνου μῆκος καὶ δι' ἔλλειψιν μνημείων γραπτῶν σαφῶς εἰπεῖν ἀδύνατον· δοκοῦσι δὲ αἱ ἐν τῇ αἰολικῇ διαλέκτῳ καὶ τῇ ἀρχαιοτέρᾳ βοιωτικῇ ὀνομασίαι ὀφθαλμῶν καὶ ὤτων ἀρχαιότεραι τυγχάνειν· ἡ γὰρ αἰολικὴ καὶ ἡ ἀρχαιοτέρα βοιωτικὴ διασώζουσι τὸν ἀρχαϊκὸν χαρακτῆρα καὶ σχεδὸν τὸ ἀρχέτυπον τῆς ἑλληνικῆς γλώσσης. Ἀλλ' ὃ μέντοι πιθανώτατον τυγχάνει ὂν ἐστὶ τόδε· ὅτι ἐν τῷ πρώτῳ αὐτῶν δημιουργήματι, τῇ γλώσσῃ, τὰ συγγενῆ ἑλληνικὰ φύλα, ἃ κοινῷ ὀνόματι ἀπὸ Ἕλληνος τοῦ Δευκαλίωνος ἥρωος τῆς Φθιώτιδος ἐπεκλήθησαν Ἕλληνες, ἐν τοῖς πρώτοις

τὰ εὐγενέστερα τοῦ Θεοῦ δῶρα τὰ τῆς ὁράσεως καὶ ἀκοῆς αἰσθητήρια καὶ τὰς κατὰ φύσιν αὐτῶν ἐνεργείας ἰδίαις ὀνομασίαις ὠνόμασαν. Τοῦτο δ' ἂν εἴη ἡ ἀρχὴ καὶ τὰ πρῶτα στοιχεῖα τῆς τῶν ἐκτὸς μορίων ἀνατομῆς τῶν ὀφθαλμῶν καὶ ὤτων.

Παλαίταται δ' ὀφθαλμῶν ὀνομασίαι, ἔμοιγε δοκεῖ, αἱ ἐκ τῆς ἀρχετύπου κοινῆς Ἑλλήνων τε καὶ Ἰταλῶν ῥίζης οκ (oc, ok) γεγενημέναι ἂν εἶεν, ἤτοι *ὄκκος*, *ὄκταλλος*, *ὄσσε*=*ὀκι-ε*· ἡ γὰρ οκ ἐκ τῆς τῶν ἰαπετικῶν γλωσσῶν ῥίζης ak (ak-ti ὁρᾶν) γέγονε· φανερὸν δ' ὅτι ἡ οκ προγενεστέρα τῆς ῥίζης οπ, ἢ μόνον τῇ τῶν Ἑλλήνων φωνῇ ἰδιάζει. Παλαιτάτη δὲ τῶν τῆς ἀκοῆς ὀνομασιῶν τὸ καθωμιλημένον *αὐτίον* ἢ *αὐτὶ* ἂν εἴη καὶ τὸ παρὰ Ταραντίνοις *ἄτα* καθ' Ἡσύχιον ἤτοι αF-τ-α (λιθουανιστὶ aus-is)· πάσαις γὰρ ταῖς ἰαπετικαῖς γλώσσαις μόνον ἡ δίφθογγος *au* (αυ, aF) ἐστι κοινὴ ἐν ταῖς τῶν ὤτων ὀνομασίαις· οἷον λατινιστὶ *aur-i-s*, γοτθιστὶ *aus-o*, λιθουανιστὶ *aus-i-s*, σλαβιστὶ *uch-o*.

Ἴδωμεν δὲ τίνες τῶν ὀμμάτων καὶ τίνες τῶν ὤτων ὀνομασίαι τέθεινται τοῖς Ἕλλησι καὶ τίνες τούτων παλαίτεραι τυγχάνουσιν οὖσαι.

α'. Περὶ ὀνομασιῶν ὀμμάτων.

Αἱ τῶν ὀφθαλμῶν ὀνομασίαι, αἱ μὲν ἐκ τῆς ἀρχετύπου ῥίζης *οκ* γίνονται καὶ ἀρχαιότεραι δοκοῦσιν εἶναι, οἷον *ὄκκος*, *ὄκταλλος* καὶ *ὄσσε* (ὄκι-ε)· αἱ δὲ ἐκ τῆς *οπ* κατὰ μεταγραμματισμὸν ἀπὸ τῆς *οκ* γεγενημένης, οἷον *ὄππα* καὶ *ὄθμα* τὰ αἰολικά, τὰ δωρικὰ *ὀπτίλος* ἢ *ὀπτίλλος* ἢ *πτίλλος*, τὰ ἐπικὰ *ὀπωπὴ* καὶ *ἐνωπή*, τὰ ἐν τῇ κοινῇ χρήσει *ὀφθαλμὸς* καὶ *ὄμμα*, πρὸς δὲ *ὄψις* καὶ *ὤψ* ἢ *ὄψ*· αἱ δὲ ἐκ διαφόρων ῥιζῶν γίγνονται καὶ παρὰ τοῖς ποιηταῖς ἐνίοτε ἐν χρήσει εἰσίν, οἷον *ὁράσεις*, *αὐγαί*, *φάεα*, *γλήνη*, *κόραι*, *βλέφαρα*, *ὀφρύες*, *ἴλλοι*, *ὀπαί*, *δέργματα*.

1) Αἱ μὲν ὀνομασίαι *ὄκκος*, *ὄκταλλος* καὶ *ὄσσε*, ὡς καὶ τὸ *ὄσσω*, *ὄσσομαι*, γίγνονται ἐκ τῆς ῥίζης *οκ* κοινῆς Ἕλλησί τε καὶ Ἰταλοῖς καὶ δὴ ἀρχαιοτέρας τῆς *οπ*, καθ' ἃ διδάσκει ἡ γλωσσολογία. Παλαίτεραι ἄρα αὗται ἂν εἶεν αἱ ὀνομασίαι τοῦ τῆς ὄψεως αἰσθητηρίου.

Καὶ *ὄκκος* μὲν (ὄκ-Fο-ς ἢ ὄκ-κο-ς) μόνον παρ' Ἡσυχίῳ ἀναγινώσκεται «*ὄκκον*, ὀφθαλμόν»· *Ὄκταλλος* δὲ (ὄκ-τ-αλλο-ς) μόνον

παρ' Ἀρκαδίῳ τῷ γραμματικῷ εὕρηται 54,4· «*ὄκταλλος*, ὁ ὀφθαλμὸς παρὰ Βοιωτοῖς» καὶ παρ' Ἡρῳδιανῷ αὐτολεξεὶ ἐν II, 559,26 καὶ I, 158,17. Δοκῶ δέ μοι ἐν τῇ ἀρχαίᾳ βοιωτικῇ διαλέκτῳ *ὄκταλλον* ὀνομάζεσθαι τὸν ὀφθαλμόν· οἱ γὰρ μετέπειτα Δωριεῖς ὀπτίλλους ἐκάλουν τὰ ὄμματα. Εἰκὸς δ' ἂν εἴη *ὄκκον* καὶ ὄκταλλον παλαίτερα γεγονέναι· φανερὰ γὰρ ἐν τούτοις ἡ ἀρχαιοτέρα κατὰ τὴν γλωσσολογίαν ῥίζα *οκ*.

Ὅσσε αἰολικὸν καθ' Ἡρῳδιανὸν καὶ δυϊκὸν οὐδέτερόν ἐστι, γίνεται δ' ἐκ τοῦ ὄπτω, ὃ ἐστιν αἰολικῶς *ὄσσω*. Λέγει δ' Ἡρῳδιανὸς I, 208,20, ὅτι, ὥσπερ ὁ σκότος καὶ τὸ σκότος, ὁ ἔλεγχος καὶ τὸ ἔλεγχος, οὕτως ἐστὶν *ὁ ὄσσος* καὶ *τὸ ὄσσος*· τὸ δ' *ὄσσε* γίγνεσθαι κατὰ συγκοπὴν ἢ ἀποκοπὴν ἐκ τοῦ δυϊκοῦ τοῦ οὐδετέρου *ὄσσεε*. Κατ' ἄλλους δὲ γραμματικοὺς ἐκ τοῦ *ὄσσω*, δυϊκοῦ τοῦ *ὁ ὄσσος*, κατὰ μεταπλασμὸν γίνεται τὸ *ὄσσε*. Ταὐτὰ δὲ καὶ Εὐστάθιος μνημονεύει ἐν Ἰλ. σ. 58,24. Ἀλλ' ἄλλως ἡ συγκριτικὴ τῶν γλωσσῶν ἐπιστήμη διδάσκει. Μία γὰρ ἐκ τῶν πολλῶν ἀρχετύπων ῥιζῶν, αἳ τὴν ἔννοιαν τοῦ ὁρᾶν σημαίνουσιν, ἐστὶν ak. Φανερὰ δ' ἐν τῷ λιθουανικῷ ak-i-s καὶ τῷ σανσκριτικῷ ak-sh-i, ἃ ὀφθαλμὸν σημαίνουσιν. Ἐκ τῆς ῥίζης ταύτης τῆς ἀρχικῆς *ak* [ἑλληνιστὶ καὶ λατινιστὶ *οκ*, ἐξ οὗ *οπ*] ἐγένοντο ἐν ἁπάσαις ταῖς ἰαπετικαῖς γλώσσαις αἱ τοῦ αἰσθητηρίου τῆς ὄψεως ὀνομασίαι. Οὕτω ak-i-ς (ak-ti, ὁρᾶν) λιθουανιστί, ak-sh-i σανσκριτιστί, ashi (akhsh, ὁρᾶν) ζενδιστί, aug-ô γοτθιστί, oc-ulu-s λατινιστί, καὶ ok-o ἐν τῇ ἀρχαίᾳ σλαβικῇ. Ἡ ἀρχαιοτάτη ἄρα τῆς τῶν Ἑλλήνων καὶ Λατίνων φωνῆς ῥίζα, ἐξ ἧς τὸ τῆς ὁράσεως ὄργανον ὠνόμασται, ἐστὶν *οκ* (λατ. oc. σλϐ. ok). Φαίνεται δ' ἡ ῥίζα *οκ* σαφῶς μὲν ἐν τῷ *ὄκκος* καὶ *ὄκταλλος*, λανθάνουσα δέ πως ἐν τῷ *ὄσσομαι*=οκ-jo-μαι καὶ ἐν τῷ *ὄσσε*=ὄκι-ε, οὗ τὸ στέλεχος *ὀκι* ἀκριβῶς τῷ λιθουανικῷ aki ἀντιστοιχεῖ. Τοῦ δ' οὐδετέρου δυϊκοῦ *ὄσσε* ἀντίστοιχον ἔχομεν ἐν τῇ ἀρχαίᾳ σλαβικῇ τὸν τοῦ *oko* δυϊκὸν *oci*. Ἐκ δὲ τῆς κοινῆς Ἑλλήνων καὶ Ἰταλῶν ῥίζης *οκ* κατὰ μεταγραμματισμὸν τοῦ ὀρανισκοφώνου *κ* εἰς χειλεόφωνον *π* ἐγένετο ἡ τῇ ἑλληνίδι φωνῇ ἰδία ῥίζα *οπ*, ἐξ ἧς αἱ πλεῖσται τῆς ὄψεως ὀνομασίαι. Καὶ ταῦτα μὲν οὕτως ἡ γλωσσολογία διδάσκει. Ὅτι μὲν οὖν τὸ *ὄσσε*=*οκι-ε* καὶ τὸ *ὄκκον*=*οκ-Fον* καὶ τὸ *ὄκταλλος*=*ὀκ-τ-αλλο-ς*, τοῦτο πιθανῶς ἀληθὲς ἂν εἴη· ὅτι δὲ τὸ *ὄσσε*

ὄνομα δυϊκοῦ ἀριθμοῦ ἐστιν, οὐ σύμφημι· εὕρηται γάρ, ὡς γέ μοι δοκεῖ, καὶ ἑνικοῦ ἀριθμοῦ τὸ *ὄσσε* καὶ πληθυντικοῦ τὰ *ὄσσε* καὶ δυϊκοῦ τὼ *ὄσσε*, ὃ καὶ συνηθέστερον, ὅτι δύο οἱ ὀφθαλμοί εἰσιν. Ἄκλιτον δέ τι τὸ *ὄσσε* ἐν ὀνοματικῇ χρήσει εἶναι ἔμοιγε δοκεῖ καὶ δὴ ὀνοματικὴ τοῦ *ὄσσω* προστακτική, ἧς καὶ νῦν ἐν τῇ καθωμιλημένῃ χρῆσις γίνεται· οἷον «*μὲ τὸ δὲ δὲ* (*ἰδέ, ἰδὲ*) *τὸν μάτιασε*». Εὕρηται δὲ τὸ ἄκλιτον μόνον *ὄσσε παρ'* Ὁμήρῳ· βεβαίως μὲν ἐν πληθυντικῇ καὶ δυϊκῇ ὀνομαστικῇ καὶ αἰτιατικῇ· οἷον «*ὄσσε - αἱματόεντα*» N 616, «*ὄσσε φαεινὰ*» N 435 («*τὰ ὄσσε*» παρὰ Νικάνδρῳ Ἀλ. 435), καὶ «*τὼ ὄσσε*» πολλάκις· πιθανῶς δὲ εἴρηται καὶ ἡ ἑνικὴ ὀνομαστικὴ «*ὀξύτατον ὄσσε*» Ψ 477, καὶ ἡ πληθυντικὴ γενικὴ «*ὄσσε δ' ἄμερδεν*» N 340 καὶ «*κατ' ὄσσε*» Π 325. Παρὰ δὲ τοῖς μετέπειτα ἀναγινώσκεται καὶ *ὄσσῳ* ἢ *ὄσσει*, *ὄσσοις* ἢ *ὄσσοισι*, *ὄσσων* ἢ *ὀσσέων*. Ἀλλὰ περὶ τούτων ἐν ἄλλῳ τόπῳ ἐπισταμένως καὶ λεπτομερῶς ἔσται ἡμῖν ὁ λόγος.

2) Ἐκ δὲ τῆς ῥίζης *οπ* τῆς κατὰ μεταγραμματισμόν, ὡς ἔφθημεν εἰπόντες, ἐκ τῆς παλαιτέρας *οκ* γεγενημένης αἱ πλείους εἰσὶ τῶν ὀφθαλμῶν ὀνομασίαι· οὕτω τὰ αἰολικὰ *ὄππα* καὶ *ὄθμα*· τὰ δωρικὰ *ὀπτίλος* ἢ κατ' Ἀρκάδιον *ὀπτίλλος* ἢ κατ' Ὀλυμπιόδωρον *πτίλλος*· τὰ ἐπικὰ *ὀπωπὴ* καὶ *ἐνωπή*· τὰ ἐν κοινῇ χρήσει *ὀφθαλμὸς* καὶ *ὄμμα*· πρὸς δὲ *ὄψις* καὶ *ὤψ* ἢ *ὄψ*.

Τὸ *ὄππα*, ἐν ᾧ φανερὰ καὶ ἀμετάβλητος ἡ ῥίζα *οπ*, *ὀπ-πα*, τοῖς Αἰολεῦσιν ἰδιάζει. Καὶ ὁ μὲν Κορίνθου Γρηγόριος ἐν τῷ Περὶ Αἰολίδος 4 λέγει· «Ἔστι δ' ὅτε καὶ ἀντὶ τοῦ *μ* χρῶνται αὐτῷ (τῷ *π* οἱ Αἰολεῖς)· τὰ γὰρ ὄμματα *ὄππατα* λέγουσι». Καὶ εἰκότως δ' ἄν τις εἴποι, τὸ αὐτὸ ῥηματικὸν *ὀπ-μα* τοὺς μὲν Αἰολεῖς ἐπὶ τὸ ἀρχαϊκώτερον εἰς *ὄππα* μεταβαλεῖν, τοὺς δ' Ἴωνας εἰς *ὄμμα*. Εὕρηται δὲ τὸ *ὄππα* ἐν δυσὶ τῆς Σαπφοῦς στίχοις, ἐν τῷ παρὰ Λογγίνῳ ἀποσπάσματι 2,11·

ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιῤῥόμβεισι δ' ἄκουαι·

καὶ ἐν Απ. 28ψ τῆς τῶν αἰολικῶν τῆς Σαπφοῦς μελῶν συλλογῆς·

αἴδως κέ σ' οὐ κίχανεν ὄππατ'.

Τὸ δὲ καθ' Ἡσύχιον αἰολικὸν *ὄθμα* εἴη μὲν ἂν ἐκ ῥίζης *οθ*, *ὀθ-η*

(φροντίς, ὥρα), *ὄθ-ομαι* (φροντίζω, προσέχω) παραγαγεῖν, ἀλλὰ μὴν καὶ ταύτην ἐκ τῆς *οπ* οἶομαι γενέσθαι εἴτε κατὰ μεταγραμματισμόν τις ἐθέλοι, εἴτ' ἀποβολῇ τοῦ *π*, *ὄπ-θ-μα*, *ὄ-θ-μα*. Τούτῳ δὲ Νίκανδρος χρῆται ἐν Ἀλεξιφαρμάκοις 33 «*ὄθμασι διηνέμησαν ἔπι*» καὶ ἐν Θηριακοῖς 177·

Δοιοὶ δὲ σκυνίοισιν ὑπερφαίνουσι μέτωπον
οἷα τύλοι, τὸ δ' ἔνερθεν ὑπαιφοινίσσεται *ὄθμα*
πολλὸν ὑπὸ σπείρης [ἀσπίδος],

καὶ ἐν Θηρ. 443·

πίονα δ' ἐν σκυνίοισιν ὑπ' *ὄθματα*.

Εὕρηται δὲ τὸ *ὄθμα* καὶ ἐν τῷ εἰς Εἴσιν τοῦ Ἀνδρίου ποιητοῦ ὕμνῳ 67, ὃς παρὰ Καιβέλῳ Ἐπιγράμμασι σ. 439 κεῖται·

περιπάλλετο δ' ἐν φρεσὶ θάμβος
εἰρεσίαν ἀδάητον ἐτ' *ὄθμασι* παπταινοίσαις.

Καὶ Ἡρῳδιανὸς δὲ II, 558,16 *ὄθματα ὄμματα* λέγει.

Ὀπτίλος ἤ, ὡς Ἀρκάδιος 54,15 καὶ Ἡρῳδιανὸς I, 159,5 γράφει, *ὀπτίλλος* (*οπ*, *ὀπ-τ-ιλο-ς*) ἢ κατ' Ὀλυμπιόδωρον *πτίλλος* (*ὀπ-τ-ίλλος*, πτίλλος, ὡς τὸ καθωμιλημένον *μάτι* παρὰ τὸ *ὀμμάτιον*) ὁ ὀφθαλμὸς παρὰ τοῖς Δωριεῦσιν ἐλέγετο. Ὡς Δέφνερός φησιν ἐν Τσακωνικῇ γραμματικῇ 120, καὶ νῦν ἔτι ἐν τῇ τσακωνικῇ διαλέκτῳ παρεφθαρμένη πως σώζεται ἡ λέξις· *ψιλὲ* (psilè) λέγουσιν οἱ Τσάκωνες τὸν ὀφθαλμόν, ὃ ἐκ τοῦ *ὀπτιλὸς* γίνεται, κατὰ Δέφνερον οὐκ ὀρθῶς *ὀπτίλος* λέγοντος Ἡσυχίου, ἀποβολῇ τοῦ *ο* πτιλός, καὶ τροπῇ τοῦ *τ* εἰς *σ πσιλός*, *ψιλέ*, ὡς δωρικῶς *ψίλον* ἀντὶ πτίλον λέγεται. Ἐν ταῖς ἐν Ἐπιδαύρῳ ἐπιγραφαῖς ἀναγινώσκεται πολλάκις ἐν τοῖς ἰάμασιν *ὀπτίλλος*. Εὕρηται δὲ καὶ ἐν τῷ περὶ ἀρετῆς ἀποσπάσματι Μετώπου τοῦ Πυθαγορείου τῷ παρὰ Στοβαίῳ Ἀνθολογίῳ I, 18. Fragmenta II, 23· «*ὀπτίλων* τε γὰρ ἀρετὰ ὀξυδορκία· αὕτα δ' ἀκρότας » ἐντὶ τᾶς ὀφθαλμῶν φύσιος· καὶ οὐάτων ἀρετὰ ὀξυακοία· αὕτα δ' » ἀκρότας ἐντὶ τὰς οὐάτων φύσιος»· καὶ ἐν ἀποσμάσματι Φίντυος τῆς Πυθαγορείας τῷ παρὰ Στοβαίῳ III, 63. Frg. II, 36· «ἁ μὲν « τῶν *ὀπτίλων* (ἀρετὰ) τὼς *ὀπτίλως*, ἁ δὲ τᾶς ἀκοᾶς, τὰν ἀκοάν». Καὶ Πλούταρχος δ' ἐν Λυκούργῳ 11,7 μαρτυρεῖ ὅτι *ὀπτίλους* οἱ Δωριεῖς οἱ ἐν Σπάρτῃ τοὺς ὀφθαλμοὺς ἐκάλουν· δι' ὃ καὶ τὴν Ἀθηνᾶν *ὀπτιλέτιν* προσηγόρευσε Λυκοῦργος ὁ Λακεδαιμονίων βασιλεύς,

ἱερὸν αὐτῇ ἱδρυσάμενος σωτηρίας ἕνεκα τοῦ αὐτοῦ ὀφθαλμοῦ, ὑπ' Ἀλκάνδρου πληγέντος. Παυσανίας δὲ 3,18,2 ναὸν Ἀθηνᾶς *ὀφθαλμίτιδος* τὸ ἱερὸν τοῦτο ὀνομάζει· Ὀλυμπιόδωρος δ' ἐν Πλάτωνος Γοργίᾳ κ. 44 *πτιλλίαν* μὲν τὴν Ἀθηνᾶν ταύτην, *πτίλλους* δέ φησι τοὺς ὀφθαλμοὺς παρὰ Λακεδαιμονίοις καλεῖσθαι, ὧδε λέγων· « ἱστορεῖται γὰρ ὅτι *πτιλλίας* Ἀθηνᾶς ἱερὸν ἐποίησε· *πτίλλους* δὲ » ἐκάλουν τοὺς ὀφθαλμούς· εἰ δὲ ἦν τυφλωθείς, οὐκ ἂν ἐποίησεν » ἱερόν », ὡς Ἀλβέρτος σημειοῦται παρ' Ἡσυχίῳ ἐν λέξει *πτίλῳ*.

Ὀπωπὴ (ὄπωπ-α) πολλάκις παρ' Ὁμήρῳ εὑρηται κυρίως *ὄψιν* σημαίνουσα, ὡς ἐν Ὀδυσσείᾳ γ 97 καὶ δ 327, ρ 44

ἀλλ' εὖ μοι κατάλεξον ὅπως ἥντησας ὀπωπῆς

λέγει ὁ Τηλέμαχος τῷ Νέστορι καὶ τῷ Μενελάῳ· πρὸς δὲ καὶ ἐν Ὕμνῳ εἰς Δήμητραν 157 *ὄψις* ἐστὶν ὁ νοῦς τῆς λέξεως. Ἐν δὲ ι 512

χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς,

ἔνθα ὁ Κύκλωψ λέγει ὅτι ὁ μάντις Τήλεμος Εὐρυμίδης προὐμάντευσε τὴν τύφλωσιν αὐτοῦ, *ὀπωπὴ* διττὸν ἂν σημαίνοι εἴτε τὴν αἴσθησιν εἴτε τὸ αἰσθητήριον τοῦ ὁρᾶν, *τὴν ὄψιν* ἢ τὸν *ὀφθαλμόν*· κατ' ἀμφοτέρας δὲ τὰς διανοίας τῆς λέξεως ὀρθῶς ἂν εἴη τὸν στίχον τοῦτον ἐξηγήσασθαι· ὁ γὰρ Κύκλωψ μονόφθαλμος, ὥστ' εἰκότως, κἂν *ὀπωπὴ* ὀφθαλμὸν ἐνταῦθα σημαίνῃ, ἐνικῶς εἴρηται *ἁμαρτήσεσθαι ὀπωπῆς* καὶ οὐ πληθυντικῶς *ἁμαρτήσεσθαι ὀπωπῶν*. Ἐπὶ τῇ ἐννοίᾳ ὀφθαλμοῦ κυρίως ἀναγινώσκεται *ὀπωπὴ* ἐν τοῖς Ἀργοναυτικοῖς Ἀπολλωνίου τοῦ Ῥοδίου Β 107·

τοῦ δ' ἄσσον ἰόντος
δεξιτερῇ σκαιῆς ὑπὲρ ὀφρύος ἧλασε χειρί,
ὄρυψε δέ οἱ βλέφαρον, γυμνὴ δ' ὑπελείπετ' *ὀπωπή*.

Οὐκ ὀρθῶς δ' ἐν τοῖς Σχολίοις *ὀπωπὴ* ἐνταῦθα λέγεται *ἡ τοῦ ὀφθαλμοῦ χώρα*. Φανερὸν δ' ἐξ αὐτοῦ τοῦ χωρίου· ὁ γὰρ Πολυδεύκης τῇ χειρὶ τὸ Βέβρυκος Μίμαντος βλέφαρον τὸ ἄνω ἢ τὸ κάτω ἔδρυψεν· εἰκὸς ἄρα τὸν ὀφθαλμὸν γυμνὸν ὑπολειφθῆναι καὶ οὐ τὸν κόγχον, τὴν τοῦ ὀφθαλμοῦ χώραν, ἣ τότε μόνον γυμνὴ ἂν ἔμενεν, εἰ μὴ τὸ βλέφαρον ἐδρύπτετο, ἀλλ' αὐτὸς ὁ ὀφθαλμὸς ἐξωρύττετο. Πρὸς δὲ ἐν Β 445 «*κεφαλαὶ γὰρ ὑποσμύχονται ὀπωπαί*» καὶ Γ 1023 «*ἐπὶ σφίσι*

βάλλον ὀπωπάς». Ἀλλὰ μὴν καὶ παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ ὄψις σημαίνει ἐν Δ 1670·

(Μήδεια) θεμένη δὲ κακὸν νόον ἐχθοδοποῖσιν
ὄμμασι χαλκείοιο Τάλω ἐμέγηρεν ὀπωπάς.

Καὶ Μουσαῖος ἐπὶ τῇ διττῇ ταύτῃ δυνάμει χρῆται τῇ λέξει· καὶ ὄψιν μὲν σημαίνει ἐν στίχῳ 78

παπταίνων ἐμόγησα, κόρον δ' οὐχ εὗρον ὀπωπῆς

ὀφθαλμὸν δ' ἐν 101

λοξὰ δ' ὀπιπτεύων δολερὰς ἐλέλιξεν ὀπωπὰς

καὶ ἐν 160

Παρθενικὴ δ' ἄρθογγος ἐπὶ χθόνα πῆξεν ὀπωπήν.

Καὶ Κόλουθος ἐν Ἁρπαγῇ Ἑλένης 123

θεῶν δ' ἀλέεινεν ὀπωπήν

ἐπὶ τῇ ἐννοίᾳ ὄψεως χρῆται τῇ λέξει· ὀφθαλμὸν δὲ σημαίνει ἡ λέξις ὀπωπὴ ἐν 302.

ἔννεπεν· ἡ δ' ἐρόεσσαν ἐπὶ χθονὶ πῆξεν ὀπωπήν.

Ἀλλὰ μὴν καὶ ἐπὶ τῇ ἐννοίᾳ προσώπου ἢ μορφῆς χρῆσιν τῆς λέξεως ποιοῦνται πολλοί.

Ἐπὶ τῇ σημασίᾳ ὀφθαλμοῦ χρῶνται τῇ λέξει ὀπωπῇ καὶ Τρυφιόδωρος ἐν Ἁλώσει Ἰλίου 72 «*φοινίσσοντο ὀπωπαί*» καὶ Χριστόδωρος ἐν Ἐκφράσει 334 «*Φαέων γὰρ ἐρημάδες ἦσαν ὀπωπαί*» καὶ Ὀππιανὸς ἐν Κυνηγετικοῖς Γ 75 «*μελαινομένῃσιν ὀπωπαῖς*»· ὄψιν δὲ ἢ βλέμμα ἢ ὄμμα δύναται καὶ παρ' Ὀρφεῖ Λιθικοῖς 549·

τῆς δ' ἄρα καὶ φθιμένης περ' ὀλέθριος ἔσκεν ὀπωπή.

Ἐν γένει δ' εἰπεῖν ὀπωπὴ σημαίνει αὐτὴν τοῦ ὁρᾶν τὴν ἐνέργειαν, τὴν τῆς ὄψεως αἴσθησιν, τὸ τῆς ὄψεως αἰσθητήριον ἤτοι τὸν ὀφθαλμόν, τὸ πρόσωπον ἢ τὴν μορφήν, τὴν πρόσοψιν, τὴν θέαν. Ἔστι δὲ κυρίως παρὰ τοῖς ἐπικοῖς ποιηταῖς ἐν χρήσει.

Ἐνωπὴ δὲ παρ' Ὁμήρῳ μὲν ὄψιν σημαίνει Ε 374 (Φ 510), παρὰ Νικάνδρῳ δ' ὀφθαλμὸν φανερῶς Θηρ. 228 «*ἐνωπῆς γλήνεα φοινίσσει* (ὁ ἔχις)», ἔνθα «*ἐνωπῆς γλήνεα*» οὐδὲν ἄλλο ἢ τὸ τοῦ ὀφθαλμοῦ λευκὸν ἂν εἴη.

Ὀφθαλμὸς καὶ *ὄμμα* αἱ κύριαί εἰσιν τοῦ τῆς ὄψεως αἰσθητηρίου ὀνομασίαι καὶ συνήθεις παρὰ πᾶσι τοῖς ποιηταῖς καὶ πεζογράφοις καὶ ἰατροῖς ἀπὸ Ὁμήρου μέχρις ἡμῶν. Παρ' Ἀριστοφάνει ἱππεῦσι 909

εὕρηται καὶ ὑποκοριστικὸν *ὀφθαλμίδιον*, πρὸς δὲ *ὀμμάτιον* ἐν Ἀριστοτέλους Φυσιογνωμονικοῖς γ'.4,6,25 καὶ *ὀμματίδιον* παρὰ τοῖς μετέπειτα. Ἄμφω δ' ἐκ τῆς *ὀπ* παράγονται ῥίζης· καὶ τὸ μὲν *ὄμμα* ῥηματικόν ἐστι τοῦ ὄπτομαι, ὄπ-μα, ὄμμα. *Ὀφθαλμὸς* δὲ κατ' ἄλλους μὲν παράγεται ἐκ ῥήματος οπ-τ-άλλ-ω, ὅπερ τῷ Βοιωτικῷ ὄκτ-αλλο-ς ἀντιστοιχεῖ καὶ ἐξ οὗ *ὀπταλμὸς* γίνεται, τροπῇ δὲ τῶν ψιλῶν πτ εἰς δασέα *φθ*, *ὀφθαλμός*· οἱ δὲ τῇ ῥίζῃ *ὀπ* προστιθεῖσι *θ* ἤτοι οπ-θ, οφ-θ, ἐξ οὗ οφ-θ-άλλ-ω· ἐκ τούτου δ' ὀφ-θ-αλμό-ς. Ἐκ δὲ τῶν ἀρχαίων γραμματικῶν ἄλλοι ἄλλως παράγουσιν, οἷον παρὰ τὸ ὄπτω καὶ ἄλλομαι, ὀπῶν θάλαμοι κλ. κατὰ τὸ Μέγα Ἐτυμολογικὸν 643,55. *Ὄμμα* παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ πάντοτε πληθυντικῶς ἀναγινώσκεται, παρὰ δὲ τοῖς μετέπειτα καὶ ἑνικῶς καὶ πληθυντικῶς. Παρὰ τοῖς τραγικοῖς ποιηταῖς *ὄμμα* σημαίνει καὶ θέαμα καὶ ὅραμα καὶ φάντασμα καὶ βλέμμα καὶ πρόσοψιν· καὶ ἐν πολλαῖς δ' ἄλλαις σημασίαις μεταφορικῶς ἐν χρήσει εἰσὶν *ὀφθαλμὸς* καὶ *ὄμμα*, ἀλλὰ τούτων πέρι οὐδόλως ἡμῖν ἐνταῦθα μέλει.

Ὄψις (ὀψι, ὀπ) κυρίως αὐτὴ τοῦ ὁρᾶν ἡ ἐνέργειά ἐστιν ἢ εἴ τις ἐθέλοι ἡ τῆς ῥίζης *ὀπ* ἐνέργεια. *Ὄψις* λέγεται καὶ μία τῶν *αἰσθήσεων* ἡ διὰ τῶν ὀφθαλμῶν, ὡς Πλάτων φησὶν ἐν Θεαιτήτῳ 156b· «Αἱ μὲν οὖν αἰσθήσεις τὰ τοιάδε ἡμῖν ἔχουσιν ὀνόματα, ὄψεις τε καὶ ἀκοαὶ καὶ ὀσφρήσεις». Ἀπὸ Ὁμήρου Υ 203 καὶ ψ 94 ἐν χρήσει ἦν *ὄψις* παρά τε ποιηταῖς καὶ πεζοῖς ἐπὶ ταύτῃ τῇ ἐννοίᾳ. Αἰνείας τῷ Ἀχιλλεῖ λέγει, ὅτι τὴν γενεὰν ἀλλήλων γινώσκουσι τῇ ἀκοῇ καὶ οὐχὶ τῇ τοῦ ὁρᾶν αἰσθήσει, *τῇ ὄψει* Υ 203·

> ἴδμεν τ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας,
> πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
> ὄψει τ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ' ἄρ' ἐγὼ σούς.

Παρὰ δὲ Πλάτωνι καὶ ἄλλοις εὕρηται *ἡ τῆς διανοίας ὄψις* καὶ *ἡ τῆς ψυχῆς ὄψις*. Ἀλλὰ καὶ *πρόσοψιν* καὶ *πρόσωπον* καὶ νυκτὸς ὅραμα, ὄνειρον, σημαίνει. Ἀλλ' ὃ ἡμῖν ἐνταῦθα χρήσιμον, καὶ *ὀφθαλμὸν* σημαίνει. Καὶ τὴν χρῆσιν μὲν ταύτην Φώτιος ἀποδοκιμάζει ὧδε λέγων· «Ὄψιν, οὐ τὸ πρόσωπον οὐδὲ τοὺς ὀφθαλμούς, ἀλλὰ τὴν πρόσοψιν λεκτέον.»· ἀλλὰ μὴν καὶ παρ' Ἱπποκράτει καὶ ἄλλοις ἰατροῖς καὶ παρὰ ποιηταῖς καὶ πεζογράφοις *ὄψις* συχνῶς εὕρηται ὀφθαλμὸν σημαίνουσα. Οὕτω Ἱπποκράτης λέγει 37,20 (Foës.). 1,91 (Kühn) «ἢ

λῆμαι φαίνονται περὶ τὰς ὄψιας » καὶ « *ἢ αἱ ὄψιες αὐχμῶσαι καὶ ἀλαμπεῖς* » καὶ ἐν 153, B. 1,267 Kühn « *καὶ τὸ τὰς ὄψιας πυκνὰ διαῤῥίπτειν* ». Καὶ Ἀρεταῖος δὲ σ. 217 « *ἀπιθύνειν τε τῆς ὄψεος τὰ διάστροφα* » λέγει, ἔνθα ὡς καὶ ἐν ἄλλοις χωρίοις ὄψις ὀφθαλμὸν σημαίνει. Καὶ Σοφοκλῆς ἐν Ἀντιγόνῃ 52 « *διπλᾶς ὄψεις ἀράξας* » καὶ ἐν Οἰδίποδι Τυράννῳ 1328 » *σὰς ὄψεις μαρᾶναι* ». Καὶ Εὐριπίδης ἐν Φοινίσσαις 764 « *ὄψιν τυφλώσας* » καὶ ἐν Κύκλωπι 463·

οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυανῶ κόρας

καὶ ἐν 595

πλὴν πυρσοῦν| Κύκλωπος ὄψιν.

Καὶ Ξενοφῶν δ' ἐν *Συμποσίῳ* Ε,6· « *ἐᾷ εὐθὺς τὰς ὄψεις ὁρᾶν ἃ ἂν βούλωνται* »· καὶ Πλούταρχός φησι ἐν *Συμπ. προβλημ.* Α,6. 615d. « *Καὶ κύκλῳ ταῖς ὄψεσιν ἐπελθὼν τοὺς κατακειμένους* ». Καὶ ἐν πολλοῖς ἄλλοις τούτων τε καὶ ἄλλων συγγραφέων χωρίοις ὄψις καὶ ὄψεις συχνῶς εὑρηται ὀφθαλμὸν σημαίνοντα. Ἀλλὰ μὴν ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις καὶ παρ' ἄλλοις ὄψις καὶ ἡ ὄψις λέγεται καὶ ἡ κόρη καὶ τὸ ἐξιὸν ὀπτικὸν πνεῦμα. Ῥοῦφος δ' ὄψιν καὶ κόρην καὶ γλήνην ταὐτά φησιν εἶναι. Ἀλλὰ περὶ τούτου ἐκτενέστερον ἐν ἑτέρῳ τόπῳ ἔσται ἡμῖν ὁ λόγος.

Ὤψ, ὠπὸς (ωπ, οπ) μόνον μετὰ τῆς εἰς προθέσεως ἐν ταῖς φράσεσιν « *εἰς ὦπα ἰδέσθαι* » καὶ « *εἰς ὦπα ἔοικεν* » εὑρηται παρ' Ὁμήρῳ καὶ παρ' Ἡσιόδῳ. Γίνεται δὲ κατὰ τοὺς ἀρχαίους γραμματικούς, Ἐτυμολογικὸν μέγα 826,7, Μοσχόπουλον Περὶ Σχεδῶν 105 καὶ Ζωναρᾶν 1494, ἀπὸ τοῦ μέλλοντος *ὄψω* ἢ *ὄψομαι* ἀποβολῇ τῆς καταλήξεως καὶ τροπῇ τοῦ ο εἰς ω. Καὶ ἡ μὲν φράσις *εἰς ὦπα ἰδέσθαι* ἐν τοῖσδε τοῖς στίχοις εὑρηται τοῦ Ὁμήρου·

Ι, 373

οὐδ' ἂν ἔμοιγε
τετληίη, κύνεός περ ἐών, εἰς ὦπα ἰδέσθαι·

Ο 147

αὐτὰρ ἐπὴν ἔλθητε, Διὸς τ' εἰς ὦπα ἴδησθε,

χ 405

[Ὀδυσσεὺς] δεινὸς δ' εἰς ὦπα ἰδέσθαι.

ψ 107

οὐδ' εἰς ὦπα ἰδέσθαι ἐναντίον.

Ἡ δὲ φράσις *εἰς ὦπα ἔοικεν* εὑρηται παρά τε Ὁμήρῳ καὶ Ἡσιόδῳ ἐν τοῖδε τοῖς στίχοις·

Γ 158

αἰνῶς ἀθανάτῃσι θεῇς εἰς ὦπα ἔοικεν [Ἑλένη].

α 411

οὐ μὲν γάρ τι κακῷ εἰς ὦπα ἐῴκει.

Καὶ παρ' Ἡσιόδῳ Ἔργοις καὶ Ἡμέραις 62 ἅπαξ μόνον·

ἀθανάταις δὲ θεαῖς εἰς *ὦπα ἔῖσκειν*
παρθενικῇς καλὸν εἶδος, ἐπήρατον.

Ἐκ τῶν εἰρημένων χωρίων εἰπεῖν οὐ ῥᾴδιον, εἰ τὸ ὦπα ὄμμα ἢ πρόσωπον σημαίνοι· ἀμφοτέρως γὰρ ὀρθῶς ἄν τις ἐξηγήσαιτο. Δοκῶ δέ μοι ἐν μὲν τῷ *εἰς ὦπα ἰδέσθαι* τὸν ὀφθαλμὸν μᾶλλον σημαίνειν, ἐν δὲ τῷ *εἰς ὦπα ἔοικε* τὸ πρόσωπον ἢ τὴν μορφήν. Ἐν δὲ ταῖς παρ' Ὁμήρῳ καὶ Ἡσιόδῳ συνθέσεσιν *ὤψ* ὡς ἐπὶ τὸ πολὺ ὀφθαλμὸν σημαίνει· οἷον ἑλίκωψ καὶ ἑλικῶπις, βοῶπις, γλαυκῶπις καὶ γλαυκώψ, κυνώπης, κύκλωψ καὶ ἄλλα, ὡς καὶ τὰ παρὰ τοῖς μετέπειτα μονώψ, τυφλώψ, μύωψ. Μαρτυρεῖ δὲ καὶ Ἡσίοδος ῥητῶς ὅτι *ὤψ* ἐστιν ὁ ὀφθαλμός, ἐν Θεογονίᾳ 144 λέγων ὧδε·

Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
κυκλοτερὴς ὀφθαλμὸς ἓεις ἐνέκειτο μετώπῳ·

Ἀλλὰ καὶ ὄψιν ἢ πρόσοψιν ἢ πρόσωπον ἐν συνθέσεσι σημαίνει πολλάκις· οἷον, *εὐώψ* («τέγγουσ' *εὐῶπα παρειὰν*» Σοφοκλῆς ἐν Ἀντιγόνῃ 530 λέγει), *λιπαρώψ*, *σκυθρωπός*, τὸ παρ' Ὁμήρῳ *αἴθοψ* («αἴθοπι χαλκῷ», «αἴθοπα οἶνον») καὶ ἄλλα. Καθ' Ἡρῳδιανὸν δὲ τὸν γραμματικὸν I, 401,18 καὶ II, 750,36 ὤψ, ὠπὸς ὁ ὀφθαλμός ἐστι.

Πότερον δὲ θηλυκὸν *ἡ ὤψ* ἢ ἀρσενικὸν *ὁ ὤψ* τὸ ὀρθὸν ἂν εἴη, ἢ οὐδέτερον *τὸ ὦπον*, τοῦτο ἐκ τῶν ἐν οἷς εὑρηται Ὁμήρου στίχων σαφῶς εἰπεῖν ἀδύνατον· οὔτε γὰρ ἄρθρον τοῦ γένους ἐνδεικτικὸν συμπαρομαρτεῖ οὔτ' ἐπίθετόν τι προσδιοριστικόν. Ἐν Πλάτωνος Κρατύλῳ 409c ἀναγινώσκεται *τὰ ὦπα* (ὄμματα) κατὰ τὰ πλεῖστα τῶν χειρογράφων· εἰ τοῦτ' ὀρθῶς ἔχοι, τότε καὶ τὸ ἐν τοῖς ἄνω στίχοις «*εἰς ὦπα*» πληθυντικὴ αἰτιατικὴ ἂν εἴη, οὐ ὀνομαστικὴ *τὸ ὦπον*. Πιθανὸν δὲ τοῦτο· τὸ γὰρ *ὦπον* ὑπάρχει ἐν τῷ *πρόσ-ωπον*, *πρόσ-ωπα*, *μέτ-ωπον*. Εὕρηται δὲ τὸ οὐδέτερον *ὦπον* καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ 691,2· ἀλλ' ἐν τῷ αὐτῷ τόπῳ καὶ «*τὸν ὦπα*» καὶ «*τοὺς*

ὦπας» ἀρσενικῶς καὶ ἐν πολλοῖς ἄλλοις τόποις 345,2 καὶ 158,42, ἀλλὰ καὶ θηλυκῶς «τὴν ὄπα» E. M. 344,55. 785,57. 828,45. Συνήθως δ' ὅμως ἀρσενικῶς εὑρηται ἔν τε τῷ Ἐτυμολογικῷ καὶ παρ' ἄλλοις· Εὐστάθιος συχνῶς τοὺς ὦπας λέγει 1426,57· ἐπίσης ὁ Μοσχόπουλος ἐν τῷ Περὶ σχεδῶν 105. Καὶ Ἀρεταῖος ἐν τῷ *Ὀξέων νούσων θεραπευτικῷ* A, ε. σ. 217 «καὶ ξὺν παντὶ τείνηται οἱ ὤψ» λέγει, ἔνθα ὤψ βλέμμα σημαίνει, καὶ «τοιοῖσι δὲ ἔασι οἱ ὦπες οἵδε» ἐν τῷ *Περὶ αἰτιῶν καὶ σημείων* χρονίων παθῶν A, ιε'. σ. 116, ἔνθα ὀφθαλμὸν σημαίνει καὶ ἀρσενικῶς φέρεται. Καὶ Μάξιμος 157 «φίλοις ὤπεσσι» καὶ Ἀθήναιος «τοὺς ὦπας» λέγει Z. 287a καὶ Θ. 367a. Τὸ δὲ παρὰ Θεοκρίτῳ ἐν Ἐπιγράμματι ς, 2 «διγλήνως ὦπας» οὐ φανερόν, εἰ ἀρσενικὸν ἢ θηλικὸν εἴη· τὸ γὰρ *δίγληνος* (ὁ, ἡ) κοινοῦ γένους.

Ἡ *ὄψ*, *ὀπός* (οπ) εὑρηται παρ' Ἐμπεδοκλεῖ κατὰ Στράβωνα H,ε,3.

Μία γίνεται ἀμφοτέρων ὄψ (ὀφθαλμῶν),

364 ἔνθα ὄψιν σημαίνει· Ἀντίμαχος δ' ἐχρήσατο τῷ *ὄψ* ἐπὶ τῇ σημασίᾳ ὀφθαλμοῦ, ὡς παρὰ Στράβωνι H,ε,3.364 «*Δήμητρός τοι Ἐλευσίνης ἱερὴ ὄψ*». Ἔννιοι δ', ὡς Στράβων φησί, κατ' ἀποκοπὴν δέχονται τὸ *ὄψ* ἀντὶ τοῦ *ὄψις*. Καὶ Ἀριστοτέλης δ' ἐν τῷ *Περὶ Ποιητικῆς* κά. I, 474,37 ἀφαιρέσει φησὶ γίγνεσθαι ἐκ τοῦ *ὄψις* τὸ *ὄψ* ἐν τῷ «*μία γίνεται ἀμφοτέρων ὄψ*, ὡς καὶ τὸ *κρῖ* καὶ τὸ *δῶ*. Ὁ δ' Ἡσύχιος λέγει· «*ὄψ· ὄψις, ὀφθαλμὸς ἢ φωνή*». Ὅτι *ἡ ὄψ* καὶ μετὰ ο μικροῦ, πλὴν τῆς συνήθους σημασίας φωνῆς, ὅτε ἀπὸ τῆς ῥίζης *ἐπ ἔπ-ος* γίνεται, σημαίνει καὶ ὀφθαλμὸν καὶ ὄψιν ὡς ἀπὸ τῆς ῥίζης οπ, φανερὸν καὶ ἐκ τῶν συνθέτων· οἷον αἰθ-οψ, αἰθι-οψ, *ἄοψ* καθ' Ἡσύχιον ἀόφθαλμος. Συλλήβδην δ' εἰπεῖν, συνηθέστερον μὲν ἀρσενικῶς *ὁ ὦψ* εὑρηται, σπανιώτερον *ἡ ὤψ*, σπανιώτατα δ' οὐδετέρως *τὰ ὦπα* καὶ *ἡ ὄψ* διὰ τοῦ ο μικροῦ, σημαίνει δὲ ὀφθαλμόν, ὄψιν, πρόσωπον.

3) Ἄλλαι δ' οὐ μάλα συνήθεις τοῦ τῆς ὄψεως αἰσθητηρίου ὀνομασίαι εἰσὶν *ὁράσεις*, *αὐγαί*, *φάεα*, *γλήνη*, *κόραι*, *βλέφαρα*, *ὀφρύες*, *ἴλλοι*, *ὀπαί*, *δέργματα*.

Ὅρασις μὲν κυρίως τὴν τοῦ ὁρᾶν ἐνέργειαν καὶ τὴν τῆς ὄψεως αἴσθησιν σημαίνει, ἀλλὰ Διόδωρος ὁ Σικελιώτης 2,6,10 «ἐκκόψειν τὰς *ὁράσεις*» εἶπεν, οὕτω τοὺς ὀφθαλμοὺς ὀνομάσας· καὶ Πλούταρχος

δ' ἐν Ἠθικοῖς λέγει 88d· «ἀλλ' ἔοικε καὶ τοῦ φωτὸς τὸ ἀνακλώμενον μᾶλλον ἐνοχλεῖν τὰς ἀσθενεῖς *ὁράσεις*».

Αὐγαὶ παρὰ τοῖς τραγικοῖς καὶ ἄλλοις ποιηταῖς εὕρηται ὀφθαλμὸν καὶ ὄψιν καὶ βλέμμα σημαῖνον. Οὕτω παρ' Εὐριπίδῃ Ῥήσῳ 736·

Τίς εἶ ποτ' ἀνδρῶν συμμάχων; κατ' εὐφρόνην
ἀμβλῶπες *αὐγαί*, κοῦ σε γιγνώσκω τορῶς·

καὶ Ἀνδρομάχῃ 1180·

εἰς τίνα|δὴ φίλον αὐγὰς βάλλων τέρψομαι;

Καὶ ἐν Σοφοκλέους Αἴαντι 70

ὀμμάτων ἀποστρόφους|*αὐγάς*.

Καὶ παρὰ Νικάνδρῳ ἐν Ἀλεξιφαρμάκοις 442 «*ὁτὲ δ' αὖ κοιλώπεες αὐγαὶ* (μόρον ἀπαγγέλουσι)» καὶ 501 «*ὅθ' ὑπὸ ζοφερῆς νυκτὸς κεκαλυμμένος αὐγάς*».

Φάεα εὕρηται παρ' Ὁμήρῳ ἐπὶ τῇ σημασίᾳ ὀφθαλμῶν ἐν τῷ αὐτῷ στίχῳ ἐπαναλαμβανομένῳ τρὶς ἐν Ὀδυσσείᾳ, π 15, ρ 39 καὶ τ 417·

κύσσε δέ μιν κεφαλήν τε καὶ *ἄμφω φάεα* καλά.

Καὶ ἐνικῶς δὲ περὶ τοῦ ἑνὸς ὀφθαλμοῦ τοῦ Κύκλωπος προκειμένου, ὀφθαλμὸν σημαίνει παρ' Εὐριπίδῃ Κύκλωπι 633

καυστὸν μοχλὸν
λαβόντας ἐκκαίειν τὸ *φῶς* Κύκλωπος.

Καὶ Μόσχος δ' ἐν εἰδυλλίῳ Μεγάρᾳ ὧδε λέγει Δ,9·

Τὸν μὲν ἐγὼ τίεσκον ἴσον *φαέεσσιν* ἐμοῖσιν.

Καὶ ὄψιν δὲ τὸ *φάος* πολλάκις σημαίνει ὡς παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ Ἀργοναυτικοῖς Β 183·

Τῷ καί οἱ γῆρας μὲν ἐπὶ δηναιὸν ἴαλλεν,
ἐκ δ' ἔλετ' ὀφθαλμῶν γλυκερὸν *φάος*·

ἔνθα περὶ τοῦ μάντεως Ἀγηνορίδου Φινέως πρόκειται, οὗ τὴν ὄψιν τὸ γῆρας ἀφείλετο. Εἰρήσθω δ' ἐν παρόδῳ, ὅτι καὶ νῦν ἔτι ἐν τῇ καθωμιλημένῃ γλώσσῃ ἐπ' εὐχῆς καὶ ὅρκου κυρίως τὸ *φῶς* τὴν τῆς ὄψεως αἴσθησιν ἢ τὸ ὄμμα σημαίνει· οἷον· *Μὰ τὸ φῶς μου· Νὰ χαρῇς τὸ φῶς σου· ἔχασε τὸ φῶς του· ἤλθε τὸ φῶς του* κτλ. Ἀλλ' ὃ δὴ θαυμασμοῦ ἄξιον, σώζεται ἔτι παρὰ τῷ λαῷ μετὰ τριάκοντα περίπου

αἰῶνας ἡ παρ' Ὁμήρῳ χρῆσις τοῦ *φῶς* ἐπὶ προσώπου φιλτάτου, ὡς ἐν Ὀδυσσείας π 23 καὶ ρ 31

Ἦλθες, Τηλέμαχε, γλυκερὸν φάος.

Γλυκερὸν φάος προσφωνεῖ τὸν Τηλέμαχον ὁ συβώτης Εὔμαιος, ὡς εἰ πατὴρ φίλα φρονῶν, καὶ ἡ φιλόστοργος αὐτοῦ μήτηρ Πηνελόπη. Ἀλλὰ καὶ νῦν ἐπὶ προσφιλεστάτου προσώπου εἴτ' ἐκ στοργῆς εἴτ' ἐξ εἰλικρινοῦς φιλίας, εἴτ' ἐξ ἔρωτος *φῶς μου, γλυκόν μου φῶς* λέγει ὁ Ἕλλην.

Γλήνη κατὰ τὸ Μέγα Ἐτυμολογικὸν παρὰ τὴν *γαλήνην* κατὰ συγκοπὴν γίνεται ἢ παρὰ τὴν *αἴγλην αἰγλήη γλήνη* ἢ ἀπὸ τοῦ *γλαύσσειν*, ὅ ἐστι λάμπειν. Ὅτι δὲ γλήνη, γαλήνη, γλαύσσειν, γάλα καὶ ἄλλα ἀπὸ τῆς αὐτῆς ῥίζης *γαλ*, *γλα* ἂν εἶεν, τοῦτο πιθανόν, καθὰ Οὐήβερος (Weber) πρῶτος πάνυ ὀρθῶς, ὡς γέ μοι δοκεῖ, ἐδίδαξεν. Ἡ δὲ ῥίζα *γαλ* τὸ λαμπρὸν λευκὸν στιλπνὸν σημαίνει, καθὰ ἐκ τῶν παραγώγων φανερόν. *Γλήνη* ἄρα ὀφθαλμοῦ οὐδὲν ἕτερον ἂν εἴη ἢ τὸ λάμπον, στίλβον, τὸ λευκὸν τοῦ ὄμματος μόριον. Ὡς δὲ γάλα διὰ τὸ λευκὸν τοῦ χρώματος οὕτως ὠνόμασται, καὶ γλήνα ἐν τῇ καθωμιλημένῃ λέγεται τό τε ἐπίπλοον καὶ τὸ ἐν παντὶ τῷ σώματι λίπος, ἀλλὰ μὴν καὶ τὰ ἔντερα καὶ τὸ μεσεντέριον διὰ τὸ λευκὸν τοῦ χρώματος· οὕτω *γλήνην* ὀφθαλμοῦ κυρίως μὲν τὸ ἐν τῷ κόγχῳ λίπος εἶναι ἡγοῦμαι, ἀλλὰ μὴν καὶ τὸν σκληρωτικὸν διά τε τὸ λευκὸν τοῦ χρώματος καὶ διότι πῖον καὶ λιπαρὸν τὸ τοῦ ὀφθαλμοῦ *λευκὸν* καὶ ἐπ' Ἀριστοτέλους ἔτι ἐνομίζετο. Ἐπὶ ταύτῃ δὲ τῇ ἐννοίᾳ δοκεῖ μοι *γλήνην* εἶναι ἐν Ὀδυσσείας ι 389·

Πάντα δὲ οἱ βλέφαρ' ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀϋτμὴ
Γλήνης καιομένης·

ὡς ἐν ἑτέρῳ τόπῳ ἐπισταμένως καὶ ἐκτενῶς ἀποδειχθήσεται. Ἀλλὰ μὴν καὶ σύμπας ὁ ὀφθαλμὸς ἐπεὶ λάμπων στίλβων κάκτινοβολῶν τῷ μακρόθεν ὁρῶντι φαίνεται, *γλήνη* διὰ τοῦτο, ὡς γέ μοι δοκεῖ κέκληται. Ἀλλ' ἐπεὶ τῷ ἐγγύθεν ἐμβλέποντι ἡ ἔμφασις, τὸ αὐτοῦ εἴδωλον, λάμπον καὶ αὐγάζον ἐν τῇ κόρῃ ἐμφαίνεται, τοῦθ' ἕνεκεν παρὰ τοῖς μετέπειτα ἡ τῆς κόρης αὐγὴ κατὰ Πολυδεύκην 2,70, τὸ εἴδωλον τὸ ἐν τῇ ὄψει κατὰ Ῥοῦφον σ. 25, *γλήνη* ἐπίσης κέκληται. Ἀλλὰ μὴν κατὰ Ῥοῦφον σ. 48 *γλήνας* καὶ τὰ λάμποντα διαφανῆ τῶν ὀφθαλμῶν μέσα, δι' ὧν ὁρῶμεν, ὠνόμασαν. Πρὸς δὲ καὶ τὸ ἐν μέσῃ ἴριδι τρῆμα, ἡ τοῦ ὀφθαλμοῦ κόρη, ἐν ᾗ ἡ ἔμφασις, *γλήνη*

ὠνομασμένη ἐστί, ὡς Ἡρῳδιανὸς ἐν τῷ Περὶ μορίων λέξεων λέγει σ. 16,32 καὶ ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ καὶ παρ' Ἡσυχίῳ καὶ παρὰ Σουίδᾳ ἑρμηνεύεται.

Ἡμῖν δ' ἐνταυθὶ τούτου κυρίως μέλει, ὅτι *γλήνη* καὶ ὀφθαλμὸν σημαίνει καὶ παρὰ Σοφοκλεῖ Οἰδίποδι Τυράννῳ 1277 «*Φοίνιαι δ' ὁμοῦ γλῆναι γένει' ἔτεγγον*», καὶ παρὰ Νικάνδρῳ Θηριακοῖς 373 «*ἀμφίσβαιναν . . . ἀεὶ γλήνησιν ἀμυδρὴν*» καὶ Θηρ. 228 «*ἐνωπῆς γλήνεα φοινίσσει* [ὁ ἔχις]», ἔνθα οὐχὶ ἡ γλήνη ἀλλὰ τὸ *γλῆνος* ἀναγινώσκεται καὶ ἔνθα, ὥς γέ μοι δοκεῖ, «*ἐνωπῆς γλήνεα*» σαφῶς τὰ τῶν ὀμμάτων λευκά ἐστι· τὰ γὰρ λευκὰ μόνα, οὐ τὰ μέλανα τοῦ ἔχιος φοινίσσειν οἷον τ' ἐστί. Ἐν δὲ ταῖς συνθέσεσι *γλήνη* ὡς ἐπὶ τὸ πολὺ ὀφθαλμὸν σημαίνει· οἷον, *ἀγλήνος, δίγληνος, ἐρίγληνος, εὔγληνος, μονόγληνος, πολύγληνος, πυρίγληνος*. Τὸ δὲ λευκὸν τοῦ ὄμματος ἤτοι ὁ ἐπιπεφυκὼς σὺν τῷ σκληρωτικῷ, ὃ παρ' Ὁμήρῳ γλήνη λέγεται, παρὰ τοῖς μετέπειτα λέγεται καὶ *σφενδόνη* καὶ *λογὰς* ἢ *λογάδες*, ὡς φησι Πολυδεύκης 2,70 καὶ Μελέτιος 65 καὶ τὸ Ἐτυμολογικὸν μέγα 572,36.

Κόρη σημαίνει τὴν ἐν τῷ ὀφθαλμῷ ἔμφασιν τὴν ἐν τῇ κεντρικῇ ὀπῇ τῆς ἰριδος γιγνομένην, πρὸς δέ, ὃ καὶ νῦν ἐν χρήσει, καὶ αὐτὴν τῆς ἰριδος τὴν ὀπήν· ἀλλὰ περὶ τούτου ἐν τῷ Περὶ ἰριδος ἔσται ἡμῖν ὁ λόγος. Ὃ δ' ἡμῖν ἐνταῦθα χρήσιμον εἰπεῖν· *κόραι* πληθυντικῶς ἀντ' ὀφθαλμῶν εὕρηται· οὕτω παρ' Εὐριπίδῃ Ἑκάβῃ 973 λέγει ἡ Ἑκάβη τῷ Πολυμήστορι,

κοὐκ ἂν δυναίμην προσβλέπειν σ' ὀρθαῖς κόραις

τὸ μὲν ἐξ αἰδοῦς, τὸ δ' ἐκ νόμου κωλύοντος τὰς γυναῖκας τοῦ «προσβλέπειν ἐναντίον», ὅπερ ἰσοδύναμον τῷ «*προσβλέπειν ὀρθαῖς κόραις*» ἤτοι βλέπειν ἀτενῶς. Ἔτι δ' ἐν Βάκχαις 747

ἢ σε ξυνάψαι βλέφαρα βασιλείοις κόραις

καὶ ἐν Ἴωνι 876

Στάζουσι κόραι δακρύοισιν ἐμαί.

Φανερὸν δ' ὅτι ἐν τοῖς ἄνω τοῦ μέρους ἀντὶ τοῦ ὅλου χρῆσις γίνεται. Ταύτῃ δὲ τῇ ἐλευθερίᾳ συχνῶς χρῶνται οἱ ποιηταὶ καὶ ἐν ἄλλοις. Καὶ Νίκανδρος δ' ἐν Ἀλεξιφαρμάκοις 222 ὧδε λέγει·

λοξαῖς δὲ *κόραις* ταυρώδεα λεύσσων,

ἔνθα τὸ *λοξαῖς κόραις* ἀντὶ τοῦ *λοξοῖς ὄμμασι* κεῖται.

Βλέφαρον ἀντ' ὀφθαλμοῦ κεῖται παρά τισι τῶν ποιητῶν· οὕτω παρ' Ἡσιόδῳ Ἀσπίδι Ἡρακλέους 7·

Τῆς καὶ ἀπὸ κρῆθεν βλεφάρων τ' ἄπο κυανεάων
τοῖον ἄηθ' οἷόν τε πολυχρύσου Ἀφροδίτης.

Καὶ Εὐριπίδης ἐν Φοινίσσαις 543 «*νυκτός τ' ἀφεγγὲς βλέφαρον*» μεταφορικῶς λέγει, ὡς εἰ ἔλεγε νυκτὸς τυφλὸν ὄμμα, καὶ ἐν Κύκλωπι 617 «*ἐξελέτω βλέφαρον Κύκλωπος*» ἀντὶ ὀφθαλμοῦ Κύκλωπος καὶ ἐν 673 «*Οὖτίς με τυφλοῖ βλέφαρον*». Βλέφαρα ἀντὶ ὀφθαλμῶν εὕρηται καὶ παρὰ Μουσαίῳ ἐν *Τοῖς καθ' Ἡρὼ καὶ Λέανδρον* 90·

Σὺν *βλεφάρων* δ' ἀκτῖσιν ἀέξατο πυρσὸς ἐρώτων.

Καὶ *ὀφρὺς* δ' ἀντ' ὀφθαλμοῦ κεῖται παρ' Εὐριπίδῃ Κύκλωπι 657·

ἐκκαίετε τὰν ὀφρύν·

ὁ μὲν γὰρ Χορὸς τὴν ὀφρὺν ἐκκαίειν κελεύει, ὁ δὲ Κύκλωψ ἀναφωνεῖ·

ὤμοι, κατηνθρακώμεθ' ὀφθαλμοῦ σέλας.

Ἴλλους δὲ τοὺς ὀφθαλμοὺς Ἴωνες ὠνόμασαν κατὰ Πολυδεύκη 2,54. Εὐστάθιος δὲ *ἴλλους* μὲν τοὺς ὀφθαλμοὺς λέγει, *ἰλλοὺς* δὲ τοὺς στραβοὺς 745,37· καὶ ἡ ὀνομαστικὴ δὲ *ἴλλος* εἴρηται αὐτῷ 907,9· «καὶ *ἴλλος* μὲν ὁ ὀφθαλμός, ἰλλὸς δὲ ὁ στραβός». Κατ' *Ἐτυμολογικὸν δὲ μέγα* 463,9 *ἴαλλοι* (ἴλλοι) οἱ ὀφθαλμοὶ λέγονται, κυρίως δ' αἱ τῶν ὀφθαμῶν κόραι.

Καὶ *ὀπαὶ* δὲ λέγονται οἱ ὀφθαλμοὶ παρὰ τὸ ὀπή, δι' ἧς ἔστιν ἰδεῖν, ὡς Μελέτιός φησι 65 (τ. 64, σ. 1173).

Δέργματα καὶ *δέργμα* τὰ ὄμματά εἰσι καὶ αἱ ὁράσεις κατ' *Ἐτυμολογικὸν μέγα* 257,19 καὶ κατὰ Μελέτιον 65 καὶ καθ' Ἡσύχιον· κατὰ δὲ Σουίδαν *δέργμα* τὸ βλέμμα λέγεται. *Δέργματα* φανερῶς ὀφθαλμοὺς σημαίνει παρ' Εὐριπίδῃ Φοινίσσαις 660·

Ἔνθα φόνιος ἦν δράκων
Ἄρεος, ὠμόφρων φύλαξ,
νάματ' ἔνυδρα καὶ ῥέεθρα
χλοερὰ *δεργμάτων κόραισι*
πολυπλάνοις ἐπισκοπῶν·

Βλέμματα δὲ, βολὰς ὀμμάτων, σημαίνει ἐν *Ἑκάβῃ* 1265·

κύων γενήσει πύρσ' ἔχουσα *δέργματα*.

Βλέμμα ὡσαύτως σημαίνει καὶ παρ' Ὀρφεῖ *Λιθικοῖς* 334·

σοῖο δέ τοι κλονέει κραδίην μέγα *δέργμα* δράκοντος.

β'. Περὶ ἀκοῆς ὀνομασιῶν.

Αἱ τοῦ αἰσθητηρίου τῆς ἀκοῆς ὀνομασίαι παρὰ τοῖς ἀρχαίοις Ἕλλησι δύο κυρίως εἰσὶν οὖς καὶ *ἀκοή*, αἱ ἀπὸ Ὁμήρου μέχρις ἡμῶν ἔν τε τῇ ποιήσει καὶ τῷ πεζῷ λόγῳ ἐν πολλῇ τυγχάνουσι χρήσει. Ἀλλὰ μὴν ἡ λέξις οὖς πολλὰς ἔχει ποικιλίας, ἐκ τῆς διαφόρου παρὰ τοῖς διαφόροις τῶν Ἑλλήνων φύλοις προφορᾶς τῆς ἀρχικῆς ῥίζης αυ ἢ αυσ(au, aus), ὡς γέ μοι δοκεῖ, προερχομένας· οἷον τὸ παρὰ ποιηταῖς κυρίως *οὖας, οὔατος*, καὶ τὰ Δωρικὰ *ὦας* καὶ *ὦς* καὶ *ὅας* καθ' Ἡρῳδιανὸν II, 921,12 καὶ τὸ παρὰ Ταραντίνοις *ἄτα*· ἔτι δὲ τὰ ὑποκοριστικὰ *ὠτίον ὠτάριον* καὶ τὸ καθωμιλημένον *αὐτίον ἢ αὐτί*. Καὶ ἡ *ἀκοὴ* δὲ ποικίλως λέγεται· *ἀκουὴ* γὰρ παρ' Ὁμήρῳ καὶ *ἀκουὰ* παρ' Εὐριπίδῃ καὶ *ἄκουαι* παρὰ Σαπφοῖ.

Τὸ *οὖς* ἄκλιτον, παρὰ τὸ *αὔω* τὸ φωνῶ γίνεται τῷδε τῷ τρόπῳ καθ' Ἡρῳδιανὸν I, 401,10· *αὖας, οὖας, ὖας*, ἐξ οὗ κατὰ κρᾶσιν *οὖς* καὶ κατὰ Δωριεῖς *ὦς*. Ταύτης δὲ τῆς Ἡρῳδιανοῦ παραγωγῆς μέμνηνται τό τ' Ἐτυμολογικὸν μέγα 638,54 καὶ Γεώργιος ὁ Χοιροβοσκὸς 385,13 καὶ 394,27. Πάθη δὲ τῆς λέξεως *οὖς* εἰρημένα τάδε φησὶν Ἡρῳδιανὸς II, 921,11· *οὖας, οὔατος, ὅας, ὅατος*, τὰ Δωρικὰ *ὦας ὥατος* καὶ *ὦς ὠτός*· ἴσως δὲ καὶ τὸ *αὖας αὔατος* εἰρημένον ἂν εἴη I,401,10,. Τὸ δὲ *ὦος* ἁπλοῦν μὲν οὐκ εἰρημένον, συνεσχηματισμένον δὲ παρὰ Θεοκρίτῳ Α 28 «*κισσύβιον . . . ἀμφῶες*». Σημαίνει ἄρα *οὖς* κατὰ ταύτην τὴν παραγωγὴν *τὸ τῆς φωνῆς ἀντιληπτικὸν αἰσθητήριον*.

Τὸ δ' «*αὖς, αὐτὸς*» τὸ παρ' Ἡσυχίῳ (περὶ 300 μ. Χ.), ἐξ οὗ Κοραῆς τὸ καθωμιλημένον *αὐτίον* γίγνεσθαι οἴεται, οὐδόλως Ἡρῳδιανὸς (238 μ. Χ.) παρατίθεται. Ὁ σοφὸς Κοραῆς ἐν Σημειώσεσι κριτικαῖς εἰς Ἡλιόδωρον Β,.345 τὸ καθ' Ἡσύχιον *αὖς αὐτὸς* τῶν Κρητῶν καὶ Λακώνων τὸ τῆς ἀκοῆς αἰσθητήριον ἀντὶ τοῦ *οὖς ὠτὸς* τῶν ἄλλων Ἑλλήνων εἶναί φησι, καθ' ἅπερ *αὖρα* καὶ *οὖρος* τὴν τῶν διφθόγγων *αυ* καὶ *ου* ἐναλλαγὴν φανερὰν ποιεῖν. Τὸ δὲ καθωμιλημένον *αὐτίον* παρὰ τὴν γενικὴν *αὐτὸς* ἐσχηματίσθαι

λέγει, ὡς παρὰ τὸ ὠτὸς τὸ *ὠτίον*. Ἀλλ' ἐπεὶ οὐκ ἔθος Ἡσυχίῳ καὶ τὴν γενικὴν παρατίθεσθαι, εἰκότως ἄν τις εἰκάσειε τὸ *αὐτὸς* μὴ εἶναι γενικήν, ἀλλ' ἑρμηνείαν τοῦ *αὖς*· πρῶτον γὰρ τὴν ἑρμηνευτέαν Ἡσύχιος τίθησι λέξιν, ἐν ᾗ εὕρηται πτώσει ἢ ἀριθμῷ ἢ τύπῳ, εἶτα δὲ τὴν ἑρμηνείαν αὐτῆς καὶ εἶτα τὰ Ἑλλήνων φύλα, ἃ ταύτῃ χρῶνται τῇ λέξει. Τοῦθ' ἕνεκεν ἀντιφρονοῦσί τινες τῇ τοῦ Κοραῆ δόξῃ.

Ἀρήνσιος γὰρ (Ahrens) ἀντὶ τοῦ «*αὖς· αὐτὸς*» γράφει «*αὔσαυτος· αὐτός*», κατὰ συγκοπὴν μὲν ἡγούμενος Ἡσύχιον *αὖς* γράψαι ἀντὶ τοῦ *αὔσαυτος*, τοῦτο δὲ *αὐτὸς* ἐξηγήσασθαι. Ὄντως δὲ ἡ λέξις *αὔσαυτος* ἐν κρητικαῖς καὶ δελφικαῖς ἀναγινώσκεται ἐπιγραφαῖς. Ἀλλ' οὐκ ὀρθῶς λέγει, ὥς γέ μοι δοκεῖ· οὐ γὰρ ἔθος Ἡσυχίῳ τὰς λέξεις συγκόπτειν, ὡς οὐδὲ τὴν γενικὴν παρατίθεσθαι. Ἄλλοι δὲ φρονοῦσιν ὅτι ὡς τὸ ἀχώριστον μόριον *ἄρι* Ἡσύχιος *μεγάλως* ἐξηγεῖται, οὕτω καὶ τὸ ἐκ τοῦ αὔσαυτος ἀχώριστον *αὖς* ἑρμηνεύει *αὐτός*. Ἀλλὰ μὴν καὶ τοῦτο οὐκ ὀρθὸν νομίζω· ἐν γὰρ τῷ «ἄρι· μεγάλως· ὅθεν καὶ ἀρίζηλος ὁ μεγάλως ζηλωτὸς» σαφῶς ἐν τῇ συνήθει συντομίᾳ Ἡσύχιος ὑποδηλοῖ, ὅτι τὸ *ἄρι* ἐν συνθέσεσιν, ὡς *ἀρίζηλος* κλ., *μεγάλως* σημαίνει. Παρὰ δὲ τῷ *αὖς αὐτὸς* οὐδὲν ἐπιφέρει παράδειγμα· οὐτ' αὐτοῦ τοῦ *αὔσαυτος* οὐδαμοῦ μνημονεύει.

Πιθανὸν δ' ἔμοιγε δοκεῖ τὸ ἐν κρητικαῖς καὶ δελφικαῖς ἐπιγραφαῖς ἀναγινωσκόμενον *αὔσαυτος*, ὃ ἐν βοιωτικαῖς ἐπιγραφαῖς ἃς *αὐτῦ* εὕρηται ἐν Ἀθηναίῳ 9,353 καὶ 354, οὐχὶ ὑφ' ἓν ἀλλ' ἐν δυσὶ λέξεσι γραπτέον εἶναι· αὔσαυτος γὰρ οὐδὲν ἄλλο ἢ *αὐτὸς αὐτὸς* ἂν εἴη, ἐξ οὗ τὸ *αὖς αὐτὸς* καὶ *ὗς αὐτῦ* προελθόντα χωρὶς γραπτέα δοκεῖ· ὥστ' εἰκότως Ἡσύχιον τὴν συγκεκομμένην μόνον καὶ μὴ κοινῶς γνωστὴν τῶν Κρητῶν καὶ Λακώνων λέξιν *αὖς* ἐξηγήσασθαι διὰ τοῦ *αὐτός*.

Οὐκ ἀπίθανον δὲ ὀρθῶς Κοραῆν *αὖς* ἀντὶ *οὖς* εἰπεῖν. Δηλοῖ δ' ἂν τὴν τοῦ *αὖς αὐτὸς* ἀντὶ τοῦ *οὖς ὠτὸς* πιθανὴν χρῆσιν καὶ τὸ καθωμιλημένον *αὐτί*, *αὐτίον*, ὃ ὑποκοριστικὸν τοῦ *αὖς* ὡς τὸ *ὠτίον* τοῦ *οὖς* δοκεῖ· πρὸς δὲ καὶ τὸ παρὰ Ταραντίνοις *ἄτα*, ὅπερ Ἡσύχιος ἀναγράφει· τὸ γὰρ *ἄτα* πιθανῶς πληθυντικὴ ὀνομαστικὴ τοῦ *αὖς* ἂν εἴη· οἷον *αὖτα*, *ἄτα*, ὡς καὶ τὸ καθωμιλημένον *ἀτός του* ἀντὶ *αὐτός*. Ἐπεὶ δ' Ἡσυχίῳ τὴν γενικὴν παρατίθεσθαι οὐκ ἔθος, εἴ τις διωρθοῦτο τὸ παρ' Ἡσυχίῳ «*αὖς· αὐτὸς*» ὧδε· «*αὖς· αὐτίον*· Κρῆ-

τες καὶ Λάκωνες», ὃ οὐκ ἀπίθανον, τότε ἡ τοῦ Κοραῆ δόξα βεβαίαν ἂν εἶχεν ὑπόστασιν. Διὰ γὰρ τοῦ ὑποκοριστικοῦ *ὠτίον* ἐξηγεῖται Ἡσύχιος καὶ τὰ πάθη τῆς λέξεως *οὖς*· οἷον «*οὖς, ὠτίον*», «*ὦτων, ὠτίων*»· «*ὦτα, ὠτία*»· ὥστε πιθανὸν ἂν εἴη *αὐτίον* ἐξηγήσασθαι καὶ τὸ *αὖς* Ἡσύχιον. Ὧδε δὲ Κοραῆς λέγει Ἡλ. Β, 345· «Καὶ » σημείωσαι τῶν διφθόγγων τὴν συγγένειαν ἐν τῷ *αὖρα* καὶ *οὖρος*, » ἵνα καὶ τοῦ ἐν τῇ συνηθείᾳ *αὐτίου* (τοῦ τῆς ἀκοῆς αἰσθητηρίου) μὴ » καταγινώσκῃς βαρβαρότητα· ὃ γὰρ οἱ ἄλλοι Ἕλληνες *οὖς, ὠτός*, » ἐκάλουν, τοῦτο Κρῆτες καὶ Λάκωνες, καθάπερ αὖθις αὐτὸς Ἡσύ- » χιος λέγει (Λεξ. Αὖς), *αὖς, αὐτός*, ὠνόμαζον. Ὡς οὖν παρὰ τὴν » *ὠτὸς* γενικὴν τὸ *ὠτίον*, οὕτω καὶ παρὰ τὴν *αὐτός*, τὸ *αὐτίον* » ἐσχημάτισται».

Ἡ δὲ γλωσσολογία σαφῶς δείκνυσιν, ὅτι πάσαις ταῖς ἰαπετικαῖς γλώσσαις κοινὴ ἡ δίφθογγος *αυ* (*au*, *aF*) ἐστι καὶ δὴ καὶ ὅτι ὀρθὴ ἡ τοῦ Ἡρωδιανοῦ καὶ ἄλλων ἀρχαίων γραμματικῶν παραγωγὴ τοῦ *οὖς* παρὰ τὸ *αὔω* τὸ *φωνῶ*· λατινιστὶ μὲν γὰρ aur-i-s (aus-culto) τὸ τῆς ἀκοῆς αἰσθητήριον λέγεται, γοτθιστὶ δὲ aus-o, λιθουανιστὶ δὲ aus-i-s, σλαβιστὶ δὲ uch-o, γερμανιστὶ Ohr. Κούρτιος οἴεται *αυσ* τὸ πρῶτον ἔτυμον εἶναι, ὃ ἐν τοῖς aus-culto, aus-o, aus-i-s ὑπάρ- χει· ἐκ τούτου δὲ γίγνεσθαι τὸ *αυσ-ατ*, *ουσ-ατ*, *ου-ατ*, ἐξ οὗ *οὖας*, *ὦας*, *οὖς* Ἐτ. 404,405.

Ἔστι δὲ φανερὰ ἡ κοινὴ ταῖς ἰαπετικαῖς γλώσσαις δίφθογγος *αυ* (*au*,*aF*) ἐν τῷ παρὰ Κρησὶ καὶ Λάκωσιν *αὖς αὐτός*, εἰ ὀρθὴ εἴη ἡ τοῦ Κοραῆ δόξα, ἐν τῷ καθωμιλημένῳ ὑποκοριστικῷ *αὐτ-ί* ἢ *αὐτίον*, ὃ κατὰ Κοραῆν παρὰ τὴν γενικὴν *αὐτὸς* γίγνοιτο, ὡς τὸ *ὠτίον* παρὰ τὴν γενικὴν *ὠτός*, πρὸς δὲ καὶ ἐν τῷ παρὰ Ταραντίνοις *ἄ-τα*, ὃ πιθανῶς πληθυντικὴ ὀνομαστικὴ τοῦ *αὖς αὐτὸς* ἂν εἴη ἐκ τοῦ *ἄF-τα* ἢ *αὗτα* προελθοῦσα, ὡς τὸ καθωμιλημένον *ἀτός του κ' ἀπατός του* ἐκ τοῦ *αὐτὸς κ' ἀπαυτός*. Προσέτι ἐν τῷ αἰολικῷ καθ' Ἡρωδιανὸν Ἰ, 563,25 *παραῦαι*, ὃ ἐστιν αἱ παρειαὶ ἢ τὰ παρεῖα ἢ τὰ παρήϊα ἢ αἱ παρηίδες, φανερὰ ἡ ἀρχέτυπος τοῦ τῆς ἀκοῆς αἰσθητηρίου ῥίζα *αυ*. Ἀλλὰ μὴν καὶ ἐν τῷ *ἀβουτάκα*, ὃ τὸ οὖς παρὰ Τσάκωσι δύναται, ὡς Δέφνερός φησι ἐν *Τσακωνικῇ γραμματικῇ* 14, φαίνεται ἡ ἀρχέτυπος ῥίζα, αυ, aF, αϐ. Πιθανῶς ἄρα ἀρχαϊκώτερα ἂν εἶεν τὸ *αὖς αὐτός*, *ἄτα*, τὸ καθωμιλημένον *αὐτὶ* καὶ τὸ Τσα-

κωνικὸν *ἀϐ-ουτ-άνα*· μεταγενέστερα δὲ τὸ *οὗας*, *ὅας*, *οὖς*, καὶ τὰ Δωρικὰ *ὧας* (*ὧϜας*, ἐξ οὗ καὶ τὸ *ἐξωϐάδια*, ἐνώτια) καὶ *ὧς ὠτός*. Δοκεῖ δέ μοι τὰ ποικίλα πάθη ταύτης τῆς λέξεως ἐκ τῆς διαφόρου παρὰ τοῖς διαφόροις φύλοις προφορᾶς τῆς *αυ* (*au*,*aF*) προελθεῖν, ὡς καὶ νῦν ἔτι ποικίλως ἡ *au* ἐν ταῖς ποικίλαις ἰαπετικαῖς γλώσσαις προφέρεται. Τοῦ χρόνου δὲ προϊόντος ὡς ἕκαστον φύλον προὔφερεν, οὕτω καὶ ἔγραφε· μαρτύρια δὲ πολλά εἰσι τούτου. Οὕτως ἄρα οἱ μὲν προὔφερον καὶ ἔγραφον *αὖς αὐτίον*, οἱ δὲ *ἆτα*, ἄλλοι μὲν *οὗας* καὶ *ὗας* καὶ *οὖς*, ἄλλοι δὲ *ὧας* ἢ *ὧϜας*, *ὦϐας*, ἐξ οὗ *ἐξωϐάδια*, καὶ *ὧς*. Καὶ ταύτην μὲν τὴν δόξαν ῥίπτομεν εἰς μέσον, ἐπαφίεμεν δὲ τοῖς περὶ τὰ τοιαῦτα εἰδικοῖς τὴν περαιτέρω ἔρευναν. Καὶ ἐν κοινῇ μὲν χρήσει παρά τε τοῖς ποιηταῖς καὶ πεζοῖς ἐστι τὸ *οὖς ὠτὸς* ἀπὸ Ὁμήρου μέχρις ἡμῶν, τὸ δὲ *οὗας* παρὰ τοῖς ποιηταῖς ὡς ἐπὶ τὸ πολύ. Τὸ δὲ δωρικὸν *ὧς* σπανίως εὕρηται ἀντὶ τοῦ *οὖς*· οὕτω ἐν Κύκλωπι Θεοκρίτου ΙΑ 32·

ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὧς μία μακρά (λασία ὀφρύς)·

πρὸς δὲ παρ' Ἡρωδιανῷ τῷ γραμματικῷ, ὡς ἔφθημεν εἰπόντες, παρ' Ἀρκαδίῳ 124,19 καὶ 127,4, ἐν τῷ Μεγάλῳ Ἐτυμολογικῷ 554,21 καὶ 639,2 καὶ παρὰ Θεογνώστῳ ἐν Κανόσιν 119,25, ὃς ἐκ τοῦ *αὔω*, ἀκούω, παράγει. Τοῦ δὲ δωρικοῦ καθ' Ἡρωδιανὸν *ὧας* τὰς πτώσεις *ὧατα* καὶ *ὧασιν* σημειοῦται Ἡσύχιος.

Τὸ *οὗας* σύνηθες παρ' ἐπικοῖς ποιηταῖς κεῖται πολλάκις παρ' Ὁμήρῳ ἐν ταῖς πτώσεσιν *οὔατος*, *οὔασι*, *οὔατα*· δὶς δ' εὕρηται ἡ ἑνικὴ αἰτιατικὴ *οὖς* Λ 109, Υ 473 καὶ ἅπαξ *ὦσιν* μ 200. Σημαίνει δὲ τὸ μὲν τὸ τῆς ἀκοῆς αἰσθητήριον Κ 535, Χ 454, Μ 442, ϛ 365, τὸ δὲ τὸ ἔξω οὖς ἤτοι τὴν κόγχην Φ 455, σ 86, φ 300, χ 475. Καὶ παρ' Ἡσιόδῳ δ' *οὔασιν* καὶ *οὔατα* μόνον ἀναγινώσκεται καὶ σημαίνει ἐπίσης τὸ μὲν τὸ τῆς ἀκοῆς αἰσθητήριον Θεογ. 701, τὸ δὲ τὴν ὠτικὴν κόγχην 771. Παρὰ δὲ τοῖς μετέπειτα καὶ ἄλλαι πτώσεις εὑρίσκονται ὡς παρὰ Μετώπῳ τῷ Πυθαγορείῳ *οὐάτων*.

Ἀκοὴ δέ, ὃ ὀρθότερον κατὰ τὸ *Ἐτυμολογικὸν μέγα* 50,10, ἢ ἐπικῶς *ἀκουὴ* ἢ αἰολικῶς *ἄκουαι*, ὡς τὸ τῆς Σαπφοῦς «*ἐπιῤῥόμϐεισι δ' ἄκουαι*», καθ' Ἡρωδιανὸν ἐκ τοῦ *ἀκούω* Ι, 306,23, κατὰ Κούρτιον παρὰ τὴν ῥίζαν *κοF* γίνεται Ἐτ. 555 καὶ 151, ὡς ἐκ τοῦ παρ'

Ἡσυχίῳ «*κοᾷ, ἀκούει, πεύθεται*» φανερόν. Ἔστι δ' *ἀκοὴ* αὐτὴ τοῦ ἀκούειν ἡ ἐνέργεια, ὡς παρ' Ὁμήρῳ Π 633·

Τῶν δ', ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὄρωρεν
οὔρεος ἐν βήσσῃς· ἔκαθεν δέ τε γίγνετ' *ἀκουή*·

καὶ δ 701

ὃ δ' ἔβη μετὰ πατρὸς *ἀκοήν*.

Ἀλλὰ μὴν κυρίως τὴν τοῦ ἀκούειν αἴσθησιν καὶ τὸ τῆς ἀκοῆς αἰσθητήριον, τὸ οὖς, σημαίνει παρά τε τοῖς ποιηταῖς καὶ πεζοῖς. Πρῶτον δὲ παρὰ Σαπφοῖ τῇ Λεσβίᾳ *ἄκουαι* ἀντὶ ὤτων εὑρηται ἐν τῷ παρὰ Λογγίνῳ ἀποσπάσματι 2,11·

ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμ-
βεισι δ' *ἄκουαι*.

Παρὰ πᾶσι δὲ τοῖς μετέπειτα ποιηταῖς τε καὶ πεζογράφοις συχνῶς ἀναγινώσκεται τήν τε αἴσθησιν καὶ τὸ αἰσθητήριον τοῦ ἀκούειν σημαῖνον.

β'. Περὶ ἀρχῆς τῆς κυρίως ἀνατομῆς.

Ἡ πρώτη ἀνατομικὴ βίβλος καὶ ἀρχαιοτάτη ἡ 37η τῶν εἰς Ἑρμῆν τὸν Αἰγύπτιον ἀναφερομένων 42 ἱερῶν βιβλίων ἂν εἴη, εἰ ὄντως Ἑρμοῦ εἴη τὰ βιβλία ταῦτα ἢ ἄλλως ἐκ παλαιτάτων προέρχοιντο χρόνων, ὡς οἱ νεωστὶ ὑπὸ Βρουξίου καὶ Ἐβέρσου εὑρεθέντες ἰατρικοὶ πάπυροι, οἳ εἰς τὸν 14-16 π. χ. αἰῶνα ἀναφέρονται. Ἡ ἀνατομικὴ αὕτη βίβλος *περὶ τῆς τοῦ σώματος κατασκευῆς* πραγματεύεται, ὡς Κλήμης ὁ Ἀλεξανδρεύς φησιν ἐν *Στρωματέων λόγῳ* 6,4. Δοκοῦσι δ' ὄντως Αἰγύπτιοι, ἐπεὶ ἐν ταῖς ταριχείαις τοὺς νεκροὺς ἀνέσχιζον καὶ τὰ σπλάγχνα ἐξάγοντες συχνῶς τό τε σχῆμα καὶ μέγεθος καὶ θέσιν καὶ τὴν πρὸς ἄλληλα αὐτῶν κοινωνίαν ἑώρων, τὴν τῶν ἐντὸς μορίων ἀνατομὴν ἐν τοῖς παλαιτάτοις χρόνοις κρεῖττον εἰδέναι ἢ οἱ Ἕλληνες, παρ' οἷς τὸ νεκροὺς ἀνατέμνειν νόμῳ αὐστηρότατα ἀπηγορευμένον ἦν. Ἐπεὶ δὲ καὶ τοὺς ὀφθαλμοὺς ἐξωρύττοντες τεχνητοὺς ἐνέβαλλον, εἰκὸς ἂν εἴη εἰκάσαι, ὅτι καὶ τῆς τῶν ὀφθαλμῶν ἀνατομῆς τὰ στοιχεῖα εἰδότες εἶεν.

Γαληνὸς δ' οἴεται ἐκ τῆς ἐν ταῖς ταριχείαις ἀνασχίσεως τῶν νεκρῶν πολλὰ καὶ τῶν ἐν χειρουργίᾳ τοῖς πρώτοις Αἰγυπτίοις ἰατροῖς εὑρῆσθαι 14,675. Ὡς δὲ Γέλλιος ἐν Ἀττικαῖς νυξί φησιν 10,10, αἱ-

τίαν τοῦ ἐν τῷ παραμέσῳ τῆς ἀριστερᾶς δακτύλῳ, τὸν δακτύλιον φέρειν τούς τε ἀρχαίους Ἕλληνας καὶ τοὺς Ρωμαίους Ἀπίων τήνδε λέγει· ἐν ταῖς κατ' Αἴγυπτον ἀνατομαῖς λεπτότατον νεῦρον εὑρῆσθαι, ὃ ἀπὸ τοῦ παραμέσου τῆς ἀριστερᾶς χειρὸς δακτύλου ἐπὶ τὴν καρδίαν γίγνεται. Ἐκ δὲ τούτου, οἶμαι, φανερόν, ὅτι πλὴν τῶν σπλάγχνων καὶ ἄλλων μορίων ἀνατομὰς ἐποιοῦντο· εἰ καὶ οὐκ ὀρθῶς ἔλεγον ἐν ταῖς ἀνατομαῖς νεῦρον λεπτότατον εὑρῆσθαι, ὃ ἐκ τοῦ παραμέσου δακτύλου εἰς τὴν καρδίαν ἀφικνοῖτο. Ἀλλὰ πόσα οὐκ ὀρθὰ εἴρηται καὶ ἐν τοῖς χρόνοις, καθ' οὓς πλεῖσται ἀνατομαὶ ἐγίγνοντο;

Εἰ δὲ τὰ περὶ τοὺς τετελευτηκότας νόμιμα τῶν Αἰγυπτίων παλαίτατα οὕτω νόμῳ τεταγμένα ἦσαν, ὡς Διόδωρος ὁ Σικελιώτης ἐκτίθησιν Α,91, ὄντως οἱ *ταριχευταὶ* καλούμενοι οἱ παλαίτατοι ἂν εἶεν ἀνατομικοί, τὴν ἐπιστήμην ταύτην ἐκ γένους παραλαμβάνοντες. Ὁ μὲν γὰρ *γραμματεὺς* λεγόμενος ἐπὶ τὴν λαγόνα περιγράφει τὴν εὐώνυμον ὅσον δεῖ διατεμεῖν· ὁ δὲ *παρασχίστης* λίθῳ Αἰθιοπικῷ τὴν σάρκα διατέμνει κατὰ τὸ περιγραφὲν ὑπὸ τοῦ *γραμματέως* μέρος, παραχρῆμα δὲ φεύγει, διωκόντων τῶν συμπαρόντων καὶ λίθοις βαλλόντων. Ὅ τε *γραμματεὺς* ἄρα ὁ τὴν τομὴν διαγράφων καὶ ὁ *παρασχίστης* ὁ τὸ διαγραφὲν μέρος διατέμνων οὐδὲν τῇ ἀνατομικῇ ἐπιστήμῃ παρέσχον· οὐ γὰρ αὐτοῖς ἐξῆν τὰ σπλάγχνα θεωρεῖν. Οἱ δὲ τὰ σπλάγχνα ἐξαιροῦντες καὶ καθαίροντες καὶ οἴνῳ φοινικίῳ καὶ θυμιάμασιν ἐγκλύζοντες, οἱ *ταριχευταὶ* καλούμενοι, οἱ παλαίτατοι ἂν εἶεν ἀνατομικοί, ἐπεὶ τά τε σπλάγχνα καὶ ἅπαν τὸ σῶμα ἐπιμελῶς ἐν ταῖς ταριχείαις ἐπεσκόπουν καὶ περιεποιοῦντο· οὗτοι γὰρ «*πάσης μὲν τιμῆς καὶ πολυωρίας ἀξιοῦνται, τοῖς τε ἱερεῦσι συνόντες καὶ τὰς εἰς ἱερὸν εἰσόδους ἀκωλύτως ὡς καθαροὶ ποιοῦνται*»· οὕτως δ' ἕκαστον τῶν τοῦ σώματος μελῶν ἀκέραιον τηροῦσιν, «*ὥστε καὶ τὰς ἐπὶ τοῖς βλεφάροις καὶ ταῖς ὀφρύσι τρίχας διαμένειν καὶ τὴν ὅλην πρόσοψιν τοῦ σώματος ἀπαράλλακτον εἶναι καὶ τὸν τῆς μορφῆς τύπον γνωρίζεσθαι*».

Ὡς δὲ τοῖς Αἰγυπτίοις ἡ τῶν νεκρῶν ταριχεία ἀρχὴ τῆς κυρίως ἢ ἔσω ἀνατομῆς ἐγένετο, οὕτω τοῖς Ἕλλησι, δοκῶ μοι, ἡ μαντική. Οἱ γὰρ κατὰ φύσιν ἄνευ παιδεύσεως ἄνθρωποι ἐκ θεῶν τὰς νόσους γίγνεσθαι ἡγοῦντο, θεοὺς δ' αὖ ταύτας ἰᾶσθαι. Διὰ τοῦτο καὶ πρώτη δοκεῖ ἰατρικὴ γενέσθαι ἡ διὰ μαντικῆς, θυσιῶν, ἐπῳδῶν, μαγειῶν καὶ

γοητειῶν, θαυματοποιίας καὶ ἐξορκισμῶν. Ἀλλὰ μὴν οἱ μάντεις ἐν ταῖς θυσίαις λεπτομερῶς τὰ σπλάγχνα ἐσκόπουν ἀνατέμνοντες τὰ ζῷα, ἐκ τῆς θέσεως δ' αὐτῶν καὶ σχήματος καὶ μορφῆς καὶ μεγέθους καὶ λειότητος καὶ χροιᾶς τὴν τῶν θεῶν βούλησιν προὐμάντευον. Αὕτη δ' ἡ σπλαγχνοσκοπία, ἐγῷμαι, ἡ πρώτη ἂν εἴη τῆς τῶν ἐντὸς μορίων ἤτοι τῆς κυρίως ἀνατομῆς ἀρχή.

Ὁ ποικιλόβουλος Προμηθεύς, ὃν Ἡρακλῆς τῶν τε δεσμῶν καὶ τοῦ καταβιβρώσκοντος τὸ ἧπαρ αὐτοῦ ἀετοῦ ἀπήλλαξε, βοῦν ἀνέτεμε καὶ δολίως διεῖλε, Δία ἐξαπατῆσαι βουλόμενος. Οἶδε δὲ Προμηθεὺς ἀνατέμνειν καὶ διαιρεῖν τὰ κύρια τοῦ βοὸς μόρια, μῦς τε καὶ σπλάγχνα καὶ λίπος καὶ δέρμα καὶ στόμαχον ἢ γαστέρα, καὶ ἐπίπλοον, ἀλλὰ μὴν καὶ τὰ λευκὰ ὀστᾶ παρασκευάσαι καθ' ἃ Ἡσίοδός φησιν ἐν Θεογονίᾳ 538·

> Τῷ μὲν γὰρ σάρκας τε καὶ ἔγκατα πίονι δημῷ
> ἐν ῥινῷ κατέθηκε, καλύψας γαστρὶ βοείῃ,
> τῷ δ' αὖτ' ὀστέα λευκὰ βοὸς δολίῃ ἐπὶ τέχνῃ
> εὐθετίσας κατέθηκε, καλύψας ἀργέτι δημῷ.

Τί δ' ἄλλο τοῦτ' ἂν εἴη ἢ ἡ παλαιτάτη τῶν ἐντὸς μορίων ἀνατομή; Προμηθεὺς κατ' Αἰσχύλον ἐν Προμηθεῖ 439-506 πάσας τὰς τέχνας καὶ ἐπιστήμας ἀνθρώπους ἐδίδαξε καὶ κράσεις ἠπίων φαρμάκων 478 πρὸς ἴασιν ἁπασῶν τῶν νόσων, ἤτοι *ἰατρικήν*, καὶ *μαντικῆς* δὲ ἐγνώρισεν αὐτοῖς πολλοὺς τρόπους, ἐν οἷς καὶ τὴν σπλαγχνοσκοπίαν, ἤτοι τὰ πρῶτα στοιχεῖα τῆς κυρίως ἀνατομῆς 493·

> σπλάγχνων τε λειότητα, καὶ χροιὰν τίνα
> ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονήν,
> χολῆς λοβοῦ τε ποικίλην εὐμορφίαν
> κνίσῃ τε κῶλα συγκαλυπτά· καὶ μακρὰν
> ὀσφὺν πυρώσας δυστέκμαρτον εἰς τέχνην
> ὦδωσα θνητούς.

Πρῶτος ἄρα Προμηθεὺς ἐπὶ μαντικῇ τὴν τῶν σπλάγχνων ἐπισκόπησιν διδάξας, πρῶτος ἐγένετο καὶ *ἀνατομικός*. Ἀνατομικὸς λέγεται ὁ Προμηθεύς καὶ ἐν τοῖς μὴ γνησίοις Πλουτάρχου Περὶ ποταμῶν 5,3. 1003 « ὁ δὲ Προμηθεὺς ἕνα τῶν ἐγχωρίων ποιμένα, Καύκασον, » *ἀνατεμὼν* καὶ κατανοήσας αὐτοῦ τὴν διάθεσιν τῶν σπλάγχνων, » εἶπεν οὐ μακρὰν εἶναι τοὺς πολεμίους.... ὡς ἱστορεῖ Κλεάνθης ἐν γ'

» Θεομαχίας ». Ὥστε καὶ ἄνθρωπον Προμηθεὺς ἀνατεμεῖν μυθολογεῖται.

Ἀλλὰ μὴν οὐ μόνον ζῴων θυσίαι ἀλλὰ καὶ ἀνθρώπων πρὸς ἐξιλέωσιν τοῦ θείου ἐν τῇ ἀπωτάτῃ ἀρχαιότητι ἐγίγνοντο. Ἀβραὰμ φερ' εἰπεῖν βούλεται τὸν μονογενῆ αὐτοῦ υἱὸν Ἰσαὰκ θῦσαι. Ἀγαμέμνων θύει Ἀρτέμιδι τὴν αὐτοῦ θυγατέρα Ἰφιγένειαν. Εὐριπίδης δ' ἐν *Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι* 1540-1612 τὰ τῆς θυσίας Ἰφιγενείας περιγράφει, ἣν Κάλχας ὁ μάντις καὶ ἱερεὺς Ἀρτέμιδι ἔθυσε. Ὥστ' εἰ τοῦτ' ἀληθὲς εἴη, εἰκότως ἄν τις εἴποι, ὅτι καὶ ἀνθρώπων ἀνατομαὶ ἐν τῇ ἀπωτάτῳ ἀρχαιότητι γίγνοιντο, τῶν ἀνθρωπείων σπλάγχνων ἐν ταῖς θυσίαις ἀκριβῶς ἐπισκοπουμένων πρὸς μάντευσιν τῆς τῶν θεῶν βουλῆς. Καὶ παρ' Ὁμήρῳ δὲ πολλαὶ καὶ ἀκριβεῖς εὑρηνται ἀνατομαὶ καὶ γνώσεις ἐν τῇ τῶν τραυμάτων περιγραφῇ· ὥστε δοκεῖ μοι πολὺ πρότερον αὐτοῦ περὶ τὰς ἀνατομὰς σπουδάζειν τούς τε μάντεις καὶ ἰατρούς.

Δ.

ΠΕΡΙ ΑΡΧΗΣ ΤΗΣ ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ.

Ἡ πρώτη ἀρχὴ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἰατρικῆς ἀναγκαίως ἡ αὐτὴ ἂν εἴη τῇ τῆς ἐν γένει ἰατρικῆς καὶ χειρουργικῆς, ἧς βραδέως πάνυ ὡς εἰδικοὶ κλάδοι ἡ ὀφθαλμολογία καὶ ὠτολογία ἀπεσχίσθησαν παρὰ τοῖς ἀρχαίοις Ἕλλησι. Φανερὸν δὲ τοῦτο ἐκ τῶν τῷ Ἀριστοτέλει εἰρημένων ὅτι τὸν ὀφθαλμοὺς θεραπεύσοντα καὶ πᾶν σῶμα εἰδέναι δεῖ ἐν Ἠθικοῖς Νικομαχείοις Α, ιγ'. 2, 13, 18.

Ἱπποκράτης ἐν τῷ *Περὶ ἀρχαίης ἰητρικῆς* ? πρώτην ἀρχὴν τῆς ἰατρικῆς φησι τὴν τῶν ὑγιαινόντων δίαιταν καὶ τροφὴν εἶναι καὶ δὴ τὴν ὑγιεινὴν πρῶτον εὑρῆσθαι· τὴν δ' ὁμολογουμένως ἰατρικήν, τὴν περὶ τοὺς κάμνοντας εὑρημένην, ἀπὸ τῆς εὑρέσεως τῆς τῶν νοσούντων τροφῆς καὶ διαίτης ἀρχὴν εἰληφέναι. Παλαιτάτην δὲ λέγει τὴν ἀρχὴν τῆς ἰατρικῆς καὶ λίαν σοφῶς διδάσκει ἡμᾶς ὁ μέγας Ἱπποκράτης, ὅτι πάντα τὰ πάλαι εὑρημένα εἰδέναι δεῖ, ἄν τις ἱκανὸς ὢν νέον τι εὑρεῖν ζητῇ· « Ἰητρικῇ δὲ πάντα πάλαι ὑπάρχει καὶ ἀρχὴ » καὶ ὁδὸς εὑρημένη, καθ' ἣν καὶ τὰ εὑρημένα πολλά τε καὶ καλῶς

» ἔχοντα εὕρηται ἐν πολλῷ χρόνῳ, καὶ τὰ λοιπὰ εὑρεθήσεται, ἤν τις
» ἱκανός τε ἐὼν καὶ τὰ εὑρημένα εἰδώς, ἐκ τουτέων ὁρμώμενος ζητέῃ.
» Ὅστις δὲ ταῦτα ἀποβαλὼν καὶ ἀποδοκιμάσας πάντα, ἑτέρῃ ὁδῷ
» καὶ ἑτέρῳ σχήματι ἐπιχειρέει ζητέειν, καὶ φήσει τι εὑρηκέναι, ἐξη-
» πάτηται καὶ ἐξαπατᾶται· ἀδύνατον γάρ ». Τοὺς λόγους τούτους
τοῦ σοφοῦ Ἱπποκράτους δεῖ πάντα ἀληθῆ ἐπιστήμονα βαθέως ἐν νῷ
ἔχειν, μάλιστα νῦν ὅτε ἄπειρα τὰ ἐν τῇ ἰατρικῇ εὑρημένα· δειχθή-
σεται γὰρ ἐν τῇδε τῇ ἱστορίᾳ τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας, ὅτι
πολλαὶ νέαι θεωρούμεναι ἐφευρέσεις γνωσταὶ ἦσαν τοῖς προγόνοις ἡμῶν.

Εἰ οὖν τὰ περὶ τὴν δίαιταν καὶ τροφὴν τῶν καμνόντων εὑρήματα
ἀρχὴ εἴη τῆς ἰατρικῆς, εἰκὸς ἂν εἴη εἰκάσαι ὅτι καὶ ἡ ὀφθαλμικὴ καὶ
ὠτικὴ ἀρχὴν τὴν δίαιταν καὶ τροφὴν ἔχει. Καὶ μέχρις ἡμῶν δ' ἀφί-
κετο ἡ διαιτητικὴ τῶν ὀφθαλμικῶν παθῶν θεραπεία. Ἄρτος ἄναλος
καὶ ὕδωρ ἐστὶ καὶ νῦν παρὰ τῷ λαῷ ἡ διαιτητικὴ θεραπεία τῶν
ὀφθαλμιώντων κυρίως. Καὶ ἐκ τῶν πρώτων δὲ τοπικῶν θεραπευτι-
κῶν μέσων, οἶμαι, διὰ τοὺς ὀφθαλμιῶντας καὶ ὠταλγοῦντας τὸ γάλα
καὶ τἄ ὠὰ ἂν εἶεν, ἃ καὶ ὡς τροφὴ εὔπεπτα καὶ εὔχυμα εὑρηται.
Καὶ νῦν δ' ἔτι αἱ μητέρες ἑνστάζουσι γάλα καὶ λεύκωμα ᾠοῦ ἔν τε
τοῖς ὄμμασι καὶ τοῖς ὠσί, πάσχουσι. Τὴν μητέρα ἄρα δοκῶ μοι πρώ-
την ἐπιχειρῆσαι ὀφθαλμοὺς καὶ ὦτα θεραπεῦσαι.

Τινὰ δ' ὀφθαλμικὰ ἰάματα καὶ χειρουργίας εἴτ' ἐκ συμπτώσεως
εἴτ' ἐξ αὐτομάτου ὁρμῆς ζώων πρὸς ἴασιν, οἷον αἰγός, ὄφεος, χελιδό-
νος, εὑρῆσθαι λέγεται. Κατὰ Γαληνὸν 14,675 ἐκ περιπτώσεως τὸ
παρακεντεῖν τοὺς ὑποκεχυμένους ἐπινενοῆσθαί φασιν, ὅτι αἴξ ὑποχυ-
θεῖσα ἀνέβλεψεν, ὀξυσχοίνου ἐμπαγείσης εἰς τὸν ὀφθαλμόν. Ὡς δ' Αἰλι-
ανός φησιν ἐν τῷ *Περὶ ζώων* Z,14, ἡ αἴξ ἐξ ἐμφύτου ὁρμῆς ἅμα τῆς
ὄψεως ἐξ ὑποχύσεως σκοτισθείσης πλησιάζει τὸν ὑποκεχυμένον ὀφθαλμὸν
ἀκάνθῃ βάτου καὶ κεντεῖ αὐτόν, παραυτίκα δ' ἀναβλέπει· ἐκ ταύτης δ' οἱ
ἄνθρωποι τὴν διὰ παρακεντήσεως ἴασιν τῆς ὑποχύσεως μεμαθηκότες
τυγχάνουσι· « Ἀγαθὴ δὲ ἄρα ἦν αἴξ καὶ τὴν τῶν ὀφθαλμῶν ἀχλύν,
» ἥνπερ οὖν παῖδες Ἀσκληπιαδῶν *ὑπόχυσιν* καλοῦσιν, ἀκέσασθαι,
» καὶ λέγονταί γε οἱ ἄνθρωποι παρ' ἐκείνης μαθεῖν τόδε τὸ ἴαμα.
» Τὸ δὲ ἄρα τοιοῦτόν ἐστιν, ὅταν αἴξ νοήσῃ τὸν ὀφθαλμὸν ἐπιθολω-
» θέντα αὐτῇ, πρόσεισι βάτῳ καὶ παραβάλλει τῇ ἀκάνθῃ τὸ ὄμμα,
» νύξαι αὐτό· καὶ ἡ μὲν ἐκέντησε, τὸ δὲ ὑγρὸν ἐξεχώρησεν, μένει

» δὲ ἀπαθὴς ἡ κόρη, καὶ ὁρᾷ αὖθις, καὶ δεῖται σοφίας καὶ χειρουρ-
» γίας ἀνθρωπικῆς οὐδὲ ἕν ». Καὶ Πλίνιος 8,74 ὑποκεχυμένους ὀφ-
θαλμούς, φησί, τοῦ ἐν αὐτοῖς αἵματος ἀπαλάττει ἡ μὲν αἴξ σχοίνῳ
παρακεντοῦσα, ὁ δὲ τράγος βάτῳ· « Oculos suffusos capra iunci
puncto sangine exonerat, caper rubi ». Περὶ τῆς αἰγὸς ἰάσεως
τῇ νύξει τοῦ ὑποκεχυμένου ὀφθαλμοῦ δι' ἀκάνθης Ἀντίφιλος τόδε
ἐποίησε τὸ ἐπίγραμμα, ὃ ἐν Ἀνθολογίᾳ ἑλληνικῇ εὕρηται Α, κθ·

Ἐκ θοίνης, φάος ἔσχεν, ἐπ' ἀχράδα μηκὰς ἰοῦσα
ἐκ δ' ἐφάνη, τυφλὴν μηκέτ' ἔχουσα κόρην.
Δισσῶν τὴν ἑτέρην γὰρ ἐκέντρισεν ὀξὺς ἀκάνθης
ὄζος· ἴδ' ὡς τέχνης δένδρον ἐνεργότερον.

Φέρε νῦν ἴδωμεν, τίνα χειρουργίαν ἢ ἴαμα οἱ ἄνθρωποι παρὰ τῆς
αἰγὸς μεμαθήκασι· ὁ μὲν Ἰούγλερος (Jugler) ἐν Βιβλιοθήκῃ ὀφθαλ-
μικῇ σ. 12 λέγει τὸν τοῦ ὑποχύματος καταβυθισμὸν παρὰ τῆς αἰγὸς
τοὺς ἀνθρώπους μεμαθηκέναι· ὁ δὲ Τρίλλερος ἐν Ἰατρικοῖς καὶ φιλο-
λογικοῖς ἅμα πονηματίοις I, 490 τὰς τῶν βλεφάρων ἀμυχὰς εἶναι
οἴεται· τῇ δόξῃ δὲ ταύτῃ τάττεται καὶ ὁ Ἀνδρέας σ. 89. Καὶ ἡ
μὲν τοῦ Τριλλέρου καὶ Ἀνδρέου δόξα οὐκ ὀρθὴ ἔμοιγε δοκεῖ· αἱ μὲν
γὰρ ἀμυχαί, τῶν βλεφάρων ἀναστρεφομένων, ἐγίγνοντο, ἡ δ' αἴξ
οὐχ οἵη τ' ἂν ἦν τὰ βλέφαρα ἀναστρέψασθαι καὶ ἀμυχὰς ποιήσασθαι·
καὶ ἡ θόλωσις δὲ τῶν ὀφθαλμῶν καὶ ἡ ὑγροῦ ἐκχώρησις μετὰ τὴν
παρακέντησιν, ἀπαθοῦς τῆς κόρης μενούσης, ἐναντίον τῇ δόξῃ ταύτῃ
ἐπιμαρτύρονται. Ταῦτα γὰρ οὐ συμβαίνει τὰ φαινόμενα ἐν ὀφθαλ-
μίαις, ἐφ' ὧν ἀμυχαὶ γίγνονται. Ἄλλως δὲ καὶ Γαληνὸς καὶ Αἰ-
λιανὸς σαφέστατα λέγουσι τὸ μὲν πάθος *ὑπόχυσιν*, τὴν δὲ χειρουργίαν
νύξιν ἢ *παρακέντησιν* τῆς *ὑποχύσεως*, ἤτοι τοῦ ὑποχύματος. Καὶ ἐξ
ὧν μὲν Αἰλιανὸς λέγει Z, 14 φανερόν, ὅτι περὶ παρακεντήσεως τοῦ
κερατοειδοῦς πρόκειται καὶ ἐκχωρήσεως ἐκ τοῦ θαλάμου ὑγροῦ, ὃ τὴν
ὄψιν θαμβοῖ, τῆς κόρης ἀπαθοῦς μενούσης. Ἡ χειρουργία ἄρα ἐστὶ
τοῦ κερατοειδοῦς παρακέντησις ἢ νύξις, τὸ δὲ ἐπιθολοῦν τὸν ὀφθαλ-
μὸν πάθος ὑπόχυσις ἢ ὑπόχυμα. Καὶ Γαληνὸς *παρακεντεῖν τοὺς*
ὑποκεχυμένους λέγων ῥητῶς δηλοῖ τήν τε χειρουργίαν, ἣ παρακέν-
τησίς ἐστι τοῦ ὑποχύματος ἢ τῆς ὑποχύσεως, καὶ τὸ πάθος αὐτό.
Ἐξ ὧν δὲ Πλίνιός φησιν εἰκάσαι ἂν εἴη, ὡς *ὕφαιμον* μέν, ἤτοι αἱμορ-
ραγία ἐν τῷ προσθίῳ θαλάμῳ, εἴη τὸ ὀφθαλμικὸν πάθος τὸ τὴν ὄψιν

θολοῦν, τῇ δὲ νύξει τοῦ κερατοειδοῦς οἱ ὕφαιμοι ὀφθαλμοὶ θεραπεύονται, ἐκκενωμένου τοῦ ἐν τῷ ὀφθαλμῷ αἵματος. Καὶ Ἀντίφιλος δὲ ἐν τῷ ἐπιγράμματι αὐτοῦ λέγων ὅτι ὀξεῖα ἀχράδος ἄκανθα ἐκέντρισε τὴν ἑτέραν τυφλὴν κόρην τῆς αἰγός, ἣ ἅμα τῇ παρακεντήσει φῶς ἔσχε, σαφῶς ὑπεμφαίνει τήν τε χειρουργίαν, τὴν *παρακέντησιν*, καὶ τὸ πάθος τὸ ὀφθαλμικόν, τὴν *ὑπόχυσιν* ἢ τὸ *ὑπόχυμα*· ἐν γὰρ τῇ κόρῃ τοῦτο τὸ πάθος συνίσταται.

Ὑπόχυσις δὲ καὶ *ὑπόχυμα* καὶ *ὑποκεχύσθαι* τὸ αὐτό ἐστιν ὀφθαλμικὸν πάθος. Ἐκαλεῖτο δὲ ὑπὸ τῶν παλαιῶν ἰατρῶν *ὑπόχυσις* ἢ *ὑπόχυμα* ἡ πῆξις καὶ παχυμερὴς σύστασις τοῦ *λεπτοῦ ὑγροῦ* ἢ *ὑδατοειδοῦς* ἢ *αὐγοειδοῦς* κατὰ τὴν κόρην· μέσον ἄρα τοῦ κρυσταλλοειδοῦς καὶ τοῦ κερατοειδοῦς ἵστασθαι τὴν *ὑπόχυσιν* ἢ τὸ *ὑπόχυμα* τοῖς παλαιοῖς ἰατροῖς ἐνομίζετο, τὴν δὲ κόρην ἔμφρακτον τὸ παχυμερὲς τοῦτο σῶμα διακωλύειν τὸ ὁρᾶν. Φανερὰ δὲ ταῦτα ἐξ ὧν εἴρηται ἄλλοις τε ἰατροῖς καὶ Γαληνῷ 7,95. 5,635. 3,760. 14,768, 775,784. 18 B, 73.19,438 καὶ Παύλῳ Αἰγινήτῃ ς, κά. Παρὰ τοῖς παλαιοῖς ἰατροῖς τὰ *ὑποχύματα* ἀρχόμενα μὲν φαρμάκοις διαφορεῖται, τά δὲ ὀρρωδέστερα τῇ παρακεντήσει μόνῃ διαλύεται ἐν τῷ παραχρῆμα Γαλ. 10,1019, τὰ δὲ σύστασιν ἱκανὴν καὶ πυκνὴν λαβόντα παρακεντεῖται ἅμα καὶ κατάγεται εἰς ἕτερον τόπον ἀκυρώτερον ἢ κενοῦται καὶ ἐξαιρεῖται τοῦ ὀφθαλμοῦ 10,987. 14,784. 7,89. Ἐκ τῶν τριῶν δὲ τοῦ ὑποχύματος χειρουργιῶν, τῆς *ἁπλῆς παρακεντήσεως*, τῆς *παρακεντήσεως μετὰ καταγωγῆς* καὶ τῆς *κενώσεως* ἢ *ἐξαγωγῆς*, τὴν *ἁπλῆν παρακέντησιν* μεμαθήκασιν, ἔμοιγε δοκεῖ, οἱ ἄνθρωποι παρὰ τῆς αἰγός· οὐ γὰρ ἦν τὴν αἶγα οὔτε καταγαγεῖν οὔτε κενῶσαι τὸ αὐτῆς ὑπόχυμα τῇ ἀκάνθῃ. Εἰ δὲ καὶ τὴν ἀνατομικὴν τοῦ ὑποχύματος αἰτίαν οὐκ ὀρθῶς οἱ ἀρχαῖοι ἐξηγοῦντο, ἐκ πήξεως τοῦ ὑδατοειδοῦς ὑγροῦ γίγνεσθαι οἰόμενοι, ἀλλὰ μὴν ἐκ τῆς περιγραφῆς τῶν ἐπὶ ταῖς ὑποχύσεσι φαντασιῶν καὶ φαινομένων σαφῶς δῆλον γίνεται 8,222, ὅτι τὸ τῶν ἀρχαίων ὑπόχυμα ἡ τοῦ κρυσταλλοειδοῦς θόλωσις καὶ ἀδιαφάνειά ἐστι, τὸ αὐτὸ ἄρα τῷ νῦν ὑποχύματι. Καὶ Ἀέτιος δὲ Ζ, νγ΄ ἀδιακρίτως τὸ αὐτὸ ὀφθαλμικὸν πάθος ὁτὲ μὲν *ὑπύχυσιν*, ὁτὲ δὲ *ὑπόχυμα* καλεῖ.

Καὶ ὁ τοῦ μαράθου δὲ χυμὸς ὁ ἐν πολλοῖς κολλυρίοις ὑπάρχον καὶ πρὸς ἀμβλυωπίας ποιῶν ἐκ τοῦ ὄφεως τοῖς ἀνθρώποις ἐπινενοεῖσθαι

λέγεται· ὁ γὰρ ὄφις φωλεύων, ἢν ἀχλὺς τὰ ὄμματα καλύψῃ, ἰᾶται αὐτὰ πόᾳ μαράθου προστριβόμενος καὶ τούτῳ τοὺς ὀφθαλμοὺς ἀλείφων, ὡς φησι Πλίνιος 8,27.

Ὡς δὲ Διοσκορίδης φησὶ Β, σια' καὶ Πλίνιος 8,27, χελιδόνες ἐδίδαξαν τοὺς ἀνθρώπους τὸ ὀξυδορκικὸν φάρμακον *χελιδόνιον τὸ μέγα*· ἐκ γὰρ αὐτομάτου ὁρμῆς αἱ χελιδόνες τοὺς ὀφθαλμοὺς τῶν νεοττῶν αὐτῶν τῷ χελιδονίῳ ἰῶνται, ἄν τις τυφλὸς γένηται, τὴν πόαν προσφέρουσαι.

Οἱ καθ' οἱονδήποτε δὲ τρόπον τὸ πρῶτον θεραπευόμενοι ἀσθενεῖς τοῦτο τοῖς ὁμοιοπαθέσιν ἀνεκίνουν καὶ οὕτω τὸ πρῶτον μετεδίδοτο ἡ ἰατρική. Ἡρόδοτος δέ φησιν ἐν ταῖς τριόδοις τὸ παλαιὸν τοὺς κάμνοντας προτίθεσθαι, ἵνα ἐκ τῶν τῷ αὐτῷ πάθει περιπεσόντων μάθωσι τὸ ἰατρικόν.

Καὶ τοιαύτην μέν δοκῶ μοι τὴν φυσικὴν ἀρχὴν τῆς τε ὀφθαλμολογίας καὶ ὠτολογίας εἶναι ὡς καὶ τῆς καθόλου ἰατρικῆς· ἀλλ' ὡς πάντα τὰ ἀρχαῖα ἔθνη οὕτω καὶ Ἕλληνες τὰς πρώτας ἐν τῇ ἀπωτάτῳ ἀρχαιότητι ἰάσεις θεοῖς ἀποδιδοῦσι καὶ αὐτοὺς δὲ τοὺς ἀνθρωπικοὺς ἐξόχους ἰατροὺς ἐθεοποίουν. Ὁ γὰρ θεὸς Ἀπόλλων μυθολογεῖται, ὡς Ὑγῖνός φησιν ἐν *Μύθοις* 274, πρῶτος ὀφθαλμιῶντας ἰάσασθαι καὶ τὴν ὀφθαλμικὴν ἰατρικὴν διδάξαι καὶ δὴ καὶ πρῶτος τοῖς Ἕλλησιν ὀφθαλμικὸς γεγονέναι. Καὶ Ἀθηνᾶ δὲ ὀφθαλμικὴ ἐνομίζετο καὶ τιμὰς ἐπὶ τούτῳ εἶχε· καὶ Διομήδης γὰρ ἐν Ἄργει κατὰ τοὺς Τρωϊκοὺς χρόνους ἱερὸν *ὀξυδερκεῖ* Ἀθηνᾷ ἱδρύσασθαι λέγεται, ὅτι τὴν ἀχλὺν αὐτῷ ἀπὸ τῶν ὀφθαλμῶν ἀφεῖλεν, ἐν Τροίᾳ μαχομένῳ, ὡς Παυσανίας φησὶ 2,24· καὶ Λυκοῦργος (888 π. Χ.) ἐν Σπάρτῃ τῇ *ὀπτιλέτιδι* ἢ *ὀφθαλμίτιδι* Ἀθηνᾷ διὰ τὴν σωτηρίαν τοῦ αὐτοῦ ὀφθαλμοῦ, ὡς φησι Παυσανίας Γ, ιή, 2 καὶ Πλούταρχος ἐν *Λυκούργῳ* 11. Καὶ Ποσειδῶν δὲ ὀφθαλμικὸς πεποίηται ἐν Ὀδυσσείᾳ ι 520· ὁ γὰρ Κύκλωψ ὑπ' Ὀδυσσέως τυφλωθεὶς λέγει, ὅτι μόνος ὁ Ποσειδῶν, ἂν θέλῃ, ἰάσεται αὐτόν, οὐδεὶς δ' ἄλλος οὔτε θεῶν οὔτε ἀνθρώπων. Καὶ ἄλλοι δὲ θεοί τε καὶ θεαὶ ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι παρίστανται, *ἀχλὺν* κατὰ τῶν ὀφθαλμῶν τῶν πολεμιστῶν ἐπιχέοντες, ταύτην δ' αὖθις αὖ κατὰ τὸ αὐτοῖς δοκοῦν ἀφαιρούμενοι.

Καὶ Χείρωνα δ' Ἀπολλόδωρός φησι Γ,13,8 τὸν Φοίνικα ὑπὸ τοῦ πατρὸς τυφλωθέντα ἰάσασθαι (1194 π. Χ.)· πρῶτος ἄρα ἐν θνητοῖς

ὀφθαλμικὸς Χείρων δοκεῖ γεγονέναι, μετὰ δὲ τοῦτον ὁ μαθητὴς αὐτοῦ Ἀσκληπιός, ὃς Ἄσκλην ὀφθαλμιῶντα ἰάσασθαι μυθολογεῖται καὶ τοὺς Φινέως υἱούς, διὰ δὲ τὴν ἐπιστημονικὴν τῆς ἰατρικῆς προαγωγὴν θεοῦ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα ἐπὶ μακρότατον ἔσχε τιμάς.

Ὡς δὲ τοῖς Ἕλλησιν, οὕτω καὶ τοῖς Αἰγυπτίοις δοκῶ μοι καὶ τοῖς Ἰνδοῖς καὶ τοῖς Ἰουδαίοις καὶ ἄλλοις ἀρχαιοτάτοις ἔθνεσι τοιαύτην τινὰ γεγονέναι τὴν ἀρχὴν τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας.

Καὶ παρ' Ἕλλησι μέν, ὡς ἔφθημεν εἰπόντες, πρὸ τοῦ Ἱπποκράτους οὐδεὶς εἰδικὸς ὀφθαλμικὸς ἢ ὠτικὸς ἐγένετο, ἀλλ' ἕκαστος ἰατρὸς πάσας τὰς νόσους φαρμάκοις ἢ τομαῖς ἰᾶσθαι ἐσπούδαζε· πολλῷ δ' ὕστερον Ἱπποκράτους εἰδικοὶ ὀφθαλμικοὶ καὶ ὠτικοὶ ἀνεφάνησαν ἐπὶ τῶν Ἀλεξανδρίνων χρόνων. Τοὐναντίον δὲ παρ' Αἰγυπτίοις ἔκπαλαι εἰδικοὶ ἰατροὶ ὑπῆρχον οὐ μόνον ὀφθαλμικοὶ καὶ ὠτικοὶ καὶ ὀδοντικοί, ἀλλὰ καὶ πάσης νόσου, ὡς μαρτυρεῖ Ἡρόδοτος, ὧδε λέγων Β,84· « Ἡ δὲ ἰητρικὴ κατὰ τάδε σφι δέδασται· μιῆς νούσου ἕκαστος ἰητρός » ἐστι καὶ οὐ πλεύνων. Πάντα δ' ἰητρῶν ἐστι πλέα· οἱ μὲν γὰρ » *ὀφθαλμῶν ἰητροὶ* κατεστέασι, οἱ δὲ κεφαλῆς, οἱ δὲ ὀδόντων, οἱ δὲ » τῶν κατὰ νηδύν, οἱ δὲ τῶν ἀφανέων νούσων ».

Μεγάλης δὲ φήμης ἀπέλαυον οἱ Αἰγύπτιοι ὀφθαλμικοί· Κῦρος γὰρ (κατὰ 6ον π. Χ. αἰῶνα) παρ' Ἀμάσιος τοῦ Αἰγυπτίων βασιλέως τὸν ἄριστον τῶν ὀφθαλμικῶν ἐξητήσατο ὡς Ἡρόδοτός φησι Γ,1,· « Κῦ- » ρος πέμψας παρ' Ἄμασιν αἴτεε *ἰητρὸν ὀφθαλμῶν*, ὃς εἴη ἄριστος » τῶν ἐν Αἰγύπτῳ ».

Καὶ ἡ ἀρχαιοτάτη δ' ὀφθαλμικὴ βίβλος ὧν ἴσμεν εἰς Αἰγυπτίους ἀναφέρεται. Ἐκ γὰρ τῶν δύο καὶ τετταράκοντα ἱερῶν Ἑρμοῦ τοῦ Αἰγυπτίου βίβλων ἓξ ἦσαν ἰατρικαί, ἃς οἱ παστοφόροι ἐμάνθανον καὶ αἳ ὡς νόμος καὶ κανὼν ἀπαράβατος τοῖς ἰατροῖς ἐχρησίμευον· μία δὲ τῶν ἓξ τούτων ἰατρικῶν βίβλων ἡ πρώτη ἐπὶ τετταράκοντα *περὶ ὀφθαλμῶν* ἐπραγματεύετο, ὡς Κλήμης ὁ Ἀλεξανδρεύς φησι ἐν Στρωματέων λόγῳ ς,4· ὥστε εἰ ὄντως Ἑρμοῦ τοῦ Τρισμεγίστου, ὃς κατ' ἄλλους μὲν 2000 π. Χ., κατ' ἄλλους δὲ 1580 π. Χ. ἤκμαζε καὶ ὡς θεὸς πάσης ἐπιστήμης καὶ σοφίας ἐπιστεύετο, εἰ Ἑρμοῦ, λέγω, εἴη ἡ βίβλος αὕτη, ἡ ἀρχαιοτάτη ἂν εἴη ὀφθαλμολογία. Περὶ δὲ τῆς ἀξίας αὐτῆς κρῖναι οἷόν τ' ἂν εἴη, ἐξ ὧν Γαληνὸς λέγει 11,798 περί τινος τῶν εἰς Ἑρμῆν τὸν Αἰγύπτιον ἀναφερομένων βιβλίων, ὅτι αἱ

ἐν αὐτῷ περιεχόμεναι ἓξ καὶ τριάκοντα τῶν ὡροσκόπων ἱεραὶ βοτάναι πᾶσαι λῆρός εἰσι καὶ μηδὲν ἄλλο ἢ ὀνόματα μόνον τῶν βοτανῶν.

Ἀλλὰ μὴν εἰ καὶ μὴ εἴη Ἑρμοῦ ἡ ὀφθαλμικὴ αὕτη ἱερὰ τῶν Αἰγυπτίων βίβλος, ὅμως ἡ ἀρχαιοτάτη ἂν εἴη, ἔμοιγε δοκεῖ, ὀφθαλμολογία ὧν ἴσμεν. Ὡς γὰρ Διόδωρος ὁ Σικελιώτης φησί, νόμος ἰατρικὸς γραπτὸς ὑπὸ πολλῶν περιφήμων παλαιῶν ἰατρῶν γέγραπται, ᾧ πάντες ἀκολουθεῖν ὤφειλον· ὥστε καὶ τοὺς ὀφθαλμικοὺς τῷ ὀφθαλμικῷ, πρώτῳ καὶ τετταρακοστῷ· ἀρχαιότατον ἄρα καὶ τοῦτον εἶναι δοκεῖ μοι· ὧδε δέ φησι Διόδωρος Α,82,3· «Οἱ γὰρ ἰατροὶ τὰς μὲν προ-
» φὰς ἐκ τοῦ κοινοῦ λαμβάνουσι, τὰς δὲ θεραπείας προσάγουσι κατὰ
» *νόμον ἔγγραφον* ὑπὸ πολλῶν καὶ δεδοξασμένων ἰατρῶν ἀρχαίων
» συγγεγραμμένον· κἂν τοῖς ἐκ τῆς ἱερᾶς βίβλου νόμοις ἀναγινωσκο-
» μένοις ἀκολουθήσαντες ἀδυνατήσωσι σῶσαι τὸν κάμνοντα, ἀθῷοι
» παντὸς ἐγκλήματος ἀπολύονται, ἐὰν δὲ παρὰ τὰ γεγραμμένα ποι-
» ήσωσι, θανάτου κρίσιν ὑπομένουσιν, ἡγουμένου τοῦ νομοθέτου τῆς
» ἐκ πολλῶν χρόνων παρατετηρημένης θεραπείας καὶ συντεταγμένης
» ὑπὸ τῶν ἀρίστων τεχνιτῶν ὀλίγους ἂν γενέσθαι συνετωτέρους».

Οὐ μόνον δὲ τὰ τῆς ἰατρικῆς, ἀλλὰ καὶ τὰ τῆς ζωγραφικῆς σχήματα καὶ τὰ μέλη καὶ τὰ ἐν μουσικῇ συμπάσῃ νόμῳ τεταγμένα ἦν ἐν Αἰγύπτῳ «καὶ παρὰ ταῦτ' οὐκ ἐξῆν οὔτε ζωγράφοις οὔτ' ἄλλοις
» ὅσοι σχήματα καὶ ὁποῖ' ἄττα ἀπεργάζονται, καινοτομεῖν οὐδ' ἐπινοεῖν
» ἄλλ' ἄττα ἢ τὰ πάτρια, οὐδὲ νῦν ἔξεστιν οὔτε ἐν τούτοις οὔτε ἐν
» μουσικῇ ξυμπάσῃ· σκοπῶν δὲ εὑρήσεις αὐτόθι τὰ μυριοστὸν ἔτος
» γεγραμμένα ἢ τετυπωμένα, οὐχ ὡς ἔπος εἰπεῖν μυριοστόν, ἀλλ'
» ὄντως, τῶν νῦν δεδημιουργημένων οὔτε τι καλλίονα οὔτε αἰσχίω,
» τὴν αὐτὴν δὲ τέχνην ἀπειργασμένα», φησὶ Πλάτων ἐν *Νόμοις* Β. 656 d. Καὶ ἐκ τῶν λόγων ἄρα τούτων τοῦ Πλάτωνος φανερὸν ὅτι καὶ ὁ ὀφθαλμικὸς τῆς ἱερᾶς βίβλου νόμος παλαίτατός ἐστιν, *ἡ παλαιτάτη ἄρα ὀφθαλμολογία*.

Δέδεικταί μοι ἤδη τοῖς Αἰγυπτίοις πρότερον γενέσθαι εἰδικοὺς ὀφθαλμικοὺς καὶ ὠτικοὺς καὶ αὐτοῖς πρότερον ὀφθαλμολογίαν γεγράφθαι ἢ τοῖς Ἕλλησιν· ἀλλὰ καὶ ἡ ἀρχαιοτέρα ὀφθαλμικὴ θεραπεία εἰς Αἰγυπτίους ἀναφέρεται. Αἱ πρῶται ὀφθαλμικαὶ ἰάσεις οὐ μόνον παρ' Αἰγυπτίοις ἀλλὰ καὶ παρ' Ἕλλησι τῷ σκότει τῆς μυθολογίας περικεκαλυμμέναι εἰσὶ καὶ λόγῳ τὸ πρῶτον διαδιδόμεναι πολλῷ ὕστε-

ρον ποιηταῖς ἢ πεζοῖς ἐγράφησαν. Οἱ Αἰγύπτιοι ὡς καὶ οἱ Ἕλληνες τοὺς θεοὺς νομίζουσι πρώτους ἰατροὺς τῶν ὀφθαλμικῶν παθῶν. Ἡ θεὰ Ἶσις, ἣ πολλὰ φάρμακα εὑρηκέναι λέγεται, ἐν ὀνείρῳ ὑπεδείκνυ τὰ ἰάματα, οἷς χρώμενοι οἱ παντοῖα πάσχοντες καὶ οἱ τυφλοί τε καὶ κωφοὶ ὑγιεῖς ἐγίγνοντο, ὥς φησι Διόδωρος Α,25,5· « Κατὰ γὰρ τοὺς » ὕπνους ἐφισταμένην διδόναι τοῖς κάμνουσι βοηθήματα πρὸς τὰς » νόσους, καὶ τοὺς ὑπακούσαντας αὐτῇ παραδόξως ὑγιάζεσθαι· καὶ » πολλοὺς μὲν ὑπὸ τῶν ἰατρῶν διὰ τὴν δυσκολίαν τοῦ νοσήματος » ἀπελπισθέντας ὑπὸ ταύτης σώζεσθαι, συχνοὺς δὲ παντελῶς *πηρω-* » *θέντας τὰς ὁράσεις ἢ τινα τῶν ἄλλων μερῶν τοῦ σώματος*, ὅταν » πρὸς ταύτην τὴν θεὸν καταφύγωσιν, εἰς τὴν προϋπάρξασαν ἀπο- » καθίστασθαι τάξιν ». Ὅμοια δὲ τούτοις φαίνεται καὶ τὰ ἐν τοῖς Ἀσκληπιείοις ἰάματα, τῇ τοῦ Ἀσκληπιοῦ ἐμφανείᾳ καθ' ὕπνους γιγνόμενα.

Ἀρχαία δ' ὀφθαλμικὴ παρ' Αἰγυπτίοις θεραπεία ἐστὶν ἡ τοῦ βασιλέως τῆς Αἰγύπτου Φερῶνος, ὃς περὶ τὸ 1350 π. Χ. τὸν αὐτοῦ πατέρα Σέσωστριν τυφλότητος ἕνεκεν αὐτοκτονήσαντα διεδέξατο. Ὁ Φερὼν οὖν οὗτος, ὥς φησιν Ἡρόδοτος Β,3 καὶ Διόδωρος Α,59, τυφλὸς γενόμενος εἶτ' ἐκ κληρονομίας τῆς τοῦ ἑαυτοῦ πατρὸς νοσηρᾶς φύσεως εἶθ', ὡς μυθολογεῖται, θείᾳ τοῦ Νείλου τιμωρίᾳ (θεοὶ γὰρ τῶν νόσων αἴτιοι), δέκα ἔτεσιν ὕστερον οὔρῳ ἀγνῆς γυναικὸς χρησάμενος κατὰ χρησμὸν τῆς θεᾶς Λητοῦς ἐκ τοῦ μαντείου Βουτοῦς ἀνέβλεψεν αὖθις, δύο δὲ ὀβελίσκους ὀκτὼ πήχεων πλάτους καὶ ἑκατὸν ὕψους μονολίθους εὐγνωμονῶν τῷ ἐν Ἡλιοπόλει θεῷ ἀνέθηκε καὶ τὴν μόνην ἀγνὴν κηπωρὸν γυναῖκα, ἧς τῷ οὔρῳ τοὺς ὀφθαλμοὺς πλύνων ἰάθη, σύζυγον ἔλαβεν. Οἵα εὐγνωμοσύνη!

Ἀλλ' ὃ θαυμάσιον ὄντως ἐστίν, ἡ θεραπευτικὴ αὕτη τῶν ὀφθαλμικῶν παθῶν τῷ οὔρῳ παρθένου κυρίως ἀγνῆς καὶ νῦν ἔτι ἐν μεγάλῃ παρὰ τῷ λαῷ ἐστι χρήσει πρὸς ὀφθαλμίας. Οὕτως ἄρα πολλὰ τῆς παλαιτάτης ἰατρικῆς ἰάματα καὶ χειρουργίαι παρὰ τῷ λαῷ εὑρηνται, ὡς ἐν ἰδίᾳ περὶ τούτου μελέτῃ ἔσται μοι ὁ λόγος. Καὶ Γαληνὸς δὲ καὶ Μάρκελλος ὁ ἐμπειρικὸς καὶ Σέξτος ὁ Πλατωνικὸς καὶ Πλίνιος τὸ οὖρον παιδὸς ἢ παρθένου ἀγνῆς πρὸς λευκώματα καὶ ἄργεμα συνιστᾶσι.

Πιθανὸν δ' ἂν εἴη τοὺς Αἰγυπτίους ὀφθαλμικοὺς πρώτους καὶ με-

ταλλικοῖς ἐμπλάστροις τε καὶ ἀλοιφαῖς καὶ κολλυρίοις ὀφθαλμικοῖς κεχρῆσθαι· πρῶτοι γὰρ δοκοῦσι χυμείας εὑρεταὶ γεγονέναι. Γαληνὸς γνωρίζει ἡμῖν αἰγυπτιακά τινα ὀφθαλμικὰ φάρμακα πολυσύνθετα, ἐκ τῆς Ἀσκληπιάδου συγγραφῆς παραλαβών, περὶ ὧν οὐχ οἷόν τ' ἂν εἴη ἀσφαλῶς εἰπεῖν, εἰ πανυ παλαιὰ εἴη ἢ τῶν Ἀλεξανδρίνων χρόνων· ἔστι δὲ τάδε· τὸ *ἀχάριστον* ἐπιγραφόμενον, ὃ πρὸς τὰς μεγίστας ἐπιφορὰς ὠφελεῖ καὶ ᾧ μόνῳ ἐν Αἰγύπτῳ οἱ ἰατροὶ χρώμενοι ἐπιτυχῶς ἰῶνται καὶ μάλιστα τοὺς ἀγροικοτέρους 12,749· *Αἰγυπτία* ἀλοιφή, ἣ πρὸς τύλους ὀφθαλμικοὺς καὶ λευκώματα ποιεῖ, ἀφαιρεῖ δὲ καὶ *δέρματα* ὀφθαλμικὰ παραυτίκα, καὶ ἄλλη *Αἰγυπτία* ἀλοιφή, ἣ πρὸς τύλους καὶ λευκώματα καὶ κεχρονισμένας διαθέσεις ὠφελεῖ 12,737. Τινὰ δ' ὀφθαλμικὰ Αἰγυπτίων θεῶν ὀνόματα φέρει, ὡς *φάριον σαραπιακόν*, ὃ πρὸς τὰς μεγίστας ἐπιφορὰς καὶ πρὸς περιωδυνίας καὶ πρὸς διαθέσεις ὀφθαλμικὰς ποιεῖ 12,755, καὶ *ἡ Σεραπίωνος* ἔμπλαστρος, ἣν οἱ μὲν *Αἰγυπτίαν*, οἱ δὲ *Ἀφροδίτην* καλοῦσι καὶ ἣ πρὸς ἄλλα τε πάθη καὶ πρὸς παρωτίδας καὶ πρὸς τὰ θλάσματα τῶν ὤτων ποιεῖ 13,883· ἀλλ' αὕτη, ἔμοιγε δοκεῖ, οὐκ ἀπὸ τοῦ θεοῦ Σαράπιδος, ὡς Αὔγουστος Ἀνδρέου φησὶ σ. 59, ἀλλ' ἀπὸ Σεραπίωνος τοῦ Ἀλεξανδρέως ἐμπειρικοῦ τὴν ὀνομασίαν ἔχει· πρὸς δὲ ἡ *Ἶσις* ὑπό τινων μὲν Ἐπιγόνου λέγεται, ὑπό τινων δὲ Ἕρμωνος τοῦ ἱερογραμματέως, ἄλλοι δὲ τὴν ἐκ τῶν ἀδύτων ἱερὰν ἔμπλαστρον *Ἶσιν* οἴονται εἶναι· αὕτη δὲ πρὸς τοῖς ἄλλοις καὶ ῥεῦμα ὀφθαλμῶν ἵστησιν ἐπὶ τὸ μέτωπον ἐπιτιθεμένη 13,774. Πάντα δ' ἔμοιγε δοκεῖ ταῦτα τὰ ὀφθαλμικὰ τῶν ἀλεξανδρίνων εἶναι χρόνων, τότε δ' αὐτὰ οὕτως ὠνομάσθαι· ἀλλὰ μὴν καὶ τοῦτο σαφῶς δείκνυσιν, ὅτι μεγάλης φήμης παλαιόθεν ἀπέλαυον οἱ Αἰγύπτιοι ὀφθαλμικοὶ καὶ τὰ ἑαυτῶν φάρμακα.

Οἱ δὲ νεωστὶ ὑπὸ Βρουξίου (Brugsch) καὶ Ἐβέρσου (Ebers) εὑρεθέντες πάπυροι, οἳ παλαίτατοι, τοῦ 14-16 π. Χ. αἰῶνος, εἶναι λέγονται, ἔχουσι μὲν καί τινα ὀφθαλμικά, ἀλλ' ὡς καὶ ἐν τῇ ἀρχῇ τῆς παρ' Ἕλλησιν ἰατρικῆς σὺν ἐμπειρίᾳ τινὶ ἐπῳδαῖς καὶ μαγείαις καὶ ἱεροτελεστίαις μεμιγμένα· ὥστ' εἰκότως ἄν τις εἴποι τὸ τοῦ Γαληνοῦ, ὅτι πάντα λῆρός ἐστι. Ὁ τοῦ Ἐβέρσου πάπυρος δοκεῖ αὐτῷ τὸ *περὶ φαρμάκων* βιβλίον εἶναι, οὗ Κλήμης ὁ Ἀλεξανδρεὺς μνημονεύει ἐν Στρωματέων λόγων ς, 4,37. Εἰ δ' οὕτως ἔχοι, πιθανῶς αὐτὸ τοῦτο ἂν εἴη τὸ βιβλίον, ὃ, ὡς Γαληνός φησι 11,798, περιεῖχε τὰς ἓξ καὶ τριά-

κοντα τῶν ὡροσκόπων ἱερὰς βοτάνας, αἳ πᾶσαι λῆρός εἰσι, φησί, καὶ μέχρι τῶν ὀνομάτων προέρχονται, μηδενὸς αὐταῖς ὑποκειμένου πράγματος. Ὁ πάπυρος οὐτός ἐστιν, ὡς ἔπος εἰπεῖν, θεραπευτικὴ τῶν νόσων καὶ δὴ καὶ τῶν ὀφθαλμικῶν παθῶν. Ἐν τῷ Παπύρῳ τούτῳ τοῦ Ἐβέρσου καὶ περὶ τῆς θεραπείας τῶν ὀφθαλμικῶν παθῶν εἴρηται I, 55-64. Ἐν τούτῳ λόγος γίνεται περὶ τῆς θεραπείας τῆς τε ὀφθαλμίας καὶ τῆς ἐπιφορᾶς ἢ δακρυρροίας καὶ τῶν γλαμυρῶν ὀφθαλμῶν καὶ τῆς μειώσεως τῆς κόρης καὶ τῶν παχέων βλεφάρων καὶ τῶν τραχωμάτων καὶ τῶν λευκωμάτων καὶ ἀργέμων καὶ τοῦ πτερυγίου καὶ τοῦ γλαυκώματος καὶ τοῦ ὑποχύματος καὶ τοῦ ὄγκου ἐν τοῖς ὀφθαλμοῖς, ἤτοι τοῦ σταφυλώματος, καὶ τῆς τριχιάσεως καὶ ἄλλων μηκέτι διασαφηνισθέντων παθῶν.

Καὶ τὸ μὲν πτερύγιον, ὃ ἐκ τῆς ὁμοιότητος μικρᾷ πτέρυγι οὕτω τοῖς Ἕλλησιν ὠνόμασται, *κροκοδείλου κόσος ἐν ὀφθαλμῷ* ὑπὸ τῶν Αἰγυπτίων λέγεται, ὅτι τὸ σχῆμα κεφαλῆς κροκοδείλου ἔχει, ὡς φησιν Ἔβερσος. Γλαύκωμα δὲ εἴτε καθ' Ἱπποκράτην *κυανῖτιδες ὄψεις* ἡ λεγομένη *σμαράγδινος* ἢ *πρασίνη ὄψις* ὑπὸ τῶν Αἰγυπτίων ἂν εἴη. Καὶ τὸ ὑπόχυμα δὲ, ὃ ὑπὸ Ἱπποκράτους *γλαυκώσιες*, ὥς γέ μοι δοκεῖ, καὶ *κόραι γλαυκούμεναι* ἢ *ἀργυροειδέες* καὶ *ὄψεις θαλασσοειδέες* λέγεται, ἐγίνωσκον, φαίνεται, οἱ Αἰγύπτιοι, εἰ ὀρθῶς Ἔβερσος τὸν πάπυρον ἐν τοῖς περὶ ὑποχύματος μετέφρασε· καὶ γὰρ *τυφλότης κατὰ τὸ φακοειδές*, εἰ ὀρθῶς ἐστι οὕτω μεταπεφρασμένον, οὐδὲν ἄλλ' ἢ τὸ ὑπόχυμά ἐστι. Παράγραφος δέ τις ἐπιγέγραπται *περὶ ἀναδρομῆς* (*ἀναχύσεως*) *τοῦ ὕδατος ἐν τοῖς ὀφθαλμοῖς*, ἤτοι «*ach ente muau em merd*» I, 60. Ὅτι δ' ἐν τῇ ἐπιγραφῇ ταύτῃ τὸ ὑπόχυμα νοητέον, φανερὸν καὶ ἐκ τῶν ὁμοιοτρόπως ἐσχηματισμένων τεχνικῶν ὅρων τοῦ ὑποχύματος, ὃ ἐν μὲν τῇ Ἑλληνικῇ κατὰ τοὺς ἀλεξανδρίνους χρόνους *ὑπόχυσις* λέγεται, ἐν δὲ τῇ Ἀραβικῇ «*Nusul ul ma*», ἤτοι *ὑπόχυσις ὕδατος ἐν τῷ ὀφθαλμῷ*. Ὥστε εἰ ταῦτ' οὕτως ἔχει, τοῖς Αἰγυπτίοις περὶ τὸν 16ον π. Χ. αἰῶνα γνωστὸν ἦν τὸ ὑπόχυμα· ᾤοντο δέ, ὡς φαίνεται, ἐκ συναγωγῆς καὶ πήξεως ἐν τῷ ὀφθαλμῷ ὕδατος γίγνεσθαι.

Ἡ παθολογικὴ δ' αὕτη τῆς ὑποχύσεως ἢ τοῦ ὑποχύματος θεωρία τῶν Αἰγυπτίων ἡ τόσον παλαιὰ ἐπεκράτησε μεθ' Ἱπποκράτην παρά τε τοῖς Ἕλλησιν ἐν τῇ τῆς Ἀλεξανδρείας ἰατρικῇ σχολῇ καὶ ἐν τῇ

ρωμαϊκῇ ἰατρικῇ καὶ τῇ ἀραβικῇ, οὐ μὴν ἀλλὰ καὶ ἐν τῇ τῆς Ἀνατολῆς καὶ Δύσεως μέχρι τῶν ἀρχῶν τοῦ 18ου μ. Χ. αἰῶνος. Θαυμαστὸν ὄντως, εἰ ἡ περὶ ὑποχύματος θεωρία Ἑρμοῦ τοῦ Αἰγυπτίου, ὁ *λῆρος* οὗτος, μέχρι τοῦ 18ου μ. Χ. αἰῶνος ἴσχυσεν· ἔτι δὲ θαυμαστότερον, εἰ, ὡς ἂν εἴη ἔκ τινος τοῦ παπύρου χωρίου εἰκάσαι, καὶ ἡ τοῦ ὑποχύματος καταγωγὴ πρὸς ἄνοιξιν τῆς ὄψεως ἀπὸ Ἑρμοῦ τὴν ἀρχὴν ἔχοι. Τί γὰρ ἄλλ' ἂν εἴη ἡ ἐπιγραφὴ «*διδασκαλία περὶ ἀνοίξεως τῆς ὄψεως ἐν τοῖς ὄπισθεν τοῦ ὀφθαλμοῦ τόποις*» ἢ ἄνοιξις τῆς ὄψεως διὰ καταγωγῆς τοῦ ὑποχύματος, τῆς πρὸς τοῦτο βελόνης ἐν τοῖς ὄπισθεν τοῦ ὀφθαλμοῦ τόποις διεισδυούσης; Ἀλλὰ τολμηρὸν ἂν εἴη οὕτως ἀποφήνασθαι, ἂν μὴ πάντα τὰ τοῦ παπύρου ὀρθῶς ἑρμηνευθῶσιν ὑπὸ εἰδήμονος οὐ μόνον τῆς Αἰγυπτίων γλώσσης ἀλλὰ καὶ τῆς ὀφθαλμικῆς ἐπιστήμης καὶ τῆς ἱστορίας τῆς ἰατρικῆς.

Εἰ δ' ὁ πάπυρος οὗτος παλαίτατος ὄντως τοῦ 16ου π. Χ. αἰῶνός ἐστιν ἢ ἐν τοῖς μετέπειτα χρόνοις γέγραπται, πολλῶν καὶ ἐκ τῆς ἀρχαίας ἑλληνικῆς ὀφθαλμολογίας ἐν αὐτῷ παρεισαχθέντων, ὡς ἐπὶ Ψαμμητίχου κατὰ τὸν 7ον αἰῶνα π. Χ. πολλὰ τῶν Ἑλλήνων διδάγματα πρὸς ἀναγέννησιν τῆς Αἰγύπτου παρελήφθησαν, τοῦτο, ὡς εἰκός, σαφῶς εἰπεῖν ἀδύνατον· εἰ γάρ τι Ἕλληνες ἐξ ἄλλων παρέλαβον, τοῦτο εἴρηται αὐτοῖς ῥητῶς. Εἰ δὲ καὶ μικρόν τι παρέλαβον εἴτε παρ' Αἰγυπτίων εἴτε παρ' Ἰνδῶν, τοῦθ' οὕτως ἐπιστημόνως αὐτοῖς διεσκεύασται, ὥστ' εἰκὸς ἂν εἴη εἰπεῖν ὅτι ἀναντιρρήτως καὶ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης εὑρεταὶ καὶ διασκευασταὶ οἱ Ἕλληνες τυγχάνουσιν ὄντες, ὡς μέλισσαι εἴ τι ἀγαθὸν καὶ ἄλλοθεν παραδεξάμενοι, πάντα δὲ λῆρον ἀπολακτίσαντες. Εἰκότως ἄρα πάνυ ὁ σοφὸς Ἴρσιός φησι, τὴν τῶν Αἰγυπτίων ὀφθαλμολογίαν μηδεμίαν ῥοπὴν μήτε δύναμιν ἐσχηκέναι πρὸς ἐπιστημονικὴν διαρρύθμισιν τῆς τῶν Ἑλλήνων ὀφθαλμολογίας, ἐν *Ἱστορίᾳ ὀφθαλμικῇ* 237.

Καὶ περὶ τῶν τοῦ Σουσρούτα δὲ καὶ Χαράκα βιβλίων (Ayur-Veda), ἃ ὄντως μὲν ἀρχαιότατα, ὁμολογουμένως δ' ἐν τοῖς μεταξὺ τρίτου καὶ ἕκτου μ. Χ. αἰῶνος χρόνοις διεσκεύασται, οἷός τ' εἰμὶ ἰσχυρίσασθαι ὅτι πολλὰ ἐν αὐτοῖς τῶν Ἑλλήνων θεωρήματα καὶ διδάγματα Ἱπποκράτους τε Ἐμπεδοκλέους τε καὶ Ἀριστοτέλους καὶ ἄλλων αὐτολεξεί ἔστιν ὅτε ἐμβέβληται, καὶ πολλὰ κυρίως τῆς ἀρχαίας ἑλληνικῆς ὀφθαλμολογίας καὶ ὠτολογίας καὶ πάθη καὶ τρόποι θεραπείας

καὶ χειρουργίαι ἐν αὐτοῖς περιείληπται ἐκ τῶν Ἱπποκράτει τε καὶ Γαληνῷ καὶ Παύλῳ τῷ Αἰγινήτῃ καὶ ἄλλοις εἰρημένων. Ὡς γὰρ εἴρηταί μοι καὶ πρότερον, εἴ τι παρ' ἄλλων Ἕλληνες παρειλήφασι, τοῦτο ῥητῶς εἰρήκασιν· εἰ δὲ καὶ εἰπεῖν οὐκ ἠβούλοντο, ἡ τοῦ ἑλληνικοῦ χαρακτῆρος αὐστηρὰ πρὸς τὸ ἐλέγχειν κλίσις, ἡ καὶ νῦν ἔτι μέγ' ἰσχύουσα, τάχ' ἂν ἐξήλεγξεν αὐτοὺς τἀλλότρια σφετερισαμένους· ὥστε πιθανότατον ἡγοῦμαι πολλὰ τῶν ἐν τοῖς βιβλίοις Σουσρούτα (Hessler III, 1-37) καὶ Χαράκα (Wise II, 197) ὀφθαλμικῶν καὶ ὠτικῶν διδαγμάτων ἐκ τῶν Ἑλλήνων συγγραφέων εἰλῆφθαι. Εἰ γὰρ Ἀριστοτέλης ἐκ τῶν βίβλων τῶν Βραχμάνων τὰ κύρια τῆς αὐτοῦ φιλοσοφίας καὶ τἄλλα αὐτοῦ φυσικὰ θεωρήματα ἠρύετο, τίν' ἂν εὕρισκε χάριν ἐν τῷ αὐστηρῷ περὶ αὐτοῦ ἐλέγχῳ τοῦ Γαληνοῦ; Τίνα δ' ἂν εὕρισκε παρ' αὐτῷ χάριν καὶ Ἱπποκράτης αὐτός, εἰ τὴν περὶ χυμῶν θεωρίαν καὶ τἄλλα αὐτοῦ ἰατρικὰ διδάγματα ἐκ τῶν τῶν Βραχμάνων βιβλίων παρελάμβανεν; Εἰ δὲ δυνατὸν ἦν Ἱπποκράτει καὶ Ἀριστοτέλει τὰ τῶν Βραχμάνων μυστήρια μαθεῖν, πολλῷ εὐχερέστερον εἴη ἂν τοῦτο τοῖς μετ' Ἀλέξανδρον σοφοῖς. Εἰρήσεται δέ μοι ἐν τοῖς καθέκαστα τί παρὰ τίνων Ἑλλήνων παρέλαβον ὅ τε Σουσρούτας καὶ Χαράκας καὶ τί ἴδιον τοῖς βραχμᾶσιν ὀφθαλμικὸν καὶ ὠτικὸν ὑπάρχει.

Ἐκ δὲ τῆς τῶν Ἰουδαίων ἰατρικῆς μίαν μόνην ὀφθαλμικὴν θεραπείαν ἴσμεν, τὴν τοῦ Τωβὶτ (700 π. Χ.). Ἐν τῷ τῆς Παλαιᾶς Διαθήκης βιβλίῳ τοῦ Τωβὶτ ὧδε τὸ πάθος αὐτὸς οὗτος διηγεῖται Β,10· «καὶ τῶν ὀφθαλμῶν μου ἀνεῳγότων, ἀφώδευσαν τὰ στρουθία » θερμὸν εἰς τοὺς ὀφθαλμούς μου καὶ ἐγεννήθη λευκώματα ἐν τοῖς » ὀφθαλμοῖς μου καὶ ἐπορεύθην πρὸς ἰατροὺς καὶ οὐκ ὠφέλησάν με». Ἐκ τῆς διηγήσεως ταύτης οἷόν τ' ἂν εἴη εἰκάσαι, ὡς κερατοειδῖτις ἦν τὸ ὀφθαλμικὸν τοῦ Τωβὶτ πάθος καὶ δὴ καὶ διὰ τὸ πολυχρόνιον αὐτοῦ (ἐπὶ γὰρ τέτταρα ἔτη τυφλὸς ἦν) *παρώδης* ἦν, ἔμοιγε δοκεῖ, *κερατοειδῖτις*· δοκεῖ δέ μοι ὡς νῦν οὕτω καὶ πάλαι ἐν τοῖς τόποις ἐκείνοις ἐνδημεῖν τὸ πάθος τὸ τραχωματικόν. Ὁ ἄγγελος δὲ Ζαχαρίας ὑπὸ τοῦ Κυρίου ἀποσταλεὶς «*τοῦ Τωβὶτ λεπίσαι τὰ λευκώματα*», τὸν υἱὸν αὐτοῦ Τωβίαν ἐδίδαξε τῇ χολῇ μεγάλου ἰχθύος τοὺς τοῦ πατρὸς ὀφθαλμοὺς χρῖσαι ΙΑ. Τούτου δὲ γενομένου, μεθ' ἡμίσειαν ὥραν ὡς ὠοῦ *ὑμένιον* ἀπελεπίσθη τὰ λευκώματα, ὃ ἑλκύσας ὁ Τωβὶτ ἀνέβλεψε. Τοῦτο δὲ τὸ ὑμένιον, ἔμοιγε δοκεῖ, οὐδὲν ἀλλ' ἂν εἴη ἢ

πεπηγὸς τῶν ὀφθαλμῶν ἔκκριμα ἐκ τοῦ ἀπὸ τῆς χολῆς ἐρεθισμοῦ. Καὶ νῦν δ' ἔτι παρὰ τῷ λαῷ ἐν χρήσει ἐστὶν ἡ τῇ χολῇ ἰχθύων καὶ πτηνῶν θεραπεία τῆς τε πανώδους κερατοειδίτιδος καὶ ἄλλων νόσων τοῦ κερατοειδοῦς.

Ε.

ΠΕΡΙ ΠΑΛΑΙΤΑΤΗΣ ΠΡΟ ΟΜΗΡΟΥ ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ.

Εὔκαιρον δὲ νῦν ἡγοῦμαι εἰπεῖν, τίνες οἱ παλαίτατοι Ἕλληνες ἰατροὶ τυγχάνουσιν ὄντες καὶ τίνες οἱ εὑρεταὶ τῆς Ἑλλήνων ἰατρικῆς καὶ δὴ καὶ τῆς συμπαρεπομένης ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης· πάντα γὰρ ταῦτα ἐν τῇ ἀρχαιότητι σὺν ἄλλαις ἐπιστήμαις τε καὶ τέχναις κοινῇ ἐδιδάσκετο ἀπὸ τοῦ διδασκάλου ἢ πατρὸς τοῖς μαθηταῖς ἢ τέκνοις ζώσῃ φωνῇ μεταδιδόμενα. Τῆς μυθολογίας δὲ τῷ σκότει τὰ τῆς παλαιτάτης ἰατρικῆς περικεκαλυμμένα βεβαίως μικρὸν πάνυ τὸ ἐπιστημονικὸν ἐνέχουσιν, ἀλλ' ἀναγκαῖον δοκεῖ μοι καὶ περὶ τῆς ἀρχαιοτάτης πρὸ Ὁμήρου ἰατρικῆς διαλαβεῖν, τῆς τε *μαγικῆς* καὶ *φυσικῆς*, ἵνα πλήρης εἰκὼν τῆς ἀναπτύξεως τῆς παρ' Ἕλλησιν ὀφθαλμολογίας καὶ ὠτολογίας πρόκηται τῷ ἀναγινώσκοντι.

Εἰ δ' ἐξ Αἰγύπτου πᾶσαι αἱ τέχναι καὶ ἐπιστῆμαι καὶ λατρεῖαι καὶ αἱ ἄλλαι γνώσεις ὑπὸ Δαναοῦ καὶ Κέκροπος εἰς Ἑλλάδα μετηνέχθησαν, ὥς φησιν Ἡρόδοτος Β,50-54.91 καὶ Διόδωρος ὁ Σικελιώτης Α,28.29.95 καὶ Παυσανίας Β,16, εἴτ' ἐκ Φοινίκης ὑπὸ Κάδμου, ὃν καὶ Τύριον Ἡρόδοτος ὀνομάζει Β,49, εἴτ' ὑπὸ τῶν ὑπερβορείων Θρᾳκῶν, ἐν οἷς Εὔμολπος καὶ Ὀρφεύς, ἐν τῇ ἱερᾷ νήσῳ Σαμοθρᾴκῃ παιδευθείς, εἴτ' ὑπὸ Φρυγῶν, εἴτε βορειότερον ἔτι ἐκ Ταυρίδος Κολχίδος καὶ τῶν Καυκασίων φύλων διὰ τοῦ Προμηθέως τὰ στοιχεῖα τῶν τεχνῶν καὶ ἐπιστημῶν ἔλαβον οἱ Ἕλληνες καὶ δὴ καὶ τὰς πρώτας τῆς ἰατρικῆς ἀρχάς, ἢ τοὐναντίον εἰ Ἕλληνες πρῶτοι ἰατρικὴν καὶ πάσας τὰς τέχνας καὶ γνώσεις εὗρον, ταύτας δὲ τοὺς ἄλλους λαοὺς ἐδίδαξαν, τοῦτο διὰ χρόνου μῆκος σαφῶς εἰπεῖν ἀδύνατον· ἀλλὰ μὴν καὶ εἰ τὰ πρῶτα τῆς ἰατρικῆς καὶ πάσης παιδεύσεως στοιχεῖα ἐξ Αἰγυπτίων ἢ Φοινίκων ἢ Θρᾳκῶν καὶ Φρυγῶν ἢ ἐκ Καυκασίων φύλων Ἕλληνες παρέλαβον, εἰς τοσοῦτον τελειότητος πάντα

ταῦτα προήγαγον, ὥστ' ἐκ μαθητῶν διδάσκαλοι πάντων τῶν ἐθνῶν γεγόνασιν ἔν τε τῇ ἰατρικῇ, τῇ τε *μαγικῇ* καὶ *φυσικῇ*, καὶ πάσῃ ἄλλῃ τέχνῃ ἢ ἐπιστήμῃ καὶ δὴ καὶ ἐν τῇ ὀφθαλμολογίᾳ καὶ ὠτολογίᾳ.

α'. Περὶ τῆς μαγικῆς ἰατρικῆς.

Τῆς διὰ μαγειῶν γοητειῶν καὶ ἐπῳδῶν ἰατρικῆς Κίρκη, Ἑκάτη καὶ Μήδεια ἐκ Κολχίδος καὶ ἐκ τῆς αὐτῆς μαγικῆς οἰκογενείας εὑρεταὶ μυθολογοῦνται. Τῆς Κίρκης καὶ Ὅμηρος μνείαν ποιεῖται, πρὸς δὲ καὶ τριῶν ἔτι φαρμακίδων, Ἀγαμήδης, Πολυδάμνης καὶ Ἑλένης.

α'. Περὶ Κίρκης.

Κίρκη ἦν ἀδελφὴ Αἰήτου, ἄμφω δὲ παῖδε Ἡλίου καὶ Πέρσης τῆς Ὠκεανοῦ, ἣ *Ὠκεανίνη Περσηΐς* Ἡσιόδῳ κέκληται· κατῴκει δ' ἐν τῇ νήσῳ Αἰαίῃ, ὡς φησιν Ὅμηρος κ 135-139 καὶ Ἡσίοδος ἐν Θεογονίᾳ 956-962. Ὀδυσσεῖ δὲ Κίρκη ἔτεκεν Ἄγριον, Λατῖνον καὶ Τηλέγονον υἱοὺς τρεῖς Ἡσ. Θεογ. 1011. Διονύσιος δ' ὁ Μιλήσιος Κίρκην Αἰήτου καὶ Ἑκάτης τῆς Περσέως θυγατέρα, ἀδελφὴν δὲ Μηδείας γεγονέναι φησὶ κατὰ τὰ εἰς Ἀπολλώνιον Σχόλια Γ 200. Ἡ *πολυφάρμακος* καθ' Ὅμηρον Κίρκη κ 276 φάρμακα λυγρὰ ἀνέμιξε τῷ κυκεῶνι, ὃν τυρόν τε καὶ ἄλευρα καὶ μέλι ἐν οἴνῳ πραμνείῳ ἀνακυκῶσα ἐποίει, καὶ τοῖς Ὀδυσσέως ἑταίροις ἔδωκε καὶ ἔπιον, ἵν' ἐπιλάθοιντο τῆς ἑαυτῶν πατρίδος· μαγικῇ δὲ ῥάβδῳ πλήξασα εἰς σῦς αὐτοὺς μετεμόρφωσεν κ 236-243. Ὀδυσσεὺς δὲ φάρμακον ἔχων ἐσθλόν, τὸ *μῶλυ*, ὃ Ἑρμῆς αὐτῷ ἔδωκεν καὶ ὃ κ 304

ῥίζῃ μὲν μέλαν ἔσκε, γάλακτι δὲ εἴκελον ἄνθος,

καὶ τῷ ξίφει αὐτὴν τῇ συμβουλῇ Ἑρμοῦ ἀπειλήσας ἑαυτόν τε καὶ τοὺς ἑταίρους ἔσωσε. Τὸ μῶλυ δὲ τοῦτο τὴν μὲν ῥίζαν ἔχειν στρογγύλην προσεμφερῆ κρομμύῳ, τὸ δὲ φύλλον ὅμοιον σκίλλῃ φησὶ Θεόφραστος ἐν *Περὶ φυτῶν ἱστορίας* I ιε 7. Διοσκορίδης δὲ Γ, μζ καὶ *λευκόϊον ἄγριον* καλεῖσθαι τὸ μῶλυ, ἔχειν δὲ φύλλα μὲν ἀγρώστει ὅμοια, ἄνθη δὲ λευκοίοις, καυλὸν δὲ λεπτὸν καὶ ἐπ' ἄκρου σκοροδοειδῆ, ῥίζαν δὲ βολβοειδῆ. Ἡ οὖν Κίρκη τοὺς Ὀδυσσέως ἑταίρους ἐκ χοίρων εἰς ἄν-

δρας νεωτέρους ἐπανήγαγε τὸ μὲν τὴν μαγικὴν ῥάβδον ἔχους' ἐν χειρί, τὸ δὲ ἄλλο φάρμακον ἐσθλὸν ἑκάστῳ προσαλείφουσα κ 395·

ἄνδρες δ' αἶψ' ἐγένοντο νεώτεροι ἢ πάρος ἦσαν
καὶ πολὺ καλλίονες καὶ μείζονες εἰσοράασθαι.

Διαβόητος δὲ Κίρκη ἀνὰ τὴν ἀρχαιότητα ἐγένετο διά τε τὸ πολυφάρμακον καὶ πολυμήχανον καὶ τὰς μαγείας αὐτῆς, οὐ μὴν ἀλλὰ καὶ ἐν κακουργίαις. Πρὸς γὰρ κάκωσιν τῆς τε καμίνου καὶ τῶν κεραμέων Κίρκη κέκληται ἐν Ἐπιγράμματι Ὁμηρικῷ *Καμίνῳ* ΙΔ 15·

Δεῦρο καὶ Ἠελίου θύγατερ, πολυφάρμακε Κίρκη,
ἄγρια φάρμακα βάλλε, κάκου δ' αὐτούς τε καὶ ἔργα.

β'. Περὶ Ἑκάτης.

Ἡ Ἑκάτη θυγάτηρ Περσαίου λέγεται ἐν Ὕμνῳ εἰς Δήμητραν 24-58· κατῴκει δ' ἐν ἄντρῳ, ἐν ᾧ καὶ Ἥλιος ὁ Ὑπερίονος· Ἡσίοδος δ' Ἑκάτην Πέρσου καὶ Ἀστερίας γεγονέναι φησὶν ἐν Θεογονίᾳ 411-452· ἐπιχθονίοις δ' ἀνθρώποις καὶ ἀθανάτοις θεοῖς μάλιστα τετιμημένην εἶναι· δύναμιν δ' ἄρ' αὐτῇ παρεῖναι, πόλλ' ἀγαθὰ παρέχειν βροτοῖς, οἷς ἂν ἐθέλοι. Πρώτη δὲ θανασίμους ῥίζας ἐξευρεῖν λέγεται καὶ ἐμπειροτάτη τῶν τε δηλητηρίων καὶ τῶν ἰατρικῶν γεγονέναι κατὰ τὰ Σχόλια εἰς Ἀπολλώνιον Γ 200.

γ'. Περὶ Μηδείας.

Μήδεια Αἰήτου καὶ Ἰδυίας θυγάτηρ ἐγένετο, σύζυγον δ' Ἰάσονα ἔσχεν, ᾧ υἱὸν Μήδειον ἔτεκεν, ὡς Ἡσίοδός φησιν ἐν Θεογονίᾳ 958, 1000. Μήδεια τὰ πολυμήχανα καὶ πολυδύναμα ἐδιδάχθη φάρμακα ὑφ' Ἑκάτης, ὡς Ἀπολλώνιός φησι Γ 528·

Κούρη τις μεγάροισιν ἐνετρέφετ' Αἰήταο,
τὴν Ἑκάτη περίαλλα θεὰ δάε τεχνήσασθαι
φάρμαχ', ὅσ' ἤπειρός τε φύει καὶ νήχυτον ὕδωρ,
τοῖσι καὶ ἀκαμάτοιο πυρὸς μειλίσσετ' ἀϋτμήν,
καὶ ποταμοὺς ἵστησιν ἄφαρ κελαδεινά ῥέοντας,
ἄστρα τε καὶ Μήνης ἱερῆς ἐπέδησε κελεύθους.

Φάρμακον δέ τι, ὃ ἐν τῷ ναῷ Ἑκάτης Μήδεια παρεσκεύαζε, *Προμήθειον* ἐκαλεῖτο Γ 845 Διὰ δὲ τοῦ φαρμάκου Μηδείας καὶ ἀλοιφῆς ἀλκὴ καὶ μέγα σθένος Ἰάσονι ἐγένετο, ὥστε τοὺς ὑπ' Αἰήτου ταχθέντας ἄθλους ἐπιτελέσαι Γ 1042. Φάρμακα δὲ ῥαίνουσα κατ' ὀφθαλμῶν

καὶ δι' ἐπῳδῶν ὕπνον τῷ θηρίῳ, τῷ δράκοντι, Μήδεια ἐνέβαλε, μέχρις οὗ τὸ χρυσοῦν δέρας ἀπὸ τῆς δρυὸς ἀφείλετο καὶ ἐπὶ νῆα πάλιν ἐπέστρεψεν Ἰάσων Δ 156· θυγάτηρ δ' Αἰήτου, ἀδελφὴ Χαλκιόπης καὶ ἱέρεια Ἑκάτης ἐγένετο Γ 248. Ἐν Μηδείᾳ δ' Εὐριπίδου κυρίως ἐξαίρεται τὸ πολυφάρκον καὶ πολυμήχανον καὶ κακοῦργον τῆς Μηδείας, τῆς διαβοήτου φαρμακευτρίας. Λεπτομερῶς δὲ τὰ περὶ Κίρκης Ἑκάτης καὶ Μηδείας μυθολογούμενα ἱστοροῦσι Διόδωρος ὁ Σικελιώτης Δ,45-56 καὶ Ἀπολλόδωρος Α,9,23-27. Ἐν δ' Ὀρφέως Ἀργοναυτικοῖς 915-928 λεπτομερῶς τὸ τῆς Ἑκάτης ἄλσος, ἐν ᾧ τὸ ὑπὸ δράκοντος φυλαττόμενον χρυσόμαλλον δέρας ἦν, περιγράφεται, τίνα ἐν αὐτῷ ἦν φάρμακα, δι' ὧν ἥ τε Ἑκάτη καὶ ἡ ἱέρεια αὐτῆς Μήδεια τὰ μαγικὰ θαύματα ἐποιοῦντο.

δ'. Περὶ Ἀγαμήδης.

Ἡ ξανθὴ Ἀγαμήδη θυγάτηρ Αὐγείου καὶ σύζυγος Μουλίου, ὃς ὑπὸ Νέστορος ἐφονεύθη, ἣν ἄριστος φαρμακὶς καθ' Ὅμηρον Λ 741·

ἣ τόσα φάρμακα ᾔδη, ὅσα τρέφει εὐρεῖα χθών.

ε'. Περὶ Πολυδάμνης.

Πολύδαμνα, Θῶνος γυνή, Αἰγυπτία, Ἑλένην τὸ νηπενθὲς ἐδίδαξε φάρμακον δ 228.

ς'. Περὶ Ἑλένης.

Ἑλένη δέ, Διὸς μὲν καὶ Λήδας θυγάτηρ, σύζυγος δὲ Μενελάου, ἔβαλεν εἰς τὸν οἶνον, ἔνθεν Τηλέμαχος καὶ Πεισίστρατος Νεστορίδης καὶ οἱ συνδαίτορες ἔπινον, πρὸς κατάπαυσιν τοῦ κλαυθμοῦ φάρμακον δ 221

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

Δοκεῖ δέ μοι τὸ νηπενθὲς τοῦτο φάρμακον τὸ καὶ νῦν ἐν χρήσει παρ' Αἰγυπτίοις παυσίλυπον *χασίσιον* ἤτοι τὴν *ἰνδικὴν κάνναβιν* εἶναι.

Οὕτως ἡ ἰατρικὴ ἐν παλαιτάτοις χρόνοις διὰ μαγειῶν γοητειῶν καὶ ἐπῳδῶν ἠσκεῖτο, ἀλλὰ μὴν ἀείποτε καὶ φαρμάκων ἐγίγνετο χρῆσις· καὶ γὰρ καὶ ἡ φαρμακὶς Μήδεια ῥίζαις καὶ βοτάναις τοὺς τετραυματισμένους τῶν Ἀργοναυτῶν ἐν ὀλίγαις ἡμέραις ἐθεράπευσεν, ὡς φησι Διόδωρος Δ, 48. Εἰκὸς δ' ἂν εἴη καὶ ὀφθαλμῶν καὶ ὤτων πάθη τούτῳ τῷ τρόπῳ ἰᾶσθαι τὰς φαρμακίδας.

β'. Περὶ τῆς φυσικῆς ἰατρικῆς.

Ἥ τε *μαγικὴ* καὶ *φυσικὴ* ἰατρικὴ στενῶς ἀλλήλαις συνέχονται ἐν τῇ ἀπωτάτω ἀρχαιότητι· αἵ τε γὰρ φαρμακίδες Κίρκη καὶ Ἑκάτη καὶ Μήδεια καὶ Ἀγαμήδη καὶ Πολύδαμνα καὶ Ἑλένη τὰ ὑπὲρ φύσιν θαύματα αὐτῶν φαρμάκοις ἐποιοῦντο καὶ οἱ παλαίτατοι φυσικοὶ ἰατροὶ οὐ μόνον φαρμάκοις κατὰ φύσιν τὰς νόσους ἰῶντο, ἀλλὰ καὶ ἐπῳδαῖς καὶ μαγείαις καὶ μαντικῇ τὸ τῆς ψυχῆς ἦθος ἐπεγείρειν ἐπεχείρουν.

Ἡ παλαιτάτη δ' αὕτη μαγική τε καὶ φυσικὴ ἰατρική, τὸ ἐπῳδαῖς τε καὶ φαρμάκοις ἅμα ἰᾶσθαι, οὐ μόνον παρ' Ἀσκληπιῷ καὶ ἐν τοῖς Ἀσκληπιείοις μετέπειτα ἐν πολλῇ ἦν χρήσει καὶ τιμῇ παρ' Ἕλλησιν, ἀλλὰ καὶ ἐν τῇ ἀκμῇ ἔτι τοῦ Ἑλληνικοῦ· οἷον Ἄβαρις καὶ Τόξαρις καὶ Ζάμολξις θαυματοποιοὶ ἐνομίζοντο ἰατροί.

Καὶ ὁ μὲν ἐπῳδὸς Ἄβαρις ὁ Ὑπερβόρεος κατὰ Πυθαγόραν ἀκμάζων καὶ μαθητὴς αὐτοῦ γενόμενος δι' ἐπῳδῶν ἰᾶτο τὰς νόσους, ὡς καὶ Ζάμολξις κατὰ Πλάτωνα ἐν Χαρμίδῃ ς'. 158b. Δι' ἐπῳδῶν τελετῶν καὶ καθαρμῶν ἀπήλλαξεν ὁ Ἄβαρις τὴν Λακεδαίμονα τοῦ ἐπελθόντος λοιμοῦ, ὡς Ἰάμβλιχός φησιν ἐν τῷ Περὶ Πυθαγορικοῦ βίου ιθ'. 90.

Καὶ Τόξαρις δέ τις Σκύθης, ὥς φησι Λουκιανὸς ἐν διαλόγῳ *Σκύθῃ ἢ Προξένῳ* ΚΔ. 859, πρὸ τοῦ Ἀναχάρσεως Σκύθου καὶ τούτου Ἀθήναζε ἀφίκετο παιδείας ἑλληνικῆς ἐπιθυμίᾳ καὶ Ἀθήνῃσι τὸν βίον ἐτελεύτησεν· ἰατρικὸς δ' ἐγένετο καὶ τῶν Ἀσκληπιαδῶν εἷς ἐνομίζετο· θεοποιήσαντες δ' Ἀθηναῖοι αὐτῷ, ξένῳ ἰατρῷ ὄντι, λευκὸν ἐπὶ τῷ μνήματι ἔθυον ἵππον, ὅτι κατὰ τὸν λοιμὸν τὸν μέγαν ὅλην ἰάσατο τὴν πόλιν, Ἀθηναίοις συμβουλεύσας οἴνῳ πολλῷ τοὺς στενωποὺς ῥᾶναι, ἐκ τοῦ μνήματος προελθών, ὡς Δειμαινέτῃ τῇ Ἀρχιτέλους Ἀρεοπαγίτου γυναικὶ ἔδοξε, καὶ τὰ περὶ τοῦ οἴνου αὐτῇ ἐντειλάμενος. Τόξαρις σύγχρονος ὢν Σόλωνος Ἀνάχαρσιν αὐτῷ συνέστησεν, ἵνα παρ' αὐτοῦ τὰ τῆς Ἑλλάδος ἐκμάθῃ. *Ἀνάχαρσις* δὲ Σκύθης τὸ γένος μαθητὴς ἐγένετο Σόλωνος. Σοφὸς δὲ τά τε ἄλλα καὶ εὐμήχανος εἰς τέχνας πολλὰ Σκύθας ἐδίδαξε.

Ἀλλ' ὁ πάντων ἄριστος ἐπῳδῶν ἰατρὸς ὁ θρᾷξ Ζάμολξις ἐγένετο, ὃς πρεσβύτερος μὲν Πυθαγόρου, ἐδούλευσε δ' αὐτῷ ἐν Σάμῳ καὶ

παρ' αὐτοῦ ἐδιδάχθη. Δίαιταν δὲ καὶ ἤθη ἑλληνικὰ Θρᾷκας ἐδίδαξεν ἐλεύθερος γενόμενος καὶ ἐπανελθὼν οἴκαδε καὶ τὴν τῆς ψυχῆς, ὡς λέγεται, ἀθανασίαν. Θεὸν δ' οἱ Θρᾷκες Γέται Ζάμολξιν νομίζουσι καὶ τούτῳ διὰ πενταετηρίδος ἄνθρωπον θύουσι. Καὶ ταῦτα μέν γε Ἡρόδοτός φησιν Δ,94-96.

Πλάτων δ' ἐν Χαρμίδι δ'-ε'. 155e-157c τὴν τῶν ἐπῳδῶν ἐπὶ τῆς ψυχῆς καὶ δὴ καὶ ἐφ' ὅλου καὶ μέρους τοῦ σώματος θεραπευτικὴν δύναμιν ἐν ἐκτάσει πραγματεύεται, ὡς Σωκράτης ταῦτα ἐπὶ στρατείας παρά τινος τῶν θρᾳκῶν τῶν Ζαμόλξιδος ἰατρῶν ἔμαθε. Ζαμόλξιδος δ' ἰατρικὴ θεωρία ἐστὶν ἥδε· ὥσπερ γὰρ οὐχ οἷόν τε μόνους ἐπιχειρεῖν τοὺς ὀφθαλμοὺς ἄνευ τῆς κεφαλῆς ἰᾶσθαι, οὐδὲ κεφαλὴν ἄνευ σώματος, οὕτως οὐδὲ σῶμα ἄνευ ψυχῆς, ἀλλ' ἀναγκαῖον ἂν εἴη ἅμα καὶ τὴν ψυχήν, τὸ ὅλον, ἐπῳδαῖς θεραπεύειν, εἰ μέλλοι καὶ τὸ μέρος, οἷον τὸ σῶμα, ἡ κεφαλὴ καὶ τὰ τῶν ὀμμάτων, εὖ ἔχειν. πάντα γὰρ ἡγεῖται ἐκ τῆς ψυχῆς ὁρμᾶσθαι καὶ τὰ κακὰ καὶ τὰ ἀγαθὰ τῷ σώματι καὶ παντὶ τῷ ἀνθρώπῳ, καὶ ἐκεῖθεν ἐπιρρεῖν, ὥσπερ ἐκ τῆς κεφαλῆς ἐπὶ τὰ ὄμματα. Πρῶτον ἄρα ταῖς τοῦ θρᾳκὸς Ζαμόλξιδος ἐπῳδαῖς δεῖ τὴν ψυχὴν ἐπᾷσαι, οἷον τὸ ὅλον, εἶτα δὲ τῷ κεφαλικῷ φαρμάκῳ, ὅ φύλλον τί ἐστι, τὴν κεφαλὴν θεραπεύειν.

Ταύτῃ δέ, δοκῶ μοι, τῇ ἐπιστημονικῇ θεωρίᾳ χρώμενοι κοὐκ εἰκῇ καὶ ὡς ἔτυχεν οἱ παλαίτατοι ἰατροὶ Ὀρφεύς τε καὶ Μουσαῖος καὶ Μελάμπους καὶ Ἀρισταῖος καὶ Χείρων καὶ Ἀσκληπιὸς καὶ ἄλλοι, ὧν τῇ γνώμῃ οἱ μετέπειτα ἰατροὶ ἠκολούθησαν, οὐ φαρμάκοις μόνον πρὸς ἴασιν τῶν παθῶν ἐχρῶντο, ἀλλὰ καὶ ἐπῳδαῖς καὶ καθαρμοῖς καὶ θυσίαις καὶ μαντικῇ τὴν ψυχὴν θεραπεύειν ἐπεχείρουν, ὡς ἀνωτέρω μοι εἴρηται. Ἑπόμενον δ' ἦν καὶ τὰ ὀφθαλμικὰ καὶ ὠτικὰ πάθη τούτῳ τῷ τρόπῳ ἰᾶσθαι, τὸ μὲν φαρμάκοις, τὸ δὲ ἐπῳδαῖς καὶ καθαρμοῖς.

Παλαίτατοι δ' εὑρεταὶ καὶ διδάσκαλοι τῆς φυσικῆς ἰατρικῆς μυθολογοῦνται Προμηθεὺς καὶ Ὀρφεὺς καὶ Μουσαῖος καὶ Μελάμπους καὶ Ἀρισταῖος καὶ Χείρων, πρὸς δὲ Ἀσκληπιὸς καὶ οἱ αὐτοῦ παῖδες Ποδαλείριος καὶ Μαχάων.

α'. Περὶ Προμηθέως.

Ὁ τοῦ Προμηθέως μῦθος, εἴτ' ἀληθῶς πάνσοφός τις ἀνὴρ ἐν τοῖς μυθικοῖς χρόνοις ἐγένετο, εἴτε ἡ τοῦ ἀνθρωπίνου γένους εἰς πάσας τὰς

τέχνας καὶ ἐπιστήμας πρόοδος τούτῳ τῷ μύθῳ ἠνιγμένη εἴη, πολλὰ ἡμᾶς διδάσκει περί τε τῆς ἰατρικῆς καὶ ἀνατομικῆς καὶ τίς περὶ τῶν αἰτίων τῶν νόσων ἐν γένει καὶ δὴ καὶ περὶ τῶν ὀφθαλμικῶν καὶ ὠτικῶν παθῶν παλαίτατα ἐπεκράτει δόξα.

Καὶ πρῶτος μὲν Ἡσίοδος τὸν Προμηθέως μῦθον ποιῆσαι δοκεῖ ἔν τε Θεογονίᾳ 507-616 καὶ ἐν Ἔργοις καὶ Ἡμέραις 47-105· Αἰσχύλος δὲ *Προμηθέα Δεσμώτην* ἐποίησε, τὰ μάλα τὸν Ἡσιόδου Προμήθειον μῦθον ἀναπτύξας· Σοφοκλῆς δ' ἐν *Κωφοῖς* τὸν Προμηθέως μῦθον ἀλλοῖον ἐποίησεν κατὰ Νικάνδρου Σχόλια εἰς Θηριακὰ 343. Ἀλλὰ μὴν καὶ οἱ μετέπειτα οὐκ ἀπηξίωσαν περὶ τοῦ πανσόφου καὶ εὐεργέτου τῆς ἀνθρωπότητος δεινὰ δὲ παθόντος Προμηθέως λόγον ποιήσασθαι· οἷον Ἀπολλόδωρος A, 2, 2. A, 7, 1-2 καὶ Πλούταρχος ἐν τῷ Περὶ τύχης 4. 99c. 365f. 387d καὶ Ψευδοπλούταρχος 1003 καὶ Παυσανίας A, 30 καὶ Φιλόστρατος εἰς Ἀπολλώνιον B,3 καὶ Διόδωρος A, 19. Δ, 15. E, 67. IZ, 83 καὶ Λουκιανὸς ἐν Διαλόγοις, B, Z, H, ΛH καὶ ὁ σχολιαστὴς Ἀπολλωνίου τε B 1249 καὶ Νικάνδρου ἐν Θηριακοῖς 343 καὶ ἄλλοι.

Ὁ οὖν Προμηθεὺς Ἑλλήνων ὢν θεός, οὗ ἐν τῇ Ἀκαδημίᾳ βωμὸς ἦν κατὰ Παυσανίαν A, 30,2, υἱὸς μὲν Τιτᾶνος Ἰαπετοῦ καὶ Κλυμένης τῆς Ὠκεανοῦ, ἀδελφὸς δὲ Ἄτλαντος Μενοιτίου καὶ Ἐπιμηθέως ἐγένετο καθ' Ἡσίοδον Θεογ. 507. Ἔδησε δὲ Ζεὺς αὐτὸν ἐπὶ τοῦ Καυκάσου, ἀετὸς δὲ τὸ ἧπαρ αὐτοῦ ἤσθιεν, Ἡρακλῆς δὲ τῶν δεινῶν ἐλύσατο μετὰ μακρὰν ποινήν. Ἐτιμωρήσατο δ' αὐτὸν Ζεὺς οὕτως αὐστηρῶς, τὸ μὲν ὅτι ἐν τῇ τοῦ βοὸς διανομῇ ὑπ' αὐτοῦ δολίως ἐξηπατήθη, ὥστε τὰ ὀστᾶ λαβεῖν, τὸ δὲ ὅτι ἀνθρώπους σὺν Ἀθηνᾷ Προμηθεὺς ἔπλασε, τὸ δὲ ὅτι τὸ πῦρ ἐν νάρθηκι ἔκλεψε καὶ ἔδωκε τοῖς ἀνθρώποις. Ὡς δὲ Διόδωρός φησι IZ, 83,1· « Κατὰ δὲ μέσον τὸν Καύκασον » ἔστι πέτρα δέκα σταδίων ἔχουσα τὴν περίμετρον, τεττάρων δὲ » σταδίων τὸ ὕψος, ἐν ᾗ καὶ τὸ Προμηθέως σπήλαιον ἐδείκνυθ' ὑπὸ » τῶν ἐγχωρίων καὶ ἡ τοῦ μυθολογηθέντος ἀετοῦ κοίτη καὶ τὰ τῶν » δεσμῶν σημεῖα ».

Καὶ κατ' Αἰσχύλον μὲν ἐν Προμηθεῖ 436-506 « *πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως* », ὅ δ' ἡμῖν κυρίως μέλει, καὶ ἰατρικὴ 478·

Τὸ μὲν μέγιστον, εἴ τις εἰς νόσον πέσοι,
οὐκ ἦν ἀλέξημ' οὐδὲν οὔτε βρώσιμον,

οὐ χριστόν, οὔτε πιστόν, ἀλλὰ φαρμάκων
χρεία κατεσκέλλοντο, πρὶν ἐγὼ σφίσιν
ἔδειξα κράσεις ἡπίων ἀκεσμάτων,
αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους.

Ὡς δ' ἡ ἰατρικὴ ἐπιστήμη, οὕτω καὶ ἡ ἀνατομική, ὡς ἄνω εἴρηταί μοι, ἐκ Προμηθέως τὴν ἀρχὴν ἔχει, τῇ μαντικῇ καὶ σπλαγχνοσκοπίᾳ παρεπομένη. Οὐ μόνον δὲ βοῦν Προμηθεὺς ἐν Μηκώνῃ, ὡς παλαίτατα ἡ Σικυὼν ἐκαλεῖτο, ἀνέτεμε καθ' Ἡσίοδον Θεογ. 535, ἀλλὰ καὶ τὸν ποιμένα Καύκασον ἐν τῷ ὁμωνύμῳ ὄρει πρὸς ἐπισκόπησιν τῶν σπλάγχνων καὶ μαντικήν, ὡς Ψευδοπλούταρχος κατὰ Κλεάνθην λέγει ἐν τῷ Περὶ Ποταμῶν 5,3.1003.

Διδάσκει δ' ἡμᾶς ὁ Προμηθέως μῦθος καὶ τὴν τῶν νόσων αἰτίαν. Προμηθεύς, ὡς περ Ἡσίοδός φησιν ἐν Ἔργοις καὶ Ἡμέραις 47-105, ἔκλεψε παρὰ Διὸς ἐν κοίλῳ νάρθηκι καὶ ἔφερε τοῖς ἀνθρώποις τὸ πῦρ. Χολωσάμενος δὲ τούτου ἕνεκεν Ζεὺς ἔπεμψε τῷ Ἐπιμηθεῖ δῶρον πάντων τῶν Ὀλυμπίων τὴν Πανδώραν 62, «ἀθανάταις δὲ θεαῖς εἰς ὦπα εἴσκειν παρθενικῆς καλὸν εἶδος, ἐπήρατον». Τοῦτο δὴ τὸ δῶρον τὴν Πανδώραν ἀλογίστως Ἐπιμηθεύς, ὁ ἀδελφὸς αὐτοῦ, ἐδέξατο, εἰ καὶ προεῖπεν αὐτῷ Προμηθεύς, μήποτε δῶρον δέξασθαι παρὰ Διὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν ἐξοπίσω. Ἡ γυνὴ αὕτη πίθου μέγα πῶμ' ἀφελοῦσα ἐσκέδασε Διὸς βουλῇ πάντα τὰ κακὰ τοῖς βροτοῖς καὶ πόνους χαλεποὺς καὶ λύπας καὶ νόσους· μόνη δ' Ἐλπὶς ἔμενεν ἐν τῷ πίθῳ· διότι προλαβοῦσα Πανδώρα ἐπενέβαλε πῶμα. Διὸς ἄρα βουλαῖς αἱ νόσοι τοῖς ἀνθρώποις γίνονται, φησὶν Ἡσίοδος Ἐργ. 102·

νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτὶ
αὐτόματοι φοιτῶσι κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.

β'. Περὶ Ὀρφέως.

Κατὰ τοὺς χρόνους Δαναοῦ οἰκιστοῦ Θηβῶν καὶ Καδμείας (1519) ἰατρικοὶ καὶ μαντικοὶ καὶ σοφοὶ οἱ Ὑπερβόρεοι Ὀρφεὺς καὶ Μουσαῖος, πρὸς δὲ Μελάμπους ἐγένοντο.

Ὀρφεὺς ὁ θρᾷξ Καλλιόπης ἢ Πολυμνίας καὶ Οἰάγρου, κατ' ἐπίκλησιν δ' Ἀπόλλωνος υἱός, ἀδελφὸς δὲ Λίνου ἐγένετο, ὡς Ἀπολλόδωρός φησι Α,3,2 καὶ Α,9,16 καὶ σχολιαστὴς Ἀπολλωνίου Α 23. Οὐ μόνον δὲ ποιητὴς καὶ κιθαρῳδὸς διαβόητος, ἀλλὰ καὶ νόσων

ἰάματα εὑρηκέναι, καὶ δὴ ἰατρικὸς γεγονέναι λέγεται, ὡς Παυσανίας φησὶ Θ, 30,4· «Ὁ δὲ Ὀρφεὺς ἐμοὶ δοκεῖν ὑπερεβάλετο ἐπῶν κόσμῳ » τοὺς πρὸ αὐτοῦ καὶ ἐπὶ μέγα ἦλθεν ἰσχύος, οἷα πιστευόμενος εὑρη- » κέναι τελετὰς θεῶν καὶ ἔργων ἀνοσίων καθαρμούς, *νόσων τε ἰάματα* » καὶ τροπὰς μηνυμάτων θείων». Ὅρα καὶ Διόδωρον Δ, 25. Οἶδε δ' Ὀρφεὺς καὶ τὴν τῶν ὀμμάτων *κόρην*, εἰ ὄντως Ὀρφέως εἴη τὸ «*θρητοῖς γὰρ θρηταὶ κόραι εἰσὶν ἐν ὄσσοις*». Ἀλλὰ μὴν καὶ περὶ ζῴων γενέσεως ἐν τοῖς καλουμένοις Ὀρφέως ἔπεσι λόγος γίγνεται, ὁμοίως τὸ ζῷον γίγνεσθαι τῇ τοῦ δικτύου πλοκῇ, ὃ ἐστι τόδε μετὰ τόδε τὸ μόριον, ὡς Ἀριστοτέλης φησὶν ἐν τῷ Περὶ Ζῴων γενέσεως Β, α. 3, 347, 50.

γ'. Περὶ Μουσαίου.

Καὶ *Μουσαῖος* δ' Ὀρφικὸς ποιητὴς χρησμολόγος καὶ ἰατρικὸς ἅμα ἐγένετο, ἐδίδαξε δ', ὡς Ἀριστοφάνης φησὶν ἐν Βατράχοις 1033·

ἐξακέσεις τε νόσων καὶ χρησμούς.

Ὀρφέως δ' υἱὸς ἐγένετο κατὰ Διόδωρον Δ, 25,1 καὶ Εὐρυδίκης κατ' Ἀπολλόδωρον Α, 3,2· Ἀντιοφήμου δὲ γενέσθαι καὶ τὰ *Εὐμόλπια* λεγόμενα καὶ ἄλλα ποιῆσαι ἔπη φησὶ Παυσανίας Ι, 5,6 καὶ Ι, 12,11· ἐν σανίσι δ' οἱ Ὀρφικοὶ ἐν τῷ ναῷ τοῦ Διονύσου κατέγραφον τὰ πρὸς ἴασιν τῶν νόσων φάρμακα, ὡς Εὐριπίδης φησὶν ἐν Ἀλκήστιδι 965 (ὅρα καὶ Σχόλια εἰς Ἑκάτην 1267)·

κρεῖσσον οὐδὲν ἀνάγκας
εὗρον, οὐδέ τι φάρμακον
Θρήσσαις ἐν σανίσιν, τὰς
Ὀρφεία κατέγραψεν
γῆρυς, οὐδ' ὅσα Φοῖβος Ἀσκληπιάδαις ἔδωκε
φάρμακα πολυπόνοις ἀντιτεμὼν βροτοῖσιν·

Καὶ φυσιολόγος δ' ἦ φυσικὸς Μουσαῖος ἐγένετο ἦ, ὡς ἄν τις νῦν εἴποι, ζωολόγος· περὶ γὰρ Ἀετοῦ Μουσαῖον εἰπεῖν Πλούταρχός φησιν ἐν βίῳ Γαΐου Μαρίου 36,9·

τρία μὲν τίκτει, δύο δ' ἐκλέπει, ἓν δ' ἀλυβάζει.

Εὐστάθιος δὲ Μουσαῖον ποιητὴν πρὸ Ὁμήρου γεγονέναι, ἀκέσεις δὲ νόσων συγγεγραφέναι λέγει 4,20.

δ'. Περὶ Μελάμποδος.

Μελάμπους Ἀμυθάονος καὶ Εἰδομένης τῆς Φέρητος ἢ τῆς Ἄβαν-

τος παῖς ἦ Ἀγλαίας κατὰ Διόδωρον Δ,68, κατ' ἄλλους δὲ Ροδόπης υἱός, ἀνὴρ σοφὸς καὶ μαντικὸς ἐγένετο καθ' Ἡρόδοτον Β,49, πυθόμενος δ' ἀπ' Αἰγύπτου ἄλλα τε πολλὰ Ἕλλησιν εἰσηγήσατο καὶ τὰ περὶ τὸν Διόνυσον παρὰ Κάδμου τοῦ Τυρίου ἐν Βοιωτίᾳ μαθών· Μελάμπους ἄρα σύγχρονος ἦν Κάδμου περὶ τὰ 1500 π. Χ. Ὅμηρος δὲ ο 223-255 καὶ λ 287-297 τὴν μαντικὴν ἐξαίρει τέχνην Μελάμποδός τε καὶ τῶν αὐτοῦ ἐκγόνων, ὧν πλήρη γενεαλογίαν ἀπὸ Μελάμποδος μέχρι Τηλεμάχου ἀναγράφει· υἱοὺς δ' αὐτοῦ Ἀντιφάτην τε καὶ Μάντιόν φησι. Τῇ μαντικῇ Μελάμπους Ἴφικλον τὸν Φυλάκου τοῦ κινδύνου τῆς πτώσεως τῆς αὐτοῦ οἰκίας σώσας τῶν τε δεσμῶν ἀπηλλάγη καὶ τὰς βοῦς αὐτῷ Ἰφίκλου ἐπιδόντος ἐκ Φυλάκης εἰς Πύλον πρὸς Νηλέα αὐτὰς ἐλάσας ἠγάγετο Πηρὼ τὴν Νηλέως τῷ ἀδελφῷ Βίαντι. Κατῴκει δὲ Μελάμπους ἐν Ἄργει. Καὶ Ἡσίοδος δ' ἐν Ἠοίαις, ὡς ὁ σχολιαστὴς φησιν Ἀπολλωνίου Α 118, καὶ ἐν Μελαμποδίᾳ κατ' Ἀθήναιον ΙΑ, 99. 498 τὴν Μελάμποδος παρ' Ἰφίκλῳ μαντικὴν ἐποίησε. Δράκοντος δ' ἔκγονα (ὄφεις) ἐκτραφέντα, φησί, καὶ περιλείχοντα τὰ Μελάμποδος ὦτα ἐξεκάθαιρον αὐτὰ ταῖς γλώτταις καὶ μαντικὴν αὐτῷ ἐνέπνευσαν· καὶ γὰρ τὰς τῶν πτηνῶν φωνὰς συνίει καὶ παρ' ἐκείνων ἐμάνθανε τὰ μέλλοντα. Ἐκ τούτου, ἔμοιγε δοκεῖ, ὅπερ Ἡσιόδῳ τε εἴρηται καὶ Ἀπολλοδώρῳ Α, 9,11, εἰκάσαι ἂν εἴη, ὡς Μελάμπους εὑρετὴς τῆς διὰ τοῦ λείχειν θεραπείας γεγονὼς τυγχάνοι, ἢ οἱ μετέπειτα ἐν τοῖς Ἀσκληπιείοις ἄλλα τε καὶ ὀφθαλμικὰ πάθη ταχέως ἰῶντο, ὄφεος τῇ γλώττῃ τοὺς πάσχοντας ὀφθαλμοὺς λείχοντος, ὡς ἐκ τῶν ἐν Ἐπιδαύρῳ ἀνακαλυφθέντων πινάκων καὶ ἐξ Ἀριστοφάνους φανερόν. Τὴν ἴασιν τῆς τοῦ Πλούτου ὀφθαλμίας ὑπ' Ἀσκληπιοῦ τῇ τοῦ λείχειν μεθόδῳ ὧδε Ἀριστοφάνης περιγράφει ἐν Πλούτῳ 727·

Καρίων Μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαθέζετο (Ἀσκληπιός)
καὶ πρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο,
ἔπειτα καθαρὸν ἡμιτύβιον λαβών,
τὰ βλέφαρα περιέψησεν· ἡ Πανάκεια δὲ
κατεπέτασ' αὐτοῦ τὴν κεφαλὴν φοινικίδι
καὶ πᾶν τὸ πρόσωπον· εἶθ' ὁ θεὸς ἐπόππυσεν.
Ἐξηξάτην οὖν δύο δράκοντ' ἐκ τοῦ νεὼ
ὑπερφυεῖς τὸ μέγεθος.

Γυνὴ Ὦ φίλοι θεοί.

Καρίων Τούτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῇ
τὰ βλέφαρα περιέλειχον, ὡς γ' ἐμοὶ δόκει·
καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνου δέκα,
ὁ Πλοῦτος, ὦ δέσποιν', ἀνεστήκει βλέπων.

Ἀλλὰ μὴν καὶ νῦν ἔτι ἡ Μελαμπόδειος αὕτη θεραπεία πρὸς ἴασιν ὀφθαλμικῶν τε καὶ ἄλλων παθῶν ἐν χρήσει παρὰ τῷ λαῷ ἐστι. Ταύτης δὲ χρῆσιν μετὰ πολλῆς ὠφελείας ἀπὸ πέντε ἤδη ἐτῶν ἐπὶ λευκωμάτων καὶ χρονίων διηθήσεων καὶ ἑλκώσεων τοῦ κερατοειδοῦς καὶ πανώδους κερατοειδίτιδος ποιούμεθα, ὡς παρὰ τοῦ λαοῦ ἐδιδάχθημεν, ὧδε· εἷς τῶν οἰκείων τοῦ πάσχοντος, οὗ τὸ στόμα οὐδεμίαν ἔχει δυσοσμίαν, πρωίας νῆστις πλύνων καλῶς τὸ στόμα μασᾶται πήγανον, εἶτ' ἀποπτύων τοῦτο ἐκ τοῦ στόματος τῇ γλώττῃ τὸ πάσχον τοῦ κερατοειδοῦς ἐπιλείχει, ἀμφοτέροις τοῖς μεγάλοις δακτύλοις τὰ βλέφαρα διανοίγων. Λείχει δὲ δεκάκις μέχρι τετταρακοντάκις ἠρέμα καὶ κατ' ἐπανάληψιν ἅπαξ μόνον τῆς ἡμέρας. Ὄντως δὲ πολλῷ ταχυτέρα γίνεται ἡ ἴασις τούτῳ τῷ τρόπῳ ἢ εἴ τις ἄλλῃ μεθόδῳ χρῆται. Καὶ ἄλλας δὲ δυσεπουλώτους χρονίας πληγὰς εἶδον πρακτικοὺς τούτῳ τῷ τρόπῳ θεραπεύοντας.

Καὶ ὄντως περιλείχοντες οἱ ὄφεις τὰ Μελάμποδος ὦτα ἐξεκάθαιρον, ὡς εἰκός, καὶ τὴν κυψέλην ἐκ τῶν ἀκουστικῶν πόρων ταῖς γλώτταις. Τούτου δὲ γενομένου, οὕτως ὀξεῖαν ἀκοὴν ἔσχεν, ὥστε μυθολογεῖσθαι καὶ πτηνῶν φωνὰς Μελάμποδα συνιέναι καὶ σκωλήκων. Πορφύριος δ' ὁ φιλόσοφος ἐν τῷ *Περὶ ἀποχῆς ἐμψύχων* Γ, 3 οἴεται ἀληθῶς ἰδίας τοῖς ζῴοις καὶ πτηνοῖς ὑπάρχειν φωνάς, αἷς πρὸς ἄλληλα ἕκαστον γένος φθέγγεται. Τινῶν δ' ἡ φθέγξις, οἷον κοράκων Ἄραψι καὶ ἀετῶν Τυρρηνοῖς καὶ κορώνης καὶ χελιδόνος καὶ ἄλλων, οἰωνισταῖς καταληπτὴ εἴη. Καὶ δὴ καὶ Μελάμποδα καὶ Τειρεσίαν τὰς τῶν ζῴων φωνὰς συνιέναι φησί.

Καὶ ἡ τοῦ ἰοῦ τοῦ σιδήρου χρῆσις πρὸς ἴασιν ἀναιμίας καὶ ἀδυναμίας καὶ πρὸς τεκνοποιίαν γνωστὴ ἦν Μελάμποδι, ὃς ἰὸν μαχαίρας Ἰφίκλῳ ἔδωκε πιεῖν ἐπὶ ἡμέρας δέκα· ὁ δ' ἰαθεὶς τῷ ἰῷ παῖδα Ποδάρκη ἔτεκεν, ὡς φησιν Ἀπολλόδωρος Α,9,12 καὶ Σχολιαστὴς Θεοκρίτου Γ,43. Ἀλλὰ μὴν μαντικῇ καὶ θυσίαις καὶ οἰωνοῖς ἡ τοῦ ἰοῦ εὕρεσις ἐγένετο. Φιλεῖ δὲ Μελάμπους μαντικῇ καὶ θείᾳ ἐμπνεύσει τὴν περὶ τὰ ἰατρικὰ αὐτοῦ δεινότητα ἐξαίρειν, ὥς γε οἱ ποιηταὶ ἐποίησαν.

Ἀλλὰ μὴν καὶ τὴν μανίαν τῶν Προίτου καὶ Σθενεβοίας θυγατέρων Λυσίππης καὶ Ἰφινόης καὶ Ἰφιανάσσης Μελάμπους ὁ σοφὸς ἰατρὸς ἐθεράπευσε, κατὰ μὲν Διασκορίδην Δ, ρμθ ἑλλεβόρῳ μέλανι πρῶτος χρησάμενος, ἐξ οὗ καὶ Μελαμπόδιον καὶ Προίτιον ὁ μέλας ἑλλέβορος κέκληται, κατὰ δὲ Γαληνὸν τῇ θεραπείᾳ τῇ δι' ἑλλεβόρου τοῦ λευκοῦ πρὸς κάθαρσιν χρησάμενος. Κατὰ δὲ Στράβωνα Η, γ, 19 λουτροῖς Μελάμπους τὸ τῶν Προιτίδων πάθος ἐν Ἀνίγρῳ ποταμῷ ἰάσατο· Ἀλφειὸν δὲ μετωνομάσθαι ἀπὸ τῆς τῶν ἀλφῶν ἰάσεως· ἀλφοὺς γαρ καὶ λεύκας καὶ λειχῆνας, φησί, τὸ ἐν Ἀνίγρῳ λουτρὸν ἰᾶται (ὅρα καὶ Τζέτζου Σχόλια 1050). Εἰ δὲ τοῦτ' ἀληθὲς εἴη, καὶ τὴν διὰ μεταλλικῶν λουτρῶν ἴασιν δερμικῶν παθῶν πρῶτος δοκεῖ Μελάμπους εὑρεῖν. Ῥητῶς Γαληνὸς λέγει ἐν τῷ περὶ Μελαίνης χολῆς ζ'. 5,132· «Οὐδεὶς γὰρ οὕτως ἀπαίδευτός ἐστι τῶν ἐν Ἕλλησι » τεθραμμένων, ὡς μήτ' ἀνεγνωκέναι μήτ' ἀκηκοέναι τὰς Προίτου » θυγατέρας μανείσας ὑπὸ Μελάμποδος ἰαθῆναι καθαρθείσας οὕτως » (ἤτοι δ' *ἑλλεβόρου τοῦ λευκοῦ*)». Τὴν δὲ μανίαν ταύτην, ὥσπερ καὶ ἐξανθήματα κατὰ τὸ δέρμα καὶ ἐλέφαντα καὶ ἄνθρακα καὶ καρκίνους καὶ ἕλκη καὶ αἱμορροΐδας καὶ κιρσοὺς καὶ μελαγχολίαν καὶ ἄλλα δ'. 5,114, διὰ μέλαιναν χολὴν ἢ ὅλως τὸν μελαγχολικὸν χυμὸν γενέσθαι καὶ πάθος τι *μελαγχολικὸν* ὠνομάσθαι φιλοσόφοις τε καὶ ἰατροῖς καὶ πᾶσιν ἀνθρώποις τοῖς πρὸ Ἐρασιστράτου φησίν. Ἡσίοδος δέ, ὡς Ἡρῳδιανὸς κατ' Εὐστάθιον λέγει 1746, ἐν Καταλόγῳ περὶ τῶν Προιτίδων (Ἠοίαις) τὸ πάθος τοῦτο περιγράφει ὧδε·

καὶ γάρ σφιν κεφαλῇσι κατὰ κνύος αἰνὸν ἔχευεν·
ἄλφος γὰρ χρόα πάντα κατέσχεν, ἐν δέ νυ χαῖται
ἔρρεον ἐκ κεφαλέων, ψίλωτο δὲ καλὰ κάρηνα.

Σουΐδας δὲ περὶ τοῦ πάθους τῶν Προίτου θυγατέρων καὶ τόνδε Ἡσιόδου τὸν στίχον ἡμῖν διέσωσε·

ἕνεκα μαχλοσύνης στυγερῆς τέρεν ὤλεσαν ἄνθος.

Καὶ τίς μὲν τῶν Προιτίδων ἡ νόσος ἐκ τῆς Ἡσιόδου περικοπῆς σαφῶς εἰπεῖν ἀδύνατον. Φαινόμενα δὲ τοῦ πάθους ἦν ἐξάνθημά τι λευκόν, *ἄλφος* ἢ *ἀλφός*, καθ' ἅπαν τὸ δέρμα, ῥοὴ τῶν τριχῶν καὶ κεφαλῆς ἀποψίλωσις, δεινὸς κατὰ τὴν κεφαλὴν κνησμός, *κνύος*, καὶ γυναικομανία ἤ, ὡς νῦν λέγεται, νυμφομανία, *μαχλοσύνη*. Τὸ δὲ τοῦ πάθους αἴτιον θεῷ ἀποδέδοται, Διονύσου μὲν ὀργῇ καθ' Ἡσιο-

δον, Ἥρας δὲ κατ' Ἀκουσίλαον, ὡς Ἀπολλόδωρός φησι Β, 2,2. Εἰ δ' ἡ ἐν γυναιξὶ μανία πρὸς τἀφροδίσια ἡ νῦν *νυμφομανία* καλουμένη τὸ πάθος τῶν Προιτίδων εἴη, τότε ἡ Ἀπολλοδώρῳ εἰρημένη Μελάμποδος θεραπεία λογικωτάτη ἐστί· καὶ γὰρ τοὺς *δυνατωτάτους τῶν νεανιῶν* παραλαβὼν διώκων ἐν ἀλαλαγμοῖς καὶ καθαρμοῖς χρώμενος ἐσωφρόνησεν αὐτάς. Μελάμπους ἄρα τὸ μὲν φαρμάκοις τὸ δὲ καθαρμοῖς ἐθεράπευε. Τὰ δ' ἴατρα τῆς τῶν Προιτίδων ὑπὸ Μελάμποδος θεραπείας θαυμάσιόν τι ἦν χρῆμα· καὶ γὰρ τὰ δύο τρίτα τῆς δυναστείας Προίτου (Ἄργους ἢ Τίρυνθος), τὸ μὲν δι' ἑαυτὸν Μελάμπους, τὸ δὲ διὰ τὸν ἀδελφὸν Βίαντα εἵληφεν, ὥς φησιν Ἡρόδοτος Θ, 34 καὶ Ἀπολλόδωρος Β, 2,2 καὶ Διόδωρος Δ, 68,4. Ἡ δὲ τῆς βασιλείας διανομὴ εἰς τρία, βασιλεύοντος Ἀναξαγόρου, ἐγένετο, φησὶ Παυσανίας Β, 18,4 (ὅρα καὶ Η, 18,7). Ὡς δὲ πᾶσι τοῖς σοφοῖς ἀνδράσι τῆς ἀρχαιότητος, οὕτω καὶ Μελάμποδι ἱερὸν ἐν Αἰγοσθένοις ἵδρυται, ὥς φησι Παυσανίας Α, 44,5· « Ἐν Αἰγοσθένοις δὲ Μελάμ- » ποδος τοῦ Ἀμυθάονός ἐστιν ἱερὸν καὶ ἀνὴρ οὐ μέγας ἐπειργασμέ- » νος ἐν στήλῃ· καὶ θύουσι τῷ Μελάμποδι καὶ ἀνὰ πᾶν ἔτος ἑορτὴν » ἄγουσι. Μαντεύεσθαι δὲ οὔτε δι' ὀνειράτων αὐτὸν οὔτε ἄλλως λέ- » γουσι ».

Ὁ κωμικὸς Δίφιλος, καὶ ὁ Μένανδρος χαριέντως τοὺς γόητας καὶ τοὺς μυστικοὺς αὐτῶν κωμῳδοῦσι καθαρμοὺς ὡς Κλήμης λέγει ἐν Στρωματέων λόγων Ζ, 4,26. Δοκεῖ δέ μοι Μελάμπους σοφὸς μὲν γεγονέναι τὰ ἰατρικά, ἀλλὰ μὴν θυσίαις τε ἀπορρήτοις καὶ τῇ μαντικῇ καὶ τοῖς καθαρμοῖς ἰσχυρῶς ἐπιδρᾶν ἡγεῖσθαι ἐπὶ τῆς τῶν ἀρρώστων φαντασίας καὶ τούτοις θᾶττον καὶ ῥᾷον ἢ μόνοις τοῖς φαρμάκοις ἰᾶσθαι. Ταύτῃ δὲ τῇ διττῇ Μελάμποδος θεραπείᾳ, φαρμάκοις τε καὶ καθαρμοῖς, ἐχρῶντο καὶ ἐν τοῖς Ἀσκληπιείοις καὶ νῦν δ' ἔστι παρὰ τῷ λαῷ ἡ Μελαμπόδειος αὕτη μέθοδος τοῦ ἰᾶσθαι τὰς ἀρρωστίας. Ἐπεὶ δὲ μαντικῇ καὶ θυσίαις ἐχρῆτο Μελάμπους πρὸς ἀγαθὴν ἐπὶ τῆς φαντασίας τοῦ πάσχοντος δρᾶσιν, ὡς ἐπὶ Ἰφίκλου ταύρους δύο ἔθυσε κατ' Ἀπολλόδωρον Α, 9,12, ἀνατεμὼν δὲ καὶ τὰ σπλάγχνα ἐπισκοπήσας τοὺς οἰωνοὺς προσεκαλέσατο, φαίη ἄν τις οὐκ ἀπεικότως καὶ περὶ τὰ ἀνατομικὰ οὐκ ἄπειρον γεγονέναι Μελάμποδα.

ε'. Περὶ Ἀριστaίου.

«Ἀριστέης δ' ὁ Καϋστροβίου, ἀνὴρ Προκοννήσιος ποιέων ἔπεα» καθ' Ἡρόδοτον Δ,13-15, τὰ καλούμενα *Ἀριμάσπεια* ἔπη, ἐν οἷς Ἀριμασποὺς ἄνδρας μονοφθάλμους εἶναί φησιν (ἐκ τῶν Σκυθῶν δ' Ἀριμασπῶν τοὺς μονομμάτους Κύκλωπας ἐποίησεν Ὅμηρος κατὰ Στράβωνα Α, 6,10) δὶς ἀφανισθῆναι καὶ δὶς αὖθις ἀναφανῆναι τὸ μὲν πρῶτον ἐν Προκοννήσῳ μετὰ ἑπτὰ ἔτη, τὸ δὲ δεύτερον ἐν Μεταποντίῳ μετὰ 340 ἔτη μυθολογεῖται. Τέτταρας δὲ γενεαλογοῦσιν Ἀριστaίους, τὸν Καρύστου, τὸν Χείρωνος, τὸν Γῆς καὶ Οὐρανοῦ καὶ Ἀριστaῖον τὸν Κυρήνης καὶ Ἀπόλλωνος, ὡς εἴρηται ἐν τοῖς εἰς Ἀπολλώνιον Σχολείοις Β 498. Ἔγημε δ' Ἀριστaῖος Αὐτονόην τὴν Κάδμου, ἐξ ἧς ἐγένετο Ἀκταίων, ὥς φησιν Ἡσίοδος ἐν Θεογονίᾳ 977 καὶ Ἀπολλόδωρος Γ, 4,4. Ἀριστaῖος δ' ὁ Ἀπόλλωνος καὶ Κυρήνης νηπιόθεν ἐν ἄντρῳ Χείρωνος ἀνετράφη, Μοῦσαι δ' ἰατρικὴν καὶ μαντικὴν αὐτὸν ἐδίδαξαν, «*ἀκεστορίην τε θεοπροπίας τε*», ὡς Ἀπολλώνιός φησι Β 500-527. Διδάσκαλον δ' Ὁμήρου Ἀριστaῖον τὸν Προκοννήσιον γεγονέναι φασίν, ὡς Στράβων λέγει ΙΔ, α,18, καὶ ὅτι ποιητὴς τῶν Ἀριμασπείων καλουμένων ἐπῶν καὶ ἐν τοῖς πρώτοις ἀνὴρ γόης ἐγένετο ΙΓ, α, 16. Καὶ γεωργικώτατος δὲ μυθολογεῖται γεγονέναι Ἀριστaῖος καὶ Σαρδοῦς τῆς νήσου ἄρξαι, ὡς Ἀριστοτέλης φησὶν ἐν τῷ Περὶ θαυμασίων ἀκουσμάτων ρ'. 4,91,35, καὶ τὴν τοῦ ἐλαίου ἐργασίαν καὶ τὴν μελιττουργίαν καὶ τὴν προβάτων καὶ βοῶν ἐπιστήμην παρὰ νυμφῶν μαθεῖν, ὡς λέγει ἐν Ἀποσπάσματι 503. 4,263. Ἀπολλώνιος δὲ περὶ Ἀρισταίου φησὶν εὑρετὴν μέλιτος καὶ ἐλαίου γεγονέναι Δ 1132·

ὃς ῥα μελισσέων
ἔργα πολυκμήτοιό τ' ἀνεύρατο πῖαρ ἐλαίης.

Ὀππιανὸς δὲ καὶ πρῶτον γάλα πήξασθαι προσεπιλέγει ἐν Κυνηγετικῶν Δ 271· Νόννος δὲ καὶ κυνηγετικὴν πρώτιστον διδάξαι φησὶν Ε 229 καὶ ἱππικὴν καὶ ἁρματηλασίαν ΛΖ 176-218 καὶ πάσας τὰς ἄνω μοι εἰρημένας τέχνας τὸν *βιοσσόον* Ἀριστaῖον Ε 215-279.

Ἀλλ' ὅ μέντοι κυρίως ἡμῖν μέλει, Ἀριστaῖος ἀνὴρ ἰατρικός τε μαντικός τε γενόμενος, Παίων ὑπὸ Φερεκίδου ἐπονομαζόμενος, ἤτοι θεῶν ἰατρός, ὅτι περὶ τὰ ἰατρικὰ ἐμπειρότατος γεγονέναι λέγεται, βιοσσόος

δ' ὑπὸ Νόννου, λοιμοῦ εἰς Μινωΐδας τὰς νῦν Κυκλάδας ὀνομαζομένας νήσους ἐπελθόντος, ὅτε Σείριος τὰς νήσους κατέφλεγε καὶ δὴ αὐχμὸς καὶ ἀνομβρία ἦν, τοῦ λοιμοῦ ἀλεξητὴρ ἐγένετο Ἀπόλλωνος χρησμοσύνῃ ἐκ Φθίας εἰς Κέω μεταβάς, τελέσας δ' ἱερὰ τῷ τε Σειρίῳ καὶ τῷ Κρονίδῃ Διί, ὡς φησιν Ἀπολλώνιος Β 516-527 καὶ Σχολιαστὴς αὐτοῦ Β 500. Γ 467 καὶ Διόδωρος Δ, 81-82. Πρῶτος δὲ καὶ τὴν τοῦ Σιλφίου ἐργασίαν καὶ θεραπευτικὴν δύναμιν ἐξεῦρε κατὰ τὰ Σχόλια Ἀριστοφάνους εἰς Ἱππεῖς 891. Θεόφραστος δὲ καὶ τὴν ἡλικίαν Ἀρισταίου ἡμᾶς διδάσκει· εἰ γὰρ ὄντως οὗτος τὴν τοῦ σιλφίου ἐργασίαν εἰς Κυρήνην εἰσήγαγε, περὶ ἑπτὰ καὶ τριακόσια ἔτη πρεσβύτερος Σιμωνίδου, ἄρχοντος Ἀθηνῶν, ἐγένετο· ὧδε γάρ φησι Θεόφραστος ἐν τῷ Περὶ φυτῶν ἱστορίας Ζ, γ, 3. «Φασὶ » δ' οἱ Κυρηναῖοι φανῆναι τὸ σίλφιον ἔτεσι πρότερον ἢ αὐτοὶ τὴν » πόλιν ᾤκησαν ἑπτά. Οἰκοῦσι δὲ μάλιστα περὶ τριακόσια εἰς Σιμω» νίδην ἄρχοντα Ἀθήνησιν». Νόννος δὲ τὴν περὶ τὰ χειρουργικὰ ἐμπειρίαν τοῦ *βιοσσόου* Ἀρισταίου ἐποίησεν, ὃς πῇ μὲν Κενταυρίδα μόνην ἐπὶ πληγῶν ἐπέβαλλε, πῇ δὲ βοτάνας πολυειδεῖς συντρίβων τοῖς ἕλκεσιν ἥ ποδός, ἥ παλάμης, ἥ στήθους, ἥ κοιλίας, ἰᾶτο τοὺς ταύτῃ τετρωμένους, πῇ δὲ τὸ βέλος ἐξῆλκε, πῇ δὲ μαχαίρᾳ ἔτεμνε τὰ τοῦ ἕλκους σεσηπότα, ἄλλων δὲ πληγὰς ἐπῳδῇ ἰᾶτο. Τὸ δὴ θαυμαστόν, τὰ ἕλκη τῇ χειρὶ πιέζων τὴν αἱμορραγίαν ἵστη. Ἀπὸ Ἀρισταίου ἄρα ἀρχαιότατος ἂν εἴη ὁ διὰ πιέσεως τρόπος πρὸς στῆσιν τοῦ αἵματος, ὡς γε Νόννος ἐποίησε. Καὶ ὀφθαλμικὰ ἄρα ἕλκη τῇ ἐπιθέσει ἂν ἰῷτο βοτανῶν πολυειδῶν Ἀρισταῖος, ὡς καὶ τὰς λοιπὰς πληγάς. Ὧδε δὲ Νόννος φησὶν ἐν Διονυσιακῶν ΙΖ 359-378·

Τόφρα δ' Ἀρισταῖος φυσίζοα φάρμακα πάσσων,
Βασσαρίδων ὅλον ἕλκος ἀκέσσατο Φοιβάδι τέχνῃ,
τῆς μὲν ἐπὶ πληγῇσι βαλὼν Κενταυρίδα ποίην,
τῆς δὲ βαρυνομένης φονίην ἐκάθηρεν ἔερσην,
αἷμα περιθλίβων· κινυρὴν δι' ἰήσατο Βάκχην,
συντρίψας βοτάνας πολυειδέας ἕλκεσι κούρων,
ἢ ποδός, ἢ παλάμης, ἢ στήθεος, ἢ κενεῶνος.
Ἄλλου δὲ προμάχου, φονίῳ βληθέντος οἰστῷ,
εἶλκε θοὴν γλωχῖνα, καὶ ἕλκεα χειρὶ πιέζων,
αἱμαλέην κατὰ βαιὸν ἀνηκόντιζεν ἔερσην·
ἄλλῳ χεῖρα πέλασσε, καὶ ἕλκεος ἄκρα χαράξας
ἰῷ φαρμακόεντι σεσηπότα τάμνε μαχαίρῃ,

ἀκροτάτῃ παλάμῃ, πεφιδημένα δάκτυλα βάλλων·
καὶ χλοερῷ συνέμιξε βιαρκέος ἄνθεϊ γαίης
δαιδαλέας ὠδῖνας ἀλεξικάκοιο μελίσσης,
χειρὶ περιρραίνων ὀδυνήφατον ἰκμάδα Βάκχου.
Ἄλλους δ' οὐταμένους ἰήσατο Φοιβάδι φωνῇ,
φρικτὸν ὑποτρύζων πολυώνυμον ὕμνον ἀοιδῆς,
πατρῴης νοέων ζωαρκέος ὄργια τέχνης.
Ὣς ὃ μὲν αἰόλον ἕλκος ἀκέσσατο.

ς'. *Περὶ Χείρωνος* (περὶ τὸ 1263).

Εἰ οἱ παρ' Ὁμήρῳ ἥρωες, μάντεις, ἰατροί, ἱστορικά εἰσι πρόσωπα, εἰκότως ἄν τις εἴποι καὶ Χείρωνα τὸν Κένταυρον διφυᾶ ὑπὸ τῶν μετέπειτα ποιητῶν καὶ μυθογράφων μυθολογούμενον ἱστορικὸν πρόσωπον εἶναι. Ἀλλ' ὅπως ποτ' ἂν ἔχῃ, Χείρων πανεπιστήμων κατὰ τοὺς ἀργοναυτικοὺς χρόνους (1263) ὑπό τε Ὁμήρου καὶ τῶν μετέπειτα παρίσταται. Ἐν κεφαλαίῳ δ' εἰπεῖν, Χείρων ὄντως ἐν Πηλίῳ ἦν, ἔμοιγε δοκεῖ, ὡς δ' ἄν τις εἰκάσειεν ἐκ τῶν τοῖς ποιηταῖς τε καὶ πεζοῖς περὶ αὐτοῦ εἰρημένων, σπουδαίως τοὺς Ἕλληνας ἐπί τε τὰς ἐπιστήμας καὶ τὴν ἠθικὴν ἀγωγὴν καὶ σωμασκίαν προήγαγεν. Ὡς δὲ πᾶς μέγ' ἔξοχος καὶ σοφὸς θεοῦ παῖς καὶ ἀθάνατος καὶ θεὸς ἢ ὡς ἔπος εἰπεῖν ἅγιος ὑφ' Ἑλλήνων ἐνομίζετο· οὕτω καὶ Χείρωνα, ὡς εἰκός, Κρόνου καὶ Φιλύρας γενέσθαι ἢ Ἰξίονος λέγεται, ἀθάνατον δ' εἶναι καὶ θυσίαις τιμᾶσθαι. Σύζυγος δ' αὐτοῦ ἦν Χαρικλὼ ἢ Ναΐς, θυγατέρες δ' Ἐνδεὶς καὶ Ἱππώ, ἣ Αἰόλον τὴν φυσικὴν θεωρίαν τὴν πάτριον ἐπιστήμην ἐδίδαξε καὶ μαντικὴ ἐγένετο. Πανεπιστήμων δ' ἐγένετο Χείρων καὶ ὡς ἔπος εἰπεῖν Ἀριστοτέλης τῶν ἀργοναυτικῶν χρόνων. Αἱ ἀρχαὶ καὶ τὰ κύρια στοιχεῖα τῆς ἀληθοῦς παιδεύσεως καὶ ἠθικῆς πολιτείας ὄντως ὑπὸ Χείρωνος ἐδιδάχθησαν. Διδάσκαλος καὶ παιδαγωγὸς γενόμενος τῶν πλείστων Ὁμηρικῶν ἡρώων καὶ τῶν ἀργοναυτῶν καὶ ἄλλων, οἷον Ἀσκληπιοῦ καὶ τῶν αὐτοῦ υἱῶν Ποδαλειρίου καὶ Μαχάονος, Τελαμῶνός τε καὶ Πηλέως καὶ Θησέως καὶ Ἡρακλέους καὶ Ἰάσονος καὶ Ἀκταίωνος καὶ Ἀχιλλέως καὶ Αἴαντος καὶ Παλαμήδους καὶ Πρωτεσίλεω, οὐ μόνον τὸ σῶμα ἐξεπόνει, ἀλλὰ καὶ τῆς ψυχῆς ἐπεμελεῖτο θεωρίᾳ τε ἅμα καὶ πράξει. Πρότυπον ὄντως καὶ βάσις τῆς παιδαγωγικῆς. Τὸ μὲν σῶμα Χείρων τοὺς αὐτοῦ τροφίμους καὶ μαθητὰς ἤσκει διδάσκων ἱππικήν, πολεμικήν, κυνηγετικήν, δρόμους καὶ ὀρειβασίας καὶ πᾶσαν ὑγιεινὴν σωμασκίαν, εὐναῖς

δ' ἐπὶ στιβάδων καὶ σιτίοις ἐξ ἄγρας καὶ πόμασιν ἐκ ναμάτων πρὸς ὑγίειαν χρῆσθαι· τῆς δὲ ψυχῆς ἐπεμελεῖτο καὶ ἐφρόντιζε μουσικὴν καὶ ποιητικὴν καὶ θρησκευτικὰ καὶ δικαιοσύνην καὶ μαντικὴν καὶ πᾶν ὅ τι τὸ τῆς ψυχῆς ἦθος ἐπεγείρει διδάσκων, οὐ μὴν ἀλλὰ καὶ ἄλλας ἐπιστήμας, οἷον ἰατρικήν, ἀνατομάς, ὀφθαλμικήν, βοτανικήν, ἀστρονομίαν καὶ ἐν γένει φυσικὴν θεωρίαν. Ὁ δ' ἡμῖν κυρίως μέλει, εὑρετὴς τῆς φυσικῆς ἰατρικῆς καὶ δὴ καὶ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης ἐγένετο, ταύτην δ' Ἀσκληπιὸν ἐδίδαξεν, ὃς τὰ μάλα τὴν ἰατρικὴν ἐπιστήμην προήγαγεν.

Περὶ οὕτω δὲ πανσόφου καὶ πανεπιστήμονος ἀνδρὸς τῶν παλαιτάτων ἐκείνων χρόνων εἰκὸς ἦν τούς τε ποιητὰς πολλὰ ποιῆσαι καὶ τοὺς πεζοὺς ἱστορῆσαι καὶ δὴ καὶ μύθους πολλοὺς μυθολογῆσαι. Καὶ Ὅμηρος γὰρ καὶ Ἡσίοδος περὶ Χείρωνος λόγον ποιοῦνται καὶ Πίνδαρος καὶ Ὀρφεὺς καὶ Σοφοκλῆς καὶ Ἀριστοτέλης καὶ Θεόφραστος καὶ Ἀπολλώνιος ὁ Ῥόδιος καὶ Ἀπολλόδωρος καὶ Νίκανδρος, πρὸς δὲ Πλούταρχος καὶ Παυσανίας καὶ Φιλόστρατος καὶ Μάξιμος Τύριος καὶ Κλήμης ὁ Ἀλεξανδρεύς, ἔτι δ' Εὐστάθιος καὶ Τζέτζης καὶ οἱ τῶν ποιητῶν σχολιασταὶ καὶ πολλοὶ ἄλλοι. Ἐκ πάντων δὲ τούτων ἔστι τὰ περὶ Χείρωνος μυθολογούμενα λεπτομερῶς μαθεῖν.

Ἀθάνατον μὲν γὰρ οἱ ποιηταὶ Χείρωνα μυθολογοῦσι, διὰ δὲ τὴν ἀπὸ τοῦ ἕλκους ὀδύνην, ὃ τοὺς Κενταύρους τοξεύων Ἡρακλῆς ἄκων ἐπήγαγεν, εὔξασθαι ἀποθανεῖν, ὃ οὐκ ἀνδρεῖόν φησιν Ἀριστοτέλης ἐν Ἠθικῶν Εὐδημιῶν Γ, α, 27. Καὶ θεοῦ δὲ τιμὰς ἔσχεν· Μάγνητες γὰρ αὐτῷ, ὡς πρώτῳ ἰατρῷ, ἀπαρχὰς ῥιζῶν καὶ βοτανῶν, δι' ὧν ἰᾶτο τοὺς πάσχοντας, ἐκόμιζον, ὡς φησι Πλούταρχος ἐν Συμποσιακοῖς προβλ. Γ, α, 3, καὶ « Μόνιμος δ' ἱστορεῖ ἐν τῇ τῶν θαυμασίων συναγωγῇ ἐν » Πέλλῃ τῆς Θετταλίας Ἀχαιὸν ἄνθρωπον Πηλεῖ καὶ Χείρωνι κατα- » θύεσθαι », ὡς Κλήμης φησὶν ὁ Ἀλεξανδρεὺς ἐν λόγῳ προτρεπτικῷ πρὸς Ἕλληνας Γ, 42. Τὰ δὲ περὶ τοῦ *διφυοῦς* Χείρωνος μυθολογούμενα τοιάνδε τινὰ ἡγοῦμαι τὴν ἀρχὴν ἔχειν· Χείρων τε γὰρ καὶ οἱ Κένταυροι ἐν Πηλίῳ ὤκουν, ῥωμαλέοι δ' ἄρ', ὡς εἰκός, ἦσαν καὶ ἀνδρεῖοι καὶ ὀρεσίβιοι καὶ *ἱπποβάμονες* καὶ περὶ τὴν ἱππικὴν τέχνην τὰ μάλα ἔμπειροι, ὡς καὶ νῦν οἱ ἐν ὀρεινοῖς τόποις βιοῦντες ἱππικοὶ ὡς ἐπὶ τὸ πολὺ πεφυκότες τυγχάνουσι. Διὰ τὸ θαμὰ ἄρα ἱππεύειν, δοκεῖ μοι, διφυὴς ὁ Χείρων τοῖς ποιηταῖς μυθολογεῖται, τὸ μὲν ἵππῳ

τὸ δὲ θεῷ ὅμοιος πεφυκέναι κατ' ἄλλους τε ποιητὰς καὶ Ἀπολλώνιον Β 1232-1241. Διὰ δὲ τὸ ῥωμαλαῖον, δοκῶ μοι, καὶ ἀνδρεῖον καὶ ὀρεσίβιον ἢ ἄγριον καὶ θηριῶδες καὶ διὰ τὸ διφυὲς Ὅμηρός τε τοὺς Κενταύρους *φῆρας ὀρεσκῴους* ἀποκαλεῖ Α 268 ἢ *φῆρας λαχνήεντας* Β 743 καὶ Ἡσίοδος *Κενταύρους ὀρεσκῴους* κατὰ τὰ Σχόλια εἰς Νέμεα Δ 95 καὶ Πίνδαρος τὸν Χείρωνα *φῆρ' ἀγριότερον* λέγει ἐν Πυθίοις Γ 4 καὶ *φῆρα θεῖον* Δ 119, ὡς καὶ Εὐριπίδης διὰ τὸ θηριῶδες Ὀρέστην καὶ Πυλάδην *θῆρας ξιφήρεις* λέγει ἐν Ὀρέστῃ 1272.

Ὁ δ' ἡμῖν ἐνταῦθα κυρίως μέλει, λεκτέον εἴ τι ἰατρικὸν καὶ ὀφθαλμικὸν καὶ ὠτικὸν περὶ Χείρωνος εἴρηται.

Καὶ Ὅμηρος μέν φησι Χείρωνα, *δικαιότατον Κενταύρων*, τὰ πρὸς ἴασιν τραυμάτων ἤπια φάρμακα διδάξαι Ἀσκληπιόν τε Δ 219 καὶ Ἀχιλλέα Λ 832. Ἐπεὶ δ' Ἀσκληπιὸν *ἀμύμονα ἰητῆρα* λέγει Ὅμηρος Δ 194, φανερὸν ὅτι καὶ τὸν διδάξαντα αὐτὸν τήν τε ἰατρικὴν καὶ χειρουργικὴν Χείρωνα ὑπεράγαν ἐξυμνεῖ διὰ τὴν περὶ τὴν ἰατρικὴν ἐμπειρίαν. Φίλα γὰρ φρονῶν τῷ Ἀσκληπιῷ, φησίν, ἐδίδαξεν αὐτὸν τὰ πρὸς ἴασιν τῶν τραυμάτων ἤπια φάρμακα, ἃ καὶ Ποδαλείριος καὶ Μαχάων παρὰ τοῦ αὐτῶν πατρὸς μεμαθήκασι Δ 219. Ὁ τρόπος ἄρα τῆς τῶν τραυμάτων θεραπείας, ᾧ Μαχάων τε ἐχρῆτο Δ 218 ὑπὸ τοῦ αὐτοῦ πατρὸς Ἀσκληπιοῦ διδαχθεὶς καὶ Πάτροκλος Λ 832 ὑπ' Ἀχιλλέως διδαχθείς, Χείρωνός ἐστιν, ὡς εἰκός, τοῦ διδάξαντος Ἀσκληπιόν τε καὶ Ἀχιλλέα τὴν ἰατρικήν. Τρεῖς δὲ παρ' Ὁμήρῳ ἰδέαι φαρμάκων *ἐπίπαστα* ἐπὶ ἑλκῶν, *χριστὰ* πρὸς χρῖσιν ἰῶν καὶ *πιστὰ* κατ' Αἰσχύλον τὰ πρὸς πόσιν. Καὶ βελουλκίας δὲ τρεῖς οἶδεν Ὅμηρος, *ἑκτομήν*, ὡς ἐπὶ Εὐρυπύλου, διωσμόν, ὡς ἐπὶ Διομήδους τραύματος, καὶ *ἐξολκήν*, ὡς ἐπὶ Μενελάου. Τὸ δὲ τῶν τραυμάτων αἷμα εἴτ' ἐπεμάττετο, εἴτ' ἐξεμυζᾶτο, εἴτ' ἀπεπλύνετο πρὸ τῆς τῶν φαρμάκων ἐπιπάσεως καὶ τῆς ἐπιδέσεως. Ἀλλ' ὃ δὴ τὰ μάλα περίεργόν ἐστιν, ὅτι τῇ δι' ἐπῳδῶν ἰατρικῇ, ἣ τὰ μάλα ἀρχαία τυγχάνει οὖσα, καὶ τῆς Ὀδυσσέως πληγῆς τὸ αἷμα ἐπέσχον οἱ Αὐτολύκου παῖδες· φανερὸν δέ, ὅτι τὸ αἷμα οὐ τῇ ἐπῳδῇ ἀλλὰ τῇ ἐπισταμένως γενομένῃ ἐπιδέσει καὶ δὴ πιέσει ἐπεσχέθη, ἐξ ὧν Ὅμηρός φησι τ 456·

> ὠτειλὴν δ' Ὀδυσῆος ἀμύμονος, ἀντιθέοιο,
> ὄῃσαν ἐπισταμένως· ἐπαοιδῇ δ' αἷμα κελαινὸν|ἔσχεθον.

Ὡς δέ φησι Πίνδαρος (520), Χείρων Πηλίου ἦρχεν καὶ ἐν ἄντρῳ κατῴκει ἀνέτρεφε καὶ ἐδίδασκε τοὺς ἑαυτοῦ μαθητάς, Πυθίοις Γ 4.63, Ἀσκληπιὸν δ' ἔθρεψε καὶ ἰατρικὴν ἐδίδαξε, Πυθίοις Γ 5.45, καθ' ἃ καὶ Ὅμηρός φησι. Καὶ Ἰάσων δὲ παρὰ Χείρωνι ἀνετράφη καὶ ἐπαιδεύθη ἐπὶ εἴκοσιν ἔτη· πρὸς ἀνατροφὴν δ' αὐτοῦ συνετέλεσαν ἥ τε Χείρωνος μήτηρ Φιλύρα καὶ ἡ αὐτοῦ σύζυγος Χαρικλὼ ἢ καθ' Ἡσίοδον Ναὶς καὶ αἱ Κενταύρου ἀγναὶ Κόραι, ἐπεὶ τὸν Ἰάσονα βρέφος ἐν σπαργάνοις πορφυροῖς ἔδωκαν Χείρωνι θρέψαι, Πυθίοις Δ 102. Αὐτὸς δὲ Χείρων Ἰάσονα αὐτὸν ἐπωνόμαζε παρὰ τὴν ἴασιν, διότι ἰατρὸς ἦν, ὥς φησι Πίνδαρος ἐν Πυθίοις Δ 119 καὶ Σχόλια εἰς Πύθια Δ 211. Καὶ Ἡσίοδος δ' Ἰάσονα Χείρωνι τραφῆναί φησι κατὰ τὰ εἰς Νέμεα Σχόλια Γ 92·

Αἴσων, ὃς τέκεθ' υἱὸν Ἰήσονα, ποιμένα λαῶν,
ὃν Χείρων ἔθρεψ' ἐνὶ Πηλίῳ ὑλήεντι.

Ἀλλ' ὅ δὴ λίαν Πίνδαρος ἐξαίρει τοῦ πανεπιστήμονος Χείρωνός ἐστιν ἡ περὶ τὴν ἰατρικὴν διδασκαλία, λέγων καὶ τὸν τρόπον αὐτοῦ τοῦ ἰᾶσθαι τὰς νόσους, ὃν Ἀσκληπιὸν ἐδίδαξεν. Ἀπόλλων ἁρπάσας ἐκ τῆς πυρᾶς, ἐν ᾗ μοιχείας ἕνεκεν Κορωνὶς ἡ Φλεγύου ὑπ' Ἀρτέμιδος ἐκαίετο Ἀπόλλωνος βουλῇ, τὸν ἑαυτοῦ παῖδα Ἀσκληπιόν, ἔφερε τῷ θετταλῷ Κενταύρῳ, ἵνα διδάξῃ αὐτὸν Πυθίοις Γ 46·

πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.

Τὰ μάλα δ' ἐξαίρει Πίνδαρος τὴν περὶ τὰ ἰατρικὰ δεινότητα Χείρωνος ὑπὲρ ἰάσεως τῆς νόσου τοῦ πυθιονίκου Ἱέρωνος Συρακοσίου εὐχόμενος Πυθίοις Γ 63·

Εἰ δὲ σώφρων ἄντρον ἔναι' ἔτι Χείρων, καί τί οἱ
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
ἀμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον
καὶ νῦν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.

Ἐδίδασκε δὲ Χείρων κατὰ Πίνδαρον οὐ μόνον τὰ τραύματα τὰ δι' ὀξέως ὀργάνου ἢ τὰ ἐκ θλάσεως καὶ τὰ αὐτόφυτα ἕλκη ἰᾶσθαι, ἤτοι τὴν *χειρουργικήν*, ἀλλὰ καὶ τὰ πυρετὸν καὶ ῥῖγος συνεπάγοντα πάθη ἢ μᾶλλον τὰς ἐξ ἡλιάσεως καὶ ψύξεως νόσους, ἤτοι τὴν *παθολογικήν*. Ἡ δ' ἴασις τραυμάτων τε καὶ νόσων κατὰ Χείρωνος διδασκαλίαν ἐγίγνετο ἢ μαλακαῖς καὶ πραϋντικαῖς ἐπῳδαῖς ἢ τῇ

πόσει προσηνῶν φαρμάκων ἢ τοῖς μέλεσι ἠπίων περιαπτομένων πάντοθεν φαρμάκων ἢ χειρουργικαῖς τομαῖς. Οὕτως Ἀσκληπιὸς ὑπὸ Χείρωνος ἰατρικὴν διδαχθεὶς ἐθεράπευε τοὺς πάσχοντας, καθ' ἃ Πίνδαρος σαφῶς λέγει ἐν Πυθιονικῶν Γ 45·

Καί ῥά μιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.
τοὺς μὲν ὧν, ὅσσοι μόλον αὐτοφύτων
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
ἢ χερμάδι τηλεβόλῳ,
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι, λύσαις ἄλλον
ἀλλοίων ἀχέων
ἔξαγεν· τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.

Καὶ κατὰ μὲν τὰ Σχόλια εἰς Πύθια Γ 83 «*θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι*» οἱ πυρέττοντες καὶ ῥιγῶντες ἂν εἶεν· ἀλλ' ὡς γέ μοι δοκεῖ, πιθανότερον ἂν εἴη τὰς ἐξ ἡλιάσεως καὶ ψύξεως νόσους οὕτως εἰπεῖν τὸν ποιητήν.

Περὶ δὲ τοῦ φαρμάκου, τῆς ῥίζης, ᾗ Χείρων ἐχρῆτο καὶ ἡ Χειρώνειον καὶ κενταύρειον καὶ πανάκειον μετέπειτα ἐκλήθη κατὰ τὰ Σχόλια εἰς Νικάνδρου Θηριακὰ 500, Θεόφραστος λέγει ἐν τῷ Περὶ Φυτῶν ἱστορίας Ι, ια, 1· ἔχει δὲ «τὸ μὲν Χειρώνειον φύλλον μὲν ὅμοιον λα» πάθῳ μεῖζον δὲ καὶ δασύτερον, ἄνθος δὲ χρυσοειδές, ῥίζαν μακράν. » Φιλεῖ δὲ μάλιστα τὰ χώρια τὰ ταπεινά». Νίκανδρος δὲ τὸ Χειρώνειον, ὅ ὑπὸ Χείρωνος εὑρεθῆναί φησιν, ὧδε περιγράφει ἐν Θηριακοῖς 500.

Πρώτην μὲν Χείρωνος ἐπαλθέα ῥίζαν ἑλέσθαι,
Κενταύρου Κρονίδαο φερώνυμον, ἣν ποτε Χείρων
Πηλίου ἐν νιφόεντι κιχὼν ἐφράσσατο δειρῇ·
τῆς μὲν ἀμαρακόεσσα χυτὴ περιδέδρομε χαίτη,
ἄνθεα δὲ χρύσεια φαείνεται· ἡ δ' ὑπὲρ αἴης
ῥίζα καὶ οὐ βυθόωσα Πελεθρόνιον νάπος ἴσχει.
Ἣν σὺ καὶ αὐαλέην, ὁτὲ δ' ἔγχλοον ὅλμῳ ἀράξας,
φυρσάμενος κοτύλῃ πιέειν μενοεικέος οἴνης·
παντὶ γὰρ ἄρκιός ἐστι· τό μιν πανάκειον ἔπουσιν.

Καὶ πάντες δ' οἱ ποιηταί τε καὶ πεζοί, οἱ περὶ Χείρωνος λόγον ποιοῦνται, τὸ πάνσοφον καὶ τὴν περὶ τὰ ἰατρικὰ ἐμπειρίαν αὐτοῦ τὰ μάλα ἐξαίρουσι εὑρετὴν καὶ διδάσκαλον πασῶν μὲν τῶν ἐπιστημῶν κυρίως δὲ τῆς ἰατρικῆς ἀποφαίνοντες. Ὀρφεὺς γὰρ Χείρωνα

περὶ ἄλλα τε πολλὰ σοφὸν γεγονέναι καὶ *νόσους ἰᾶσθαί* φησιν ἐν Ἀργοναυτικοῖς 380-456. Πλούταρχος δ' ἐν τῷ Περὶ μουσικῆς μ' *ἰατρικῆς διδάσκαλον* γεγονέναι, *πρῶτον* δ' *ἰατρεῦσαί* φησιν ἐν Συμποσιακῶν προβλημάτων Γ,α, 3· « Τύριοι μὲν Ἀγηνορίδῃ, Μάγνητες » δὲ Χείρωνι, τοῖς πρώτοις ἰατρεῦσαι λεγομένοις, ἀπαρχὰς κομίζουσι· » ῥίζαι γάρ εἰσι καὶ βοτάναι, δι' ὧν ἰῶνται τοὺς κάμνοντας ». Ἀπολλόδωρος δὲ διδάσκαλον γεγονέναι Χείρωνα Ἀσκληπιοῦ ἐν *ἰατρικῇ* τε καὶ κινηγετικῇ Γ, 10,3. Φιλόστρατος δέ φησιν ἐν Ἡρωϊκῷ ἰ-ιά τά τε ἄλλα καὶ τὴν *ἰατρικὴν* ἔμπειρον καὶ ὑπέρσοφον αὐτὸν γεγονέναι, *εὑρετὴν δ' ἰατρικῆς* καὶ διδάσκαλον. Μάξιμος δὲ Τύριος ΛΔ, α πειθεσθαί φησι τοῖς ποιηταῖς, ὅτι ἐν Πηλίῳ *ἀνὴρ ἰατρικὸς* ὁ Χείρων ὄντως ἦν τό τε σῶμα καὶ τὴν ψυχὴν ἅμα θεραπεύων· τό τε γὰρ σῶμα τῶν φοιτώντων ὑγιεινῶς ἐκπονεῖν θήραις καὶ ὀρειβασίαις καὶ δρόμοις καὶ εὐναῖς ἐπὶ στιβάδων καὶ σιτίοις ἐξ ἄγρας καὶ πόμασιν ἐκ ναμάτων, τῆς τε ψυχῆς ἐπιμέλεσθαι, εὐκινησίᾳ λογισμῶν καὶ τῷ ἀνδρώδει τῶν παθῶν ὑπερέχειν· καὶ διὰ τοῦτο *ἰατρικώτατον* ἅμα καὶ δικαιότατον Χείρωνα ὑμνῆσαι τοὺς ποιητάς. Εὐστάθιος δέ φησιν *εὑρετὴν ἰατρικῆς* αὐτὸν γεγονέναι, ***Χειρώνεια δ' ἕλκη*** τὰ δυσαλθῆ λέγεσθαι, ὅτι Χείρων τὸν τῆς ἰάσεως τρόπον εὗρε καὶ ἐδίδαξε Δ 202. 463,13.

Καὶ περὶ τὴν *ἀνατομικὴν* δὲ θεωρίαν οὐκ ἄπειρος δοκεῖ Χείρων γεγονέναι. Τοῦτο μὲν γὰρ θυσίας ἐδίδαξε καὶ μαντικὸς ἦν καὶ δὴ καὶ *σπλαγχνοτόμος* καὶ *σπλαγχνοσκόπος*· ὁ γὰρ τὴν Τιτανομαχίαν γράψας Χείρωνα πρῶτον ἄλλα τε καὶ *θυσίας* διδάξαι τοὺς θνητούς φησιν,

> εἵς τε δικαιοσύνην θνητῶν γένος ἦγαγε δείξας
> ὅρκους καὶ *θυσίας* ἱλαρὰς καὶ σχήματ' Ὀλύμπου,

περὶ δὲ Ἱππουῦς τῆς Χείρωνος θυγατρὸς Εὐριπίδης τάδε λέγει κατὰ Κλήμεντα, Στρωματέων λόγων Α, 15, 73·

> ἣ πρῶτα μὲν τὰ θεῖα *προὐμαντεύσατο*
> χρησμοῖσι σαφέσιν, ἀστέρων ἐπ' ἀντολαῖς.

Τοῦτο δὲ νηπιόθεν σπλάγχνοις λεόντων καὶ συῶν ἀγρίων καὶ ἄρκτων μυελοῖς τὸν Ἀχιλλέα ἔτρεφεν, ὥς φησιν Ἀπολλόδωρος Γ, 13, 6 καὶ Φιλόστρατος ἐν Ἡρωϊκῷ κ'. Δῆλον δ' ἐκ τούτων ὅτι καὶ ζῷα Χείρων ἀνέτεμε, τὸ μὲν θυσίας καὶ μαντικῆς χάριν, τὸ δὲ ἵνα τὰ ῥωστικὰ καὶ εὔπεπτα τῶν ζῴων μόρια ἀνεύρῃ. Καὶ *ἀνατομικὸς* ἄρα

Χείρων ἐγένετο, ὡς καὶ *βοτανικὸς* τὰ βότανα πρὸς εὕρεσιν ἠπίων φαρμάκων ἀνερευνῶν.

Καὶ *ὀφθαλμικὸς* δὲ χείρων ἐγένετο τὸν τυφλὸν Φοίνικα θεραπεύσας, ὡς Ἀπολλόδωρος φησὶ Γ, 13, 8· «συνείπετο δὲ αὐτῷ Φοῖνιξ ὁ » Ἀμύντορος (τῷ Ἀχιλλεῖ εἰς Τροίαν). Οὗτος ὑπὸ τοῦ πατρὸς ἐτυ» φλώθη, καταψευσαμένης φθορὰν Φθίας τῆς τοῦ πατρὸς παλλακί» δος. Πηλεὺς δὲ αὐτὸν πρὸς Χείρωνα κομίσας, ὑπ' ἐκείνου θεραπευ» θέντα τὰς ὄψεις, βασιλέα κατέστησε Δολόπων». Τζέτζης δὲ (1150) ἐν Σχολίοις εἰς Λυκόφρονα 421 μῦθον εἶναί φησι τὴν Φοίνικος τοῦ Ἀμύντορος τύφλωσιν, ὃς ἱκεσίαις τῆς αὐτοῦ μητρὸς Κλεοβούλης πειθόμενος τῇ τοῦ πατρὸς παλλακίδι Φθίᾳ ἢ Κλυτίᾳ προὐμίγη, ὑπ' Ἀμύντορος δὲ τοῦ ἑαυτοῦ πατρός, ὡς οἱ πολλοί φασι, τούτου ἕνεκα πραγματικῶς ἐτυφλώθη, ὑπὸ δὲ Χείρωνος ἰάθη· συμβολικῶς δέ φησιν τὴν τύφλωσιν νοεῖν χρὴ διὰ τὸ ἄπαιδα γενέσθαι τὸν Φοίνικα, τοῦ αὐτοῦ πατρὸς καταρασαμένου. Φησὶ δὲ καὶ ὀφθαλμοὺς τοὺς παῖδας λέγεσθαι. Καὶ ὄντως Εὐριπίδης φησὶν ἐν Ἀνδρομάχῃ 406·

εἷς παῖς ὅδ' ἦν μοι λοιπὸς ὀφθαλμὸς βίου.

Καὶ παρ' Ὁμήρῳ δὲ «*γλυκερὸν φάος*» ἡ Πηνελόπη τὸν υἱὸν αὐτῆς Τηλέμαχον προσφωνεῖ. Ὄντως δ' Ὅμηρος, ἔνθα αὐτὸς Φοῖνιξ τὰ τῆς φθορᾶς τῆς παλλακίδος Ἀχιλλεῖ διηγεῖται, οὐδὲν περὶ τυφλώσεως λέγει, ἀλλ' ἀτεκνίας κατάραν Ι 455·

μήποτε γούνασιν οἷσιν ἐφέσσεσθαι φίλον υἱόν
ἐξ ἐμέθεν γεγαῶτα θεοὶ δ' ἐτέλειον ἐπαράς.

Ἀλλὰ μὴν εἰ καὶ ὀφθαλμὸς καὶ φάος καὶ νῦν ὀμμάτια πᾶν τὸ τιμαλφὲς καὶ δὴ καὶ οἱ παῖδες λέγονται, εἰ καὶ ἀτεκνίαν κατηρᾶτο Ἀμύντωρ, οὐκ ὀρθή, ὡς ἐγῷμαι, ἡ Τζέτζου δόξα ἂν εἴη, ὅτι ἡ Φοίνικος τύφλωσις συμβολικῶς νοητέα διὰ τὸ ἄπαιδα γενέσθαι. Δοκεῖ δέ μοι «*πολλὰ κατηρᾶτο*» εἰπὼν Φοίνιξ Ι 454, οὐ μόνον ἀτεκνίαν, ἀλλὰ καὶ τύφλωσιν καὶ πολλὰς ἄλλας κατάρας νοεῖν· μίαν δὲ μόνην τὴν κυρίαν ἐπαρὰν διηγήσασθαι, ἢ καιρίως πάντα Ἕλληνα ἐτίτρωσκε, τὸ ἄτεκνον γενέσθαι. Πιθανὸν δ' ἂν εἴη Ἀμύντορα σὺν ἄλλαις πολλαῖς ἐπαραῖς καὶ τυφλὸν γενέσθαι Φοίνικα καταράσασθαι.

ζ'. Περὶ Ἀσκληπιοῦ.

Πάντες οἱ κατὰ τοὺς παλαιτάτους χρόνους περὶ τὰ ἰατρικὰ ἔμπει-

ροι γεγονότες οὐ τὴν ἰατρικὴν αὐτὴν καθ' αὑτὴν ἤσκουν, ἀλλὰ περί τε μαντικὴν καὶ ποίησιν καὶ μουσικὴν καὶ ἱππικὴν καὶ κυνηγετικὴν καὶ γεωργικήν, ὡς ἔφθημεν εἰπόντες, καὶ περὶ πάσας ἐν γένει τὰς στοιχειώδεις τότε ἐπιστήμας τε καὶ τέχνας τὰς διατριβὰς ἐποιοῦντο. Πρῶτος δ' Ἀσκληπιὸς δοκεῖ ἰατρικὴν ὑπὸ Χείρωνος διδαχθεὶς ἐπισταμένως τὰ τῆς ἰατρικῆς προαγαγεῖν καὶ πρῶτος ἴδιος τῆς ἐπιστήμης ταύτης διδάσκαλος ἐγένετο τοὺς αὐτοῦ υἱοὺς Ποδαλείριον καὶ Μαχάονα διδάξας, ὥστ' εἰκότως εἴρηται ἀπ' Ἀσκληπιοῦ τὴν κυρίως ἰατρικὴν ἄρχεσθαι καὶ πρῶτον αὐτὸν ἰατρικὴν ὡς ἔργον ἀσκῆσαι καί, ὡς Ὅμηρός φησι Δ 194, « *ἀμύμονα ἰητῆρα* » γεγονέναι· εἰκότως δὲ καὶ θεὸς τῆς ἰατρικῆς παρὰ τοῖς μετέπειτα ἐνομίζετο.

Παρ' Ὁμήρῳ Ἀσκληπιὸς οὔπω θεὸς νομίζεται, ἀλλ' « *ἀμύμων ἰητὴρ* » Λ 518. Πείθομαι δὲ μᾶλλον Ὁμήρῳ *ἀμύμονα ἰητῆρα* Ἀσκληπιὸν λέγοντι ἢ τῷ Σιδονίῳ ἀνδρί, ὃς Παυσανίᾳ ἔφασκε Φοίνικας Ἀσκληπιὸν μὲν ἀέρα εἶναι νομίζειν, τὸν δ' αὐτοῦ πατέρα Ἀπόλλωνα ἥλιον, ἣν δόξαν καὶ Παυσανίας δοκεῖ ἀποδέχεσθαι Ζ, 23,8. Χείρωνι δὲ τὴν ἰατρικὴν Ἀσκληπιὸν δεδιδάχθαι φησὶν Ὅμηρος Δ 219· δύο δ' αὐτῷ παῖδε, Ποδαλείριον καὶ Μαχάονα, γενέσθαι, οἳ ἰατροί τε ἀγαθοὶ ἦσαν καὶ πολεμισταὶ καὶ τριάκοντα νηῶν ἡγοῦντο Τρίκκης τε καὶ Ἰθώμης, ὧν Ἀσκληπιὸς ἡγεμόνευε, καὶ Οἰχαλίας Β 731· Ἀσκληπιὸς *ἰατρὸς νόσων* μόνον λέγεται, υἱὸς δ' Ἀπόλλωνος καὶ Κορωνίδος τῆς Φλεγύου ἐν Δωτίῳ πεδίῳ γεννηθείς, ἀλλ' οὐ θεὸς καὶ ἐν Ὁμηρικῷ ὕμνῳ *Εἰς Ἀσκληπιὸν* ΙΕ·

> Ἰητῆρα νόσων Ἀσκληπιὸν ἄρχομ' ἀείδειν,
> υἱὸν Ἀπόλλωνος, τὸν ἐγείνατο δῖα Κορωνὶς
> Δωτίῳ ἐν πεδίῳ, κούρη Φλεγύου βασιλῆος,
> χάρμα μεγ' ἀνθρώποισι κακῶν θελκτῆρ' ὀδυνάων.

Κεῖται δὲ τὸ Δώτιον τοῦτο πεδίον κατὰ τοὺς πρόποδας τῆς θετταλικῆς Ὄσσης, ὅ ἐστιν τὸ νῦν ὄρος Κίσσαβος. Θετταλία ἄρ' ἐστὶν ἡ μήτηρ τῆς ἑλληνικῆς ἰατρικῆς· καὶ γὰρ ὅ τ' Ἀσκληπιὸς Τρίκκης τε καὶ Ἰθώμης ἡγεμόνευε, Χείρων τ' ἐν Πηλίῳ ἔζη, ἀλλὰ μὴν καὶ Παιήων ὡς θεῶν ἰατρὸς ἐν Ὀλύμπῳ Θετταλίας, ὡς εἰκός, ᾤκει· θετταλοὶ δὲ καὶ οἱ ἀγαθοὶ ἰατροί, Ποδαλείριος καὶ Μαχάων, οἱ πρῶτοι Ἀσκληπιάδαι.

Παυσανίᾳ δὲ δοκεῖ Ἀσκληπιὸν ἐξ ἀρχῆς θεὸν νομισθῆναι καὶ

χρόνῳ θεοποιηθῆναι B, 26,10. Τούτου δ' ἔστιν αὐτῷ, φησί, τεκμήρια καὶ ἄλλα καὶ Ὁμήρου τὰ περὶ Μαχάονος ὑπ' Ἀγαμέμνονος εἰρημένα Δ 193·

Ταλθύβι, ὅττι τάχιστα Μαχάονα δεῦρο κάλεσσον
φῶτ' Ἀσκληπιοῦ υἱόν, ἀμύμονος ἰητῆρος.

Οἴεται δὲ Παυσανίας ἐν τῷ «*φῶτ' Ἀσκληπιοῦ υἱὸν*» *φῶτα* ὠνομάσθαι Μαχάονα, ἄνθρωπον ὄντα, ἐν ἀντιθέσει τοῦ πατρὸς Ἀσκληπιοῦ, θεοῦ ὄντος, «*ὡς ἂν εἰ λέγοι θεοῦ παῖδα ἄνθρωπον*». Ὄντως δὲ καὶ ἐν ἑτέρῳ τόπῳ *ἰσόθεος φὼς* λέγεται Μαχάων Δ 212, ὡς εἴ τις εἴποι ἴσον θεῷ ἄνθρωπον, ἔνθα ὄντως *φὼς* θεῷ ἀντιτίθεται. Ἀλλ' ἔμοιγε δοκεῖ, λίαν τολμηρὰ ἂν εἴη ἡ ἐκ μόνου τοῦ ἄνω Ὁμηρικοῦ στίχου δόξα τοῦ Παυσανίου, εἰ μὴ τὰ ἄλλα αὐτοῦ τεκμήρια, ἃ ἡμῖν οὐ λέγει, ἰσχυρὰ εἴη καὶ φανερά· ἐν γὰρ τῷ αὐτῷ τόπῳ *ἀμύμονα ἰητῆρα* καλεῖ Ἀγαμέμνων τὸν Ἀσκληπιόν. *Ἀμύμονας* δ' Ὅμηρος οὐδαμοῦ τοὺς θεοὺς λέγει, ἀλλ' ἀνθρώπους θνητοὺς ὑπερέχοντας γένει ἢ ἔργῳ ἢ τέχνῃ, οἷον Πηλέα Υ 206 καὶ Βελλεροφόντην Z 190 καὶ Αἴγισθον α 29 καὶ Ὀδυσσέα υ 209 καὶ Ἀσκληπιὸν Δ 194 καὶ Λ 517 καὶ πάντα καθόλου ἰατρὸν Λ 835 καὶ πυγμάχους καὶ παλαιστὰς θ 246 καὶ ἡνιόχους Λ 161 *ἀμύμονας* λέγει· ἀλλὰ καὶ πράγματα *ἀμύμονά* φησιν Ὅμηρος, οἷον ἔργα Τ 245 καὶ πομπὴν Z 171 καὶ μῆτιν K 19 καὶ ὀρχηθμὸν N 637 καὶ οἶκον α 232 καὶ θυμὸν κ 50 καὶ ἄλλα. Ὥσθ' ὃ ἔφθημεν εἰπόντες, εἰ Ἀσκληπιὸς καὶ πρὸ Ὁμήρου καὶ ἐξ ἀρχῆς θεὸς νομίζοιτο, περὶ τούτου σαφῶς εἰπεῖν ἀδύνατον. Ὅμηρον δὲ τοὐναντίον δοκεῖ μοι οὐ θεὸν ἀλλ' *ἀμύμονα ἰητῆρα*, θνητόν, τὸν Ἀσκληπιὸν ποιῆσαι. Κατὰ δὲ τὸν χρονογράφον Ἀπολλόδωρον ἡ τοῦ Ἀσκληπιοῦ ἀποθέωσις ἔτη ἐγένετο πεντήκοντα καὶ τρία πρὸ τῆς Ἰλίου ἁλώσεως, ὡς φησι Κλήμης ὁ Ἀλεξανδρεὺς ἐν Στρωματέων λόγων A, 21,105· ἔζη δὲ ἐπὶ τῶν Ἀργοναυτικῶν καὶ συνέπλευσε τοῖς Ἀργοναύταις κατ' Ἀπολλώνιον. Ἀσκληπιὸς θεοῦ δίκην ὑμνεῖται καὶ ἐν τοῖς *Ὀρφέως Ὕμνοις* 67·

Ἀσκληπιοῦ θυμίαμα, μάννραν

Ἰητὴρ πάντων Ἀσκληπιέ, δέσποτα Παιάν,
θέλγων ἀνθρώπων πολυαλγέα πήματα νούσων,
ἠπιόδωρε, κραταιέ, μόλοις κατάγων ὑγίειαν,
καὶ παύων νούσους χαλεπάς, θανάτοιό τε κῆρας·

αὐξιθαλὴς κόρε, ἀπαλεξίκακ', ὀλβιόμοιρε,
Φοίβου Ἀπόλλωνος κρατερὸν θάλος ἀγλαότιμον,
ἐχθρὲ νόσων, Ὑγίειαν ἔχων σύλλεκτρον ἀμεμφῆ,
ἔλθέ, μάκαρ, σωτὴρ βιοτῆς τέλος ἐσθλὸν ὀπάζων.

Καὶ Σοφοκλῆς δ' ἐν Φιλοκτήτῃ Ἀσκληπιὸν καὶ Ἡρακλέα πρὸ τῆς ἁλώσεως τῆς Τροίας ὡς θεοὺς παρίστησιν· Ἡρακλέα γὰρ ποιεῖ οὐρανίας ἕδρας προλιπόντα Φιλοκτήτῃ εἰπεῖν 1437·

Ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.

Θεὸς γὰρ Ἡρακλῆς ὢν οἷος τ' εἴη τὸν θεὸν Ἀσκληπιὸν οὐρανόθεν ἐκ Διὸς κατοικίας πέμψαι. Τοὐναντίον δὲ Νεοπτόλεμος θνητὸς ὢν τῷ Φιλοκτήτῃ λέγει, ὅτι μόνοι οἱ ἐν Τροίᾳ Ἀσκληπιάδαι τὴν βαρεῖαν αὐτοῦ νόσον ἰάσασθαι δύνανται 1333.

Ἀσκληπιοῦ δέ, χρόνου προϊόντος, διὰ τῶν ἐν τοῖς Ἀσκληπιείοις ἱερέων καὶ ἰδίᾳ τῶν ἐν Ἐπιδαύρῳ φήμην ἀγαθοῦ καὶ θαυματοποιοῦ ἰατροῦ ἀνὰ πᾶσαν τὴν Ἑλλάδα λαβόντος, εἰκὸς ἦν καὶ τοὺς ποιητάς, ὡς ἑκάστῳ τε καὶ τούτοις ὢν χάριν ἐποίουν συνέφερε, τὰ Ἀσκληπιοῦ ποιεῖν καὶ τοὺς πεζογράφους ἱστορεῖν. Καὶ Ἡσίοδος μὲν ἤ τις τῶν ἐμπεποιηκότων εἰς τὰ Ἡσιόδου ἔπη φησὶ Κορωνίδος τῆς Φλεγύου (ἡ Αἴγλη μὲν τὸ πρῶτον ἐλέγετο, διὰ δὲ κάλλος Κορωνὶς ἐπεκλήθη) καὶ Ἀπόλλωνος γενέσθαι Ἀσκληπιὸν κατὰ Σχόλια Πυθίων Γ 14.48, καθ' ἅπερ καὶ Πίνδαρος Πυθίοις Γ 5-60 καὶ ἄλλοι. Ἐγεννήθη δὲ κατὰ μὲν Πίνδαρον ἐν Λακερείᾳ, πόλει θετταλικῇ, κατ' ἄλλους δ' ἐν Ἐπιδαύρῳ ἐν Τιτθίῳ ἢ Μυργίῳ ὄρει, ἔνθα ὑπ' αἰγὸς ἐτρέφετο καὶ ὑπὸ κυνὸς ἐφυλάττετο, ὡς φησι Παυσανίας Β, 26, 3-7· κατ' ἄλλους δ' ἐν Τρίκκῃ γενέσθαι λέγεται. Ἄλλοι δ', ἐν οἷς καὶ Ἡσίοδος λέγεται, Ἀρσινόης τῆς Λευκίππου καὶ Ἀπόλλωνος καὶ δὴ Μεσσηνίων πολίτην ποιοῦσιν Ἀσκληπιόν, ὡς φησι Παυσανίας Β, 26,7. Δ, 31,12. Τὰ δὲ τοῦ μύθου τῆς δολίας μίξεως τῆς Κορωνίδος μετ' Ἴσχυος Εἰλατίδου, ξένου ἐξ Ἀρκαδίας ἐλθόντος, καὶ τῆς ἐκ τῆς πυρᾶς ἁρπαγῆς τοῦ Ἀσκληπιοῦ, πρὸς δὲ καὶ τὰ τῆς κεραυνώσεως τοῦ Ἀσκληπιοῦ, ἃ Πίνδαρος λέγει ἐν Πυθίοις Γ 5-60 καὶ Ἀπολλόδωρος Γ,10,3 καὶ ἄλλοι, πρῶτος φαίνεται Ἡσίοδος ποιήσας Σχ. Πυθ. Γ 14.48.59. Γυναῖκα δ' Ἀσκληπιοῦ Ἠπιόνην εἶναί φησι Παυσανίας Β, 29,1 καὶ Σουίδας καὶ ὁ Πινδάρου σχολιαστὴς Πυθίοις Γ 14. Ἕρμιππος δὲ

Λαμπετίαν τὴν Ἡλίου, ἧς καὶ Ἀσκληπιοῦ Μαχάων καὶ Ποδαλείριος καὶ Ἰασὼ καὶ Πανάκεια καὶ Αἴγλη ἐγένοντο, κατ' ἄλλους δὲ καὶ Ἰανίσκος καὶ Ἀλεξάνωρ, ὡς φησιν ὁ Ἀριστοφάνους σχολιαστὴς Πλούτῳ 639.701.

Ὁ μῦθος τῆς τοῦ Ἀσκληπιοῦ ὑπ' Ἀπόλλωνος ἁρπαγῆς ἐκ τῆς πυρᾶς, ἐν ᾗ Κορωνὶς ἐκαίετο, τὴν Καισαρικὴν καλουμένην τομὴν αἰνίττεσθαι φαίνεται· οὕτω δὲ δοκεῖ τὸν μῦθον τοῦτον ἐξηγούμενος Ὑγῖνος ἐν Μύθοις 202· «Apollo Coronidem gravidam percussit » et interfecit; cuius ex utero exsectum Asclepium educavit», ἤτοι *Ἀπόλλων τὴν Κορωνίδα ἔγκυον ἔπληξε καὶ ἀπέκτεινεν· ἐκ δὲ τῆς μήτρας αὐτῆς ἐκταμὼν Ἀσκληπιὸν ἀνέθρεψεν*. Ὁ δὲ μῦθος τῆς ὑπὸ Διὸς κατακεραυνώσεως τοῦ Ἀσκληπιοῦ, οὐ μόνον πάσχοντας ἰωμένου, ἀλλὰ καὶ τεθνηκότας ἀνεγείροντος, τὴν περὶ τὰ ἰατρικὰ ἔξοχον αὐτοῦ ἐμπειρίαν αἰνίττεσθαι δοκεῖ.

Τὴν Ἀσκληπιοῦ ὑπὸ Διὸς κεραύνωσιν τῶν μεταγενεστέρων τινὲς φυσικῶς ἐξηγήσασθαι ἐπεχείρησαν καὶ οὐκ ἀπεικότως, ἔμοιγε δοκεῖ· Καὶ Ἡράκλειτος μὲν ἐν τῷ Περὶ Ἀπίστων κσ'. σ. 15 ὑπὸ πυρετοῦ φλεχθέντα ὀλέσθαι φησὶν Ἀσκληπιόν, καίπερ ἰατρικῆς εὑρετὴν καὶ πρῶτον διδάσκαλον γεγονότα, διὰ δὲ τὴν φλεγμονὴν καὶ δὴ καὶ τὸν ἐξ αὕτης αἰφνίδιον θάνατον κεκεραυνῶσθαι λέγεσθαι. Αἰλιανὸς δέ, οὗ τὸ ἀπόσπασμα ἐκ τῶν παρὰ Σουΐδᾳ λέξεων *Ἀσκληπιεῖον* καὶ *Ἥρτηται* καὶ *Οἱ* καὶ *Ῥήγνυται* καὶ *Ὑπὸ δακρύοις* συμπεπλήρωται, λέγει, ὅτι *περιπνευμονίαν* καλοῦσιν Ἀσκληπιαδῶν παῖδες τὴν νόσον, ἐξ ἧς Ἀσκληπιὸς ἔπαθε. Ὧδε δ' Αἰλιανός φησιν Απ. 54· « Ὁ » δὲ ἀθλίως νόσῳ (περιπνευμονίαν καλοῦσιν Ἀσκληπιαδῶν παῖδες » αὐτὴν) πιεζόμενος τὰ μὲν πρῶτα ἐδεῖτο *τῆς ἀνθρώπων ἰατρικῆς* » καὶ ἐκείνων ἤρτητο. Ἐπεὶ δὲ ἦν οἱ τὸ κακὸν τέχνης κρεῖττον καὶ » μέντοι καὶ ἐπικουρίας *τῆς ἐκ θρηττῶν συμμάχων* δυνατώτερον, » ῥήγνυσι φωνὴν ἱκέτιν, ἐξ αὐτῆς ἐκβιασθεὶς τῆς ὀδύνης, καλεῖ τε » Ἀπόλλωνα ὑπὸ πολλοῖς τοῖς δακρύοις ». Ἐκ τούτου δὲ τοῦ ἀποσπάσματος Αἰλιανοῦ φανερόν, ὅτι ἐπ' Ἀσκληπιοῦ *ἀνθρώπων ἰατρικὴ* καὶ *θρηττοὶ σύμμαχοι*, ἤτοι ἰατροὶ πολλοί, ὡς γ' Αἰλιανῷ δοκεῖ, ὑπῆρχον. Καὶ γνωστὸν μὲν ἡμῖν καὶ ἐξ Ὁμήρου καὶ ἄλλων συγγραφέων ὅτι Ποδαλείριος καὶ Μαχάων οἱ Ἀσκληπιοῦ παῖδες ἰατρικὴν ὑπ' αὐτοῦ ἐδιδάχθησαν καὶ ἰατροὶ ἄριστοι ἦσαν· ἀλλὰ πλὴν τούτων δοκεῖ

Αἰλιανὸς οἴεσθαι καὶ ἄλλους ἰατροὺς ἐπ' Ἀσκληπιοῦ νοσοῦντος πολλοὺς γεγονέναι· οὐ γὰρ οἷος τ' ἂν ἦν *ἀνθρώπων ἰατρικὴν* καὶ *θνητοὺς συμμάχους* εἰπεῖν, εἰ μόνοι οἱ Ἀσκληπιοῦ παῖδες Ποδαλείριός τε καὶ Μαχάων ἰατροὶ εἶεν. Καὶ τὸ Εὐριπίδῃ δ' εἰρημένον ἐν Ἀλκήστει 3·

Ζεὺς γὰρ κατακτὰς παῖδα τὸν ἐμὸν αἴτιος,
Ἀσκληπιόν, στέρνοισιν ἐμβαλὼν φλόγα·

διττῶς ἄν τις ἐξηγήσαιτο, ἢ ὅτι κεραυνοῦ φλόγα στέρνοις ἐνέβαλεν ἢ ὅτι νόσου φλόγα, περιπνευμονίαν, τῷ στήθει ἐνέβαλεν· ἐκ γὰρ Διὸς πᾶν ἀγαθόν τε κακόν τε καὶ πᾶσα νόσος προέρχεται. Πιθανὸν δ' ἂν εἴη ἐκ τοῦ χωρίου τούτου τοῦ Εὐριπίδου τεκμήρασθαι Αἰλιανὸν μὲν περιπνευμονίαν Ἀσκληπιὸν παθεῖν, Ἡράκλειτον δὲ ὑπὸ πυρετοῦ αὐτὸν φλεχθέντα ὀλέσθαι. Ἀλλὰ μὴν ἐκ τῶν ἀμέσως ἑπομένων στίχων δῆλος ὁ ποιητὴς τὸν κεραυνὸν αἰνίττεσθαι· Ἀπόλλων γάρ φησι 5·

οὗ δὴ χολωθεὶς τέκτονας δίου πυρὸς
κτείνω Κύκλωπας.

Ὡς δ' ἐν τοῖς Περὶ Χείρωνος ἔφθημεν εἰπόντες 72, τὴν Χείρωνος θεραπείαν Ἀσκληπιὸς διδαχθεὶς ἰᾶτο τά τε αὐτόφυτα ἕλκη καὶ τὰ διὰ τομῆς ἢ θλάσεως τραύματα καὶ τὰς σὺν πυρετῷ καὶ ῥίγει νόσους (ἢ ἄλλως εἰπεῖν τὰς ἡλιοκαίας καὶ τὰς παγοπληξίας ἢ χείμετλα) τὸ μὲν ἐπῳδαῖς τὸ δὲ τῇ πόσει ἡπίων φαρμάκων, τὸ δὲ τοῖς μέλεσι περιάπτων πάντοθεν φάρμακα, τὸ δὲ τομαῖς, ὡς φησι Πίνδαρος Πυθίοις Γ 45-53. Διόδωρος δὲ καὶ χειρουργικὸν καὶ φαρμακέα λέγει αὐτὸν Ε,74,6· « Ἀπόλλωνος δὲ καὶ Κορωνίδος Ἀσκληπιὸν γενηθέντα καὶ » πολλὰ παρὰ τοῦ πατρὸς τῶν εἰς ἰατρικὴν μαθόντα, προσεξευρεῖν » τήν τε χειρουργίαν καὶ τὰς τῶν φαρμάκων σκευασίας καὶ ῥιζῶν » δυνάμεις, καὶ καθόλου προβιβάσαι τὴν τέχνην ἐπὶ τοσοῦτον ὥστε » ὡς ἀρχηγὸν αὐτῆς καὶ κτίστην τιμᾶσθαι ».

Καὶ ἐν ἑτέρῳ μὲν εἰδικῷ περὶ Ἀσκληπιοῦ λόγῳ λεπτομερῶς τά τε περὶ Ἀσκληπιείων καὶ τὰ περὶ ἰαμάτων καὶ θαυμάτων Ἀσκληπιοῦ εἰρήσεται, ἃ Πινδάρῳ τε πεποίηται ἐν Πυθιονίκαις Γ 5-60 καὶ Ἀριστοφάνει ἐν Πλούτῳ 653-747 καὶ τοῖς τραγῳδοῖς, καὶ Ἀπολλοδώρῳ γέγραπται Γ, 10,3-4 καὶ Πλουτάρχῳ καὶ Παυσανίᾳ Β, 26-29 καὶ ἀλλαχοῦ, καὶ Λουκιανῷ καὶ Στράβωνι Β, α, 16. Η, δ, 4. Η, ς, 15 καὶ Διοδώρῳ Δ, 71. Ε, 74,6 καὶ Φιλοστράτῳ ἐν Τοῖς ἐς τὸν Τυα-

νέα Ἀπολλώνιον Α, 10 καὶ Αἰλιανῷ ἐν τῷ Περὶ ζῴων Ζ, 13-14. Θ, 33 καὶ ἄλλοις καὶ ἐν τοῖς ἐν Ἐπιδαύρῳ ἀνακαλυφθεῖσι πλαξὶν ἐπιγέγραπται.

Οὐ δ' ἡμῖν κυρίως μέλει, εἰ τὰ τῆς ἰατρικῆς Ἀσκληπιὸς ἐπιστημόνως προήγαγε καὶ τίνα παρ' αὐτῷ τά τ' ὀφθαλμικὰ καὶ ὠτικὰ καὶ ἀνατομικὰ ἐπίδοσιν ἔσχε, τοῦτ' ἐνταῦθα λεκτέον.

1. *Περὶ Ἀσκληπιοῦ ἰατρικῆς ἐπιστήμης.* Ὁ μὲν ἰατρὸς Ἐρυξίμαχος πείθεσθαι τοῖς ποιηταῖς φησιν ἐν *Πλάτωνος Συμποσίῳ* ιϐ. 186e, ὅτι Ἀσκληπιὸς ἐπιστημόνως τὴν ἰατρικὴν τέχνην συνέστησε καὶ διὰ τοῦ θεοῦ τούτου πᾶσαν τὴν ἰατρικὴν κυβερνᾶσθαι. Σωκράτης δέ φησιν ἐν Πλάτωνος Πολιτείᾳ Ι. 599c Ἀσκληπιὸν καὶ ὑγιεῖς πολλοὺς πεποιηκέναι ὡς ἰατρὸν καὶ ἰατρικῆς γενέσθαι διδάσκαλον τοῖς αὐτοῦ ἐκγόνοις. Αὐτὸς δ' αὖθις αὖ Σωκράτης διδάσκει ἐν Πολιτείᾳ Γ. 405c ὅτι ἐπ' Ἀσκληπιοῦ, ἐπεὶ φύσει τε καὶ διαίτῃ ὑγιεινῶς ὡς ἐπὶ τὸ πολὺ εἶχον τὰ σώματα καὶ ἕκαστος ἔργον τι εἰργάζετο, ᾧ οὐ σχολὴ διὰ βίου κάμνειν ἰατρευομένῳ, οὔτε ῥεύματα καὶ πνεύματα, οὔτε φῦσαι καὶ κατάρροι νοσημάτων ὀνόματα ἦσαν, ἃ δι' ἀργίαν καὶ μαλθακὴν δίαιταν τοῖς ἀνθρώποις γίνεται. Ἀσκληπιὸς δ' οὐκ ἀγνοίᾳ οὐδ' ἀπειρίᾳ οὐκ ἐμίγνυε γυμναστικὴν καὶ δίαιταν ἰατρικῇ, ἀλλὰ καίτοι τὸ εἶδος τῆς ἰατρικῆς τοῦτο εὖ εἰδὼς τοῖς ἐκγόνοις οὐ κατέδειξεν αὐτό, οὐκ ἀγαθὸν οἰόμενος τὸν δημιουργὸν καὶ πάντα ἄλλον, ᾧ ἀναγκαῖον ἐν εὐνομουμένῃ πόλει ἔργον τι ἐργάζεσθαι, διὰ βίου κάμνειν ἰατρευόμενον καὶ διαιτώμενον, ἀλλ' εἰ μὲν τραύματα ἢ ἐπέτειά τινα νοσήματα ὑγιεινοῖς πρὸ τοῦ καὶ κοσμίοις ἐν διαίτῃ ἀνδράσιν ἐνέπιπτεν, ἱκανὰ ἦν τὰ φάρμακα καὶ τὰς τομὰς αὐτοὺς ἰάσασθαι, τῇ εἰωθυίᾳ χρωμένους διαίτῃ, τὰ δ' ἔσω διὰ παντὸς νενοσηκότα σώματα οὐκ ἦν δεῖν θεραπεύειν· αὐτοῖς τε γὰρ καὶ τοῖς ἐκγόνοις καὶ τῇ πόλει οὐ λυσιτελές

Τοῖσδε δὲ τοῖς λόγοις Πλάτων τὰς Ἀσκληπιοῦ ἰατρικὰς ἀρχὰς ἐκτίθησιν, Σωκράτους τάδε λέγοντος 407c· «Οὐκοῦν ταῦτα γιγνώ-» σκοντα φῶμεν καὶ Ἀσκληπιὸν τοὺς μὲν φύσει τε καὶ διαίτῃ ὑγιει-» νῶς ἔχοντας τὰ σώματα, νόσημα δέ τι ἀποκεκριμένον ἴσχοντας ἐν » αὐτοῖς, τούτοις μὲν καὶ ταύτῃ τῇ ἕξει καταδεῖξαι ἰατρικὴν φαρμά-» κοις τε καὶ τομαῖς τὰ νοσήματα ἐκβάλλοντα αὐτῶν τὴν εἰωθυῖαν » προστάττειν δίαιταν, ἵνα μὴ τὰ πολιτικὰ βλάπτοι, τὰ δ' ἔσω διὰ » παντὸς νενοσηκότα σώματα οὐκ ἐπιχειρεῖν διαίταις κατὰ σμικρὸν

» ἀπαντλοῦντα καὶ ἐπιχέοντα μακρὸν καὶ κακὸν βίον ἀνθρώπῳ ποιεῖν » καὶ ἔκγονα αὐτῶν, ὡς τὸ εἰκός, ἕτερα τοιαῦτα φυτεύειν, ἀλλὰ τὸν » μὴ δυνάμενον ἐν τῇ καθεστηκυίᾳ περιόδῳ ζῆν μὴ οἴεσθαι δεῖν θε- » ραπεύειν, ὡς οὔτε αὐτῷ οὔτε πόλει λυσιτελῆ;» Ὅτι δὲ σφόδρα Σωκράτης Ἀσκληπιὸν ἐτίμα, φανερὸν ἐξ οὗ δὴ τελευταῖον ἐφθέγ- ξατο, ὅτε τὸ φάρμακον πιὼν τὸν βίον ἐτελεύτα· «Ὦ Κρίτων, ἔφη, τῷ Ἀσκληπιῷ ὀφείλομεν ἀλεκτρυόνα· ἀλλ' ἀπόδοτε καὶ μὴ ἀμελή- σητε». Ξενοφῶν δ' ἐν *Κυνηγετικῷ* Α, 2 Ἀσκληπιόν τε καὶ τοὺς αὐτοῦ παῖδας Μαχάονα καὶ Ποδαλείριον φησι Χείρωνος γενέσθαι μα- θητὰς τά τε κυνηγέσια καὶ ἕτερα καλά. Καὶ περὶ μὲν τοῦ Ἀσκλη- πιοῦ τάδε φησὶ Α, 6· «Ἀσκληπιὸς δὲ μειζόνων ἔτυχεν, ἀνιστάναι μὲν » τεθνεῶτας, νοσοῦντας δὲ ἰᾶσθαι· διὰ δὲ ταῦτα θεὸς ὡς παρ' ἀν- » θρώποις ἀείμνηστον κλέος ἔχει». ἐξ ὧν φανερὸν ὅτι Ξενοφῶν ἄν- θρωπον ἡγεῖται Ἀσκληπιόν, ἰατρὸν δ' ἔξοχον, καθ' ἅπερ καὶ Πλά- των ἐν Πολιτείᾳ Γ. 408c. Περὶ δὲ τῶν Ἀσκληπιοῦ παίδων Ξενοφῶν τάδε λέγει Α, 14· «Μαχάων δὲ καὶ Ποδαλείριος παιδευθέντες τὰ αὐτὰ πάντα ἐγένοντο καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγαθοί». Θαυμαστὸν δ' ὅτι Ξενοφῶν οὐδόλως ῥητῶς ἐξαίρει τὴν περὶ τὰ ἰατρικὰ ἀρετὴν τῶν Ἀσκληπιοῦ παίδων, ἣν καὶ Ὅμηρος καὶ οἱ μετέπειτα ὕμνησαν.

Καὶ ταῦτα μὲν Πλάτων καὶ Ξενοφῶν οὐκ ἰατροὶ ὄντες, περὶ ἰατρι- κῆς Ἀσκληπιοῦ φασιν· Γαληνὸς δὲ ἰατρὸς ὢν καὶ τὰ τῆς ἀρχαίας ἰατρικῆς ἐπισταμένως μάλα γε ἐσπουδακὼς Ἀσκληπιόν φησι μεγί- στων ἀξιοῦσθαι τιμῶν, εἴτ' ἄνθρωπος πρότερον ἦν, εἴτ' ἀρχῆθεν θεός, ὅτι ἰατρικὴν εὗρε καὶ τοὺς ἀνθρώπους ἐδίδαξε 1,22. Ἐν δ' *Ὑγι- εινῶν λόγῳ* φησὶν Α, η. 6,41, ὅτι καὶ ἦθος ψυχῆς Ἀσκληπιὸς πλάτ- τειν ἐπεχείρει, ἵνα ὑγιεινῶς τὸ σῶμα ἐκ νόσων προφυλάττῃ καὶ τὰς τοῦ θυμοειδοῦς κινήσεις ῥυθμίζων ἐπῳδαῖς τε καὶ γυμνασίαις οὕτω τὰς νόσους ἰᾶται. Καὶ οἷς μὲν αἱ τοῦ θυμοειδοῦς κινήσεις, φησίν, οἷον θυμὸς καὶ κλαυθμὸς καὶ ὀργὴ καὶ λύπη, ὑπερβάλλουσαι γιγνόμεναι θερμοτέραν τοῦ δέοντος τὴν τοῦ σώματος κρᾶσιν ἐποίουν καὶ πυρε- τοὺς ἤναπτον, τούτοις Ἀσκληπιὸς ᾠδαῖς τε καὶ μίμοις γελοίων καὶ μέλεσι τὴν τῶν ψυχικῶν κινήσεων σφοδρότητα ἐπανορθώσασθαι ἐπέ- ταττεν, ἄλλοις δέ τισιν κυνηγετεῖν καὶ ἱππάζεσθαι καὶ ὁπλομαχεῖν τό τε τῶν κινήσεων εἶδος καὶ τὸ τῆς ὁπλίσεως διωρισάμενος, ἵνα τὸ

θυμοειδὲς οἷς ἀρρωστότερον τοῦ δέοντος ἐτύγχανεν ὂν ἐπεγείρῃ κατὰ τὴν δέουσαν τοῦ ἀρρώστου θυμοειδοῦς ἐξέγερσιν καὶ τὸ τῶν γυμνασίων εἶδος προσδιορισάμενος. Ἐν δὲ τῷ Περὶ διαφορᾶς νοσημάτων βιβλίῳ θ'. 6,869 Ἀσκληπιὸν ἰάσασθαί φησι Νικόμαχον τὸν Σμυρναῖον ἐξ ἀμέτρου τοῦ σώματος ὑπεραυξήσεως, ἧς ἕνεκα κινεῖσθαι ἀδύνατος ἦν. Ἐν δὲ τῇ *Εἰσαγωγῇ ἢ Ἰατρῷ*, εἴτε Γαληνὸς εἴτ' ἄλλος τις τοῦτο τὸ βιβλίον συνέγραψε, πάνυ ὀρθῶς, ὡς γέ μοι δοκεῖ, τάδε εἴρηται 14,674· « Οὕτως οὖν καὶ τὴν ἰατρικὴν πρῶτον μὲν » Ἀσκληπιὸν παρ' Ἀπόλλωνος τοῦ πατρός φασιν ἐκμαθεῖν καὶ ἀν- » θρώποις μεταδοῦναι, διὸ καὶ δοκεῖ εὑρετὴς γεγονέναι αὐτῆς· πρὸ » δὲ Ἀσκληπιοῦ τέχνη μὲν ἰατρικὴ οὔπω ἦν ἐν ἀνθρώποις, ἐμπει- » ρίαν δέ τινα οἱ παλαιοὶ εἶχον φαρμάκων καὶ βοτανῶν, οἷα παρ' » ἔλλησι Χείρων ὁ Κένταυρος ἠπίστατο καὶ οἱ ὑπὸ τούτου παιδευ- » θέντες ἥρωες, ὅσα τε εἰς Ἀριστέα καὶ Μελάμποδα καὶ Πολύειδον » ἀναφέρεται ». Παρὰ δὲ Αἰγυπτίοις φησὶ τήν τε τῶν βοτανῶν χρῆσιν καὶ τὴν ἄλλην φαρμακείαν παλαίτατα ὑπάρχειν καὶ τῶν ἐν χειρουργίᾳ πολλὰ τοῖς πρώτοις Αἰγυπτίοις ἰατροῖς εὑρῆσθαι ἐκ τῆς ἐν ταῖς ταριχείαις ἀνασχίσεως τῶν νεκρῶν. Κατωτέρω δ' αὖθις αὖ τάδε λέγει περὶ Ἀσκληπιοῦ 14,676· « Τελείαν δὲ ἰατρικὴν καὶ τοῖς » ἑαυτῆς μέρεσι συμπεπληρωμένην, τὴν μὲν ὡς ἀληθῶς θείαν Ἀσκλη- » πιὸν μόνον εὑρεῖν, τὴν δ' ἐν ἀνθρώποις τοὺς Ἀσκληπιάδας παρὰ » τούτου διαδεξαμένους τοῖς ἔπειτα παραδοῦναι, μάλιστα δὲ Ἱπ- » ποκράτης ὃς πάντων ὑπερήνεγκε καὶ πρῶτος εἰς φῶς ἐξήνεγκε τὴν » τελείαν παρ' Ἕλλησιν ἰατρικήν ». Ἔστωσαν δ' οἱ λόγοι οὗτοι πρὸς τοῖς ἄλλοις, εἴτε Γαληνοῦ εἴτ' ἄλλου τινὸς τῶν ἀρχαίων εἰσί, καὶ διδασκαλία τοῖς ἰσχυριζομένοις, ὅτι ἀπὸ τοῦ τρωϊκοῦ μέχρι τοῦ πελοποννησιακοῦ πολέμου μόνον ἐν τοῖς Ἀσκληπιείοις ἠσκεῖτο ἡ ἰατρική, περὶ οὗ κατωτέρω ἐν ἐκτάσει ἔσται ἡμῖν ὁ λόγος· ἄλλοι γὰρ οἱ Ἀσκληπιάδαι, οἱ ἀνθρωπικοὶ ἰατροί, καὶ ἄλλοι οἱ ἱερεῖς τῶν Ἀσκληπιείων, ἤτοι οἱ θεόπνευστοι ἰατροί.

Διόδωρος δ' ὁ Σικελιώτης διδάσκαλον Ἀσκληπιοῦ τὸν Ἀπόλλωνα καὶ οὐχὶ τὸν Χείρωνα λέγει Ε, 74,6 « Ἀπόλλωνος δὲ καὶ Κο- » ρωνίδος Ἀσκληπιὸν γεννηθέντα, καὶ πολλὰ παρὰ τοῦ πατρὸς τῶν » εἰς ἰατρικὴν μαθόντα, προσεξευρεῖν τήν τε χειρουργίαν καὶ τὰς τῶν » φαρμάκων σκευασίας καὶ ῥιζῶν δυνάμεις, καὶ καθόλου προβιβάσαι

» τὴν τέχνην ἐπὶ τοσοῦτον ὥστε ὡς ἀρχηγὸν αὐτῆς καὶ κτίστην » τιμᾶσθαι ». Τὰς δ' ἐκ νεκρῶν ἀναστάσεις Διόδωρος ὧδε ἐξηγεῖται Δ, 71,1· « φύσει δὲ καὶ ἀγχινοίᾳ διενεγκόντα ζηλῶσαι τὴν ἰατρικὴν » ἐπιστήμην, καὶ πολλὰ τῶν συντεινόντων πρὸς ὑγίειαν ἀνθρώπων » ἐξευρεῖν. Ἐπὶ τοσοῦτο δὲ προβῆναι τῇ δόξῃ, ὥστε πολλοὺς τῶν » ἀπεγνωσμένων ἀρρώστων παραδόξως θεραπεύειν, καὶ διὰ τοῦτο » πολλοὺς δοκεῖν τῶν τετελευτηκότων ποιεῖν πάλιν ζῶντας ». Τὴν δ' Ἀσκληπιοῦ ἰατρικὴν ὁ φιλοσκώμμων ἀλλ' εὐφυὴς Λουκιανὸς ὡς ὄντως ἐστὶ χαρακτηρίζει, αὐτοῦ τοῦ Διὸς τάδε λέγοντος MZ, 1· « Ὁ μὲν γὰρ Ἀσκληπιὸς ὑπὸ τῶν νοσούντων ἐνοχλούμενος ὀρῇ τε » δεινὰ θιγγάνει τε ἀηδέων ἐπ' ἀλλοτρίῃσί τε ξυμφορῇσιν ἰδίας καρ- » ποῦται λύπας ». Ὄντως δ' ἐν τοῖς ὀλίγοις τούτοις πάντα περι- είληπται τῆς ἰατρικῆς τὰ δεινά. Τοὺς δὲ νοσοῦντας, φησίν, ἐθερά- πευον ἥπια φάρμακα πάττοντες ὅ τ' Ἀσκληπιὸς αὐτὸς καὶ οἱ παῖδες αὐτοῦ NB, 10· Ἀπόλλων δὲ τέχνην τὴν μαντικὴν ἔχει, Ἀσκληπιὸς δὲ τὴν ἰατρικὴν καὶ Ἄρτεμις τὴν μαιευτικήν, φησὶν ἐν θεῶν δια- λόγῳ H, 26· Ἡρακλῆς δ' ἀποκαλεῖ Ἀσκληπιὸν ἐν τῷ τῶν θεῶν συμποσίῳ *φαρμακέα*, *ῥιζοτόμον* καὶ ἀγύρτην H, 13. Ὑγῖνος δ' Ἀσκληπιὸν πρῶτον κλινικὴν εὑρεῖν, Ἀπόλλωνα δὲ πρῶτον ὀφθαλμοὺς θεραπεῦσαί φησιν ἐν Μύθοις 274.

Νῦν δὲ περὶ ἰατρικῆς καὶ χειρουργικῆς ἐν τοῖς Ἀσκληπιοῦ ἱεροῖς ἔστω ἡμῖν ὁ λόγος. Οἱ ὑπηρέται ἢ ἱερεῖς Ἀσκληπιοῦ δοκοῦσι τὴν ἰατρικὴν καὶ χειρουργικὴν καὶ ὀφθαλμικὴν διδαχθέντες ὄντως ἐν τοῖς Ἀσκληπιείοις φαρμάκοις τε καὶ τομαῖς καὶ χειρουργίαις τὰς νόσους ἰᾶσθαι, τὸ δὲ τῆς ψυχῆς ἦθος ἐπῳδαῖς τε καὶ καθαρμοῖς καὶ μαγείαις καὶ θαύμασιν ἐπεγείρειν ἐπιχειρεῖν. Διττὴ ἄρα, ἔμοιγε δοκεῖ, ἦν ἡ ἐν τοῖς Ἀσκληπιείοις θεραπεία τὸ μὲν φαρμάκοις καὶ τομαῖς, ἤτοι *φυ- σική*, τὸ δὲ ἐπῳδαῖς καὶ καθαρμοῖς καὶ θαύμασιν, ἤτοι ὡς ἔπος εἰπεῖν *ψυχική*. Καὶ ἔν τισι μὲν ἰάμασι φαίνεται ἡ φαρμάκοις καὶ τομαῖς φυσικὴ ἰατρικὴ ἰσχύουσα, ἐν ἄλλοις δὲ ἡ ψυχικὴ οὕτως εἰπεῖν ἰατρικὴ ἡ ἐπῳδαῖς καθαρμοῖς καὶ θαύμασι τὸ τῆς ψυχῆς ἦθος ἐπεγείρουσα ἢ πραΰνουσα καὶ κατὰ τὸ εἰκὸς ῥυθμίζουσα· ἐν ἄλλοις δὲ πάλιν ἰάμασι τά τε φάρμακα καὶ αἱ τομαὶ καὶ τὸ θεόπνευστον συνυπάρχουσιν. Οὐ σύμφημι δὲ τοῖς ἰσχυριζομένοις οὐδεμίαν ἐν τοῖς Ἀσκληπιείοις οὔτε κἂν ἐμπειρικήν τινα ἰατρικὴν ἀσκεῖσθαι· ὡς δὲ νῦν εἰς τὴν τῆς Τήνου

Εὐαγγελίστριαν καὶ τὴν Παναγίαν τῆς Ἁγιάσσου ἐν Λέσβῳ καὶ ἀλλαχόσε μετὰ θρησκευτικῆς εὐλαβείας οἱ παντοδαπὰς νόσους πάσχοντες πανταχόθεν ἀφικνοῦνται, ἐκεῖ δ' ἐγκαθεύδοντες τῇ θρησκευτικῇ πεποιθήσει καὶ ἁγιασμοῖς καὶ ἐξορκισμοῖς καὶ νηστείαις καὶ προσευχαῖς καὶ τάγμασιν ὄντως πολλάκις ἄνευ φαρμάκων ἰῶνται, τὸ μὲν τοῦ τῆς ψυχῆς ἤθους τούτῳ τῷ τρόπῳ ἐπεγειρομένου, τὸ δὲ τῇ τῆς διαίτης καὶ τοῦ κλίματος ἀλλαγῇ, οὕτω καὶ ἐν τοῖς Ἀσκληπιείοις οἴονταί τινες ἄνευ ἰατρικῆς ἐπιστήμης οὐ φαρμάκοις οὐδὲ τομαῖς, ἀλλ' ἐνυπνίοις καὶ τῇ πίστει καὶ δεισιδαιμονίᾳ καὶ ἐπῳδαῖς καὶ καθαρμοῖς καὶ τοῖς τοιούτοις μόνον τὰς ἰάσεις τοῖς ἐγκαθεύδουσι γίγνεσθαι.

Ὅτι μὲν δῆτα οἱ Ἀσκληπιάδαι ἀπ' Ἀσκληπιοῦ κατὰ διαδοχὴν τὴν ἰατρικὴν ἐξέμαθον καὶ ὅτι οἱ *λαϊκοὶ* οὗτοι ἰατροὶ κοὐχ ἱερεῖς φαρμάκοις καὶ τομαῖς τοὺς πάσχοντας ἰῶντο, τοῦθ' Ὅμηρός τε καὶ ἄλλοι ποιηταὶ καὶ φιλόσοφοι καὶ ἱστορικοὶ τῶν Ἑλλήνων συνομολογοῦσιν. Οἱ δ' ἱερεῖς ἢ ὑπηρέται τοῦ θεοῦ ἐν τοῖς Ἀσκληπιείοις, οἱ *θεόπτευστοι* ὡς ἔπος εἰπεῖν ἰατροί, εἰ Ἀσκληπιοῦ ἦσαν ἔκγονοι, οὐχ οἷόν τ' ἂν εἴη εἰπεῖν, πλὴν εἴ τις πρώτους ἱερεῖς Ἀσκληπιοῦ τοὺς Μαχάονος παῖδας Σφῦρον καὶ Ἀλεξάνορα, οἳ Ἀσκληπιεῖα ἐν Ἄργει καὶ Τιτάνῃ ἱδρύσαντο, οἴοιτο. Ἀλλ' εἰ Λυκοῦργος ἱερὸν τῇ ὀφθαλμίτιδι Ἀθηνᾷ ἱδρύσατο, εἴη ἂν εἰπεῖν καὶ ἱερέα αὐτὸν τῆς Ἀθηνᾶς γεγονέναι; Οὐδ' αὐτοὶ δ' οἱ ἱερεῖς ἔλεγον ἑαυτοὺς ἐκγόνους Ἀσκληπιοῦ. Ἀλλὰ καὶ εἰ μὴ ἔκγονοι Ἀσκληπιοῦ οἱ ἱερεῖς εἶεν, ἀλλὰ μὴν εἴτ' ἐξ αὐτοῦ Ἀσκληπιοῦ εἴτ' ἐκ τῶν αὐτοῦ παίδων ἐκμαθεῖν τὴν Ἀσκληπιοῦ ἰατρικὴν δοκοῦσί μοι καὶ ταύτην ἐν τοῖς ναοῖς ἀσκεῖν, δοκεῖ δέ μοι κοινωνίαν τινὰ ὑπάρχειν μεταξὺ τῶν λαϊκῶν ἰατρῶν, τῶν Ἀσκληπιαδῶν, καὶ τῶν θεοπνεύστων ἰατρῶν, τῶν ἱερέων ἢ ὑπηρετῶν τοῦ θεοῦ· ὥστ', ὡς ἄνω μοι εἴρηται καὶ ὡς ἐκ τῶν ἰαμάτων φανερόν, οἷός τ' εἰμὶ ἰσχυρίσασθαι, ὅτι ὄντως ἰατρικὴ ἐπιστήμη φαρμάκοις τε καὶ τομαῖς καὶ χειρουργίαις, ἀλλὰ μὴν καὶ ἐπῳδαῖς καὶ γυμναστικῇ πρὸς τὴν τοῦ ἤθους τῆς ψυχῆς κίνησιν ἀπὸ τῆς πρώτης τῶν Ἀσκληπιείων συστάσεως ἠσκεῖτο.

Παλαιτάτη δ' ἂν εἴη ἡ τῶν Ἀσκληπιείων ἵδρυσις καὶ ἡ τοῦ Ἀσκληπιοῦ λατρεία· ὡς γὰρ Παυσανίας ἱστορεῖ B, 23,4 τὸ ἐπιφανέστατον ἐν Ἄργει Ἀσκληπιοῦ ἱερόν, ὃ καὶ ἐπ' αὐτοῦ ἔτι εἶχεν

ἄγαλμα Ἀσκληπιοῦ, ἐξ ἀρχῆς Σφῦρος ἱδρύσατο ὁ Μαχάονος υἱός· καὶ τὸ ἐν Τιτάνῃ τῆς Πελοποννήσου Ἀσκληπιεῖον ἀρχαιότατόν ἐστιν· ἵδρυται γὰρ τῷ Μαχάονος μὲν υἱῷ ἀδελφῷ δὲ Σφύρου Ἀλεξάνορι, ὃς παρὰ Σικυωνίοις πολλὰς εἶχε τιμάς. Καὶ ὁ ἐν Τιθορέᾳ τῆς Φωκίδος Ἀσκληπιοῦ ναὸς δοκεῖ μοι παλαίτατος εἶναι· καὶ γὰρ Ἀρχαγέτας ἐκαλεῖτο ὁ Ἀσκληπιός, ὥς φησι Παυσανίας I, 32,12. Πάντων δ' ἀρχαιότατον τὸ τῆς Τρίκκης λέγει Στράβων Θ, ε, 17 καὶ Εὐστάθιος B 729. Ἐπιφανῆ δ' Ἀσκληπιεῖα ἦσαν καὶ τὸ τῆς Ἐπιδαύρου, τὸ τῆς Κῶ, τὸ τῆς Μεγαλουπόλεως ἐν Ἀρκαδίᾳ, τὸ τῆς Κυλλήνης ἐν Ἤλιδι, τὸ τῆς Περγάμου ἐν Μικρᾷ Ἀσίᾳ καὶ ἄλλων πλῆθος πολύ. Στράβων δ' ἐν Κῷ τε καὶ Τρίκκῃ καὶ Ἐπιδαύρῳ φησὶν ἐν τοῖς Ἀσκληπιείοις ἐπὶ πινάκων ἀναγεγραμμένας εἶναι τὰς θεραπείας τῶν ἀρρώστων H, ς, 15· «Καὶ αὕτη δ' [ἡ Ἐπίδαυρος] οὐκ ἄσημος ἡ » πόλις, καὶ μάλιστα διὰ τὴν ἐπιφάνειαν τοῦ Ἀσκληπιοῦ θεραπεύειν » νόσους παντοδαπὰς πεπιστευμένου, καὶ τὸ ἱερὸν πλῆρες ἔχοντος » ἀεὶ τῶν τε καμνόντων καὶ τῶν ἀνακειμένων πινάκων, ἐν οἷς ἀνα- » γεγραμμέναι τυγχάνουσιν αἱ θεραπεῖαι, καθάπερ ἐν Κῷ τε καὶ » Τρίκκῃ». Εἰ οὖν αἱ Κωακαὶ προγνώσεις ἰάματα εἴη ἐπὶ στηλῶν ἐπιγεγραμμένα εἴτε διδάγματα ἰατρικὰ ἐκ τῶν ἐν τοῖς πίναξιν ἀναγεγραμμένων ἰαμάτων τῆς Κῶ ἐξηγημένα, πῶς οἷόν τ' ἂν εἴη ἰσχυρίσασθαι, μηδεμίαν ἰατρικὴν ἐν τοῖς Ἀσκληπιείοις ἀσκεῖσθαι; Εἰ δὲ τοῦτ' οὕτως ἔχοι, εἰ καὶ αἱ *Κνίδιαι γνῶμαι* ἰάματα ἢ ἰατρικὰ θεωρήματα ἐκ τῶν ἐν τοῖς πίναξιν ἀναγεγραμμένων θεραπειῶν τοῦ ἱεροῦ τῆς Κνίδου εἶεν, εἰκὸς ἂν εἴη εἰκάσαι, ὅτι ἐν στενωτάτῃ σχέσει οἱ Ἀσκληπιάδαι, οἱ τῆς φυσικῆς ἢ τῆς ἐν ἀνθρώποις ἰατρικῆς ὀπαδοί, πρὸς τοὺς θεοπνεύστους ἰατρούς, τοὺς ἱερεῖς, ἦσαν, εἰ ἐξὸν ἦν τοῖς Ἀσκληπιάδαις τῶν θείων ἰαμάτων ἐν ταῖς συγγραφαῖς χρῆσιν ποιεῖσθαι.

Ἀσκληπιὸς ἄρα ἐπεπίστευτο εὑρετὴς τῆς τε θείας καὶ τῆς ἐν ἀνθρώποις ἰατρικῆς γεγονέναι. Καὶ τὴν μὲν φυσικὴν ἢ τὴν ἐν ἀνθρώποις ἰατρικὴν οἱ Ἀσκληπιάδαι ὑπ' αὐτοῦ διδαχθέντες τοῖς μετέπειτα κατὰ διαδοχὴν μετέδοσαν· Ἱπποκράτης δ', ὃς πάντας ὑπερέβαλε τοὺς φυσικοὺς ἰατρούς, συγγράψας εἰς φῶς ἐξήνεγκε τὴν τελείαν παρ' Ἕλλησιν ἰατρικήν, κοινὸν κτῆμα οὕτω καταστήσας αὐτήν, πρότερον ἀπὸ πατρὸς τοῖς τέκνοις τῇ ζώσῃ φωνῇ διδασκομένην. Τὴν δὲ θείαν

ἢ τὴν ὑπὲρ φύσιν ἰατρικὴν ἐν τοῖς Ἀσκληπιείοις, ἃ ἱερά τε καὶ ναοὶ Ἀσκληπιοῦ ὀνομάζεται, αὐτὸν τὸν θεὸν ἀσκεῖν ἐνομίζετο, τὴν ἐμφάνειαν ποιούμενον· ὄντως δ' οἱ ἱερεῖς ἢ ὑπηρέται τοῦ θεοῦ, οἱ θεόπνευστοι ὡς ἔπος εἰπεῖν ἰατροί, τὰς ἰάσεις ἐποιοῦντο.

Παλαίτατα δὲ δοκεῖ μοι τήν τε φυσικὴν ἰατρικὴν καὶ τὴν θείαν ἢ ὑπὲρ φύσιν ἰατρικὴν ὑπάρχειν. Ὅμηρος γὰρ πρῶτος τὰ τῆς Ἀσκληπιοῦ ἰατρικῆς ποιήσας, μιμητὴς κατὰ Πλάτωνα τῶν τῆς ἰατρικῆς γενόμενος, μάρτυς ἔστω τῶν εἰρημένων μοι· καὶ γὰρ ὅτε Ποδαλείριος καὶ Μαχάων οἱ Ἀσκληπιοῦ «*ἀμύμονος ἰητῆρος*» παῖδες φαρμάκοις τε καὶ τομαῖς τὰς τῶν ἡρώων πληγὰς ἰῶντο· ἐπῳδῇ δ' αὖ οἱ Αὐτολύκου παῖδες ἐν Παρνασσῷ τὸ ἐκ τῆς πληγῆς τοῦ Ὀδυσσέως, ὑπὸ συὸς τῷ ὀδόντι τρωθέντος, ῥέον αἷμα ἔστησαν τ 457.

Ὅτι δὲ πράγματι ἐν τοῖς Ἀσκληπιείοις κατ' ἐπιστήμην ἰατρικὴ ἠσκεῖτο καὶ χειρουργίαι ἐγίγνοντο οὐ μόνον ὑπὸ τοῦ πρώτου ἱερέως καὶ διδασκάλου, ἀλλὰ καὶ ὑπὸ τῶν τοῦ πρώτου, ὡς ἔπος εἰπεῖν, ἰατροῦ βοηθῶν καὶ μαθητῶν, τῶν *ζακόρων*, μαρτύριον ἔστω καὶ ὃ ὁ ἐκ Ῥηγίου ἱστορικός, ὃς κατὰ τοὺς Περσικοὺς πολέμους 490 π. Χ. ἤκμαζεν, ἱστορεῖ, ὡς φησιν Αἰλιανὸς ἐν τῷ Περὶ ζῴων Θ, 33· «Ὁ » δὲ λέγει ὁ συγγραφεὺς ὁ Ῥηγῖνος [Ἵππυς], τοιοῦτόν ἐστιν· γυνὴ » εἶχεν ἕλμινθα, καὶ ἰάσασθαι αὐτὴν ἀπεῖπον *οἱ τῶν ἰατρῶν δεινοί*· » οὐκοῦν εἰς Ἐπίδαυρον ἦλθεν, καὶ ἐδεῖτο τοῦ θεοῦ ἐξάντης γενέ» σθαι τοῦ συνοίκου πάθους. Οὐ παρῆν ὁ θεός· οἱ μέντοι ζάκοροι » κατακλίνουσι τὴν ἄνθρωπον ἔνθα ἰᾶσθαι ὁ θεὸς εἰώθει τοὺς δεομέ» νους. Καὶ ἡ μὲν ἄνθρωπος ἡσύχαζε προσταχθεῖσα, οἵ γε μὴν *ὑπο*» *δρῶντες τῷ θεῷ τὰ ἐς τὴν ἴασιν αὐτῆς ἐποίουν*· καὶ τὴν κεφαλὴν » μὲν ἀπὸ τῆς δέρης ἀφαιροῦσι, καθίησι δὲ τὴν χεῖρα ὁ ἕτερος, καὶ » ἐξαιρεῖ τὸν ἕλμινθα, θηρίου μέγα τι χρῆμα· συναρμόσαι δὲ καὶ » ἀποδοῦναι τὴν κεφαλὴν ἐς τὴν ἀρχαίαν ἁρμονίαν οὐκ ἐδύναντο » οὐκέτι. Ὁ τοίνυν θεὸς ἀφικνεῖται, καὶ τοῖς μὲν ἐχαλέπηνεν, ὅτι » ἄρα *ἐπέθεντο ἔργῳ δυνατωτέρῳ τῆς ἑαυτῶν σοφίας*· αὐτὸς δὲ » ἁμάχῳ τινὶ καὶ θείᾳ δυνάμει ἀπέδωκε τῷ σκήνει τὴν κεφαλήν, καὶ » τὴν ξένην ἀνέστησε». Τοῦτο δ' ἐπ' ἀκριβὲς τοῦ ἱστορικοῦ Ἵππυος τὸ διήγημα σαφῶς δείκνυσιν, ὁπόσον ἡ πίστις ἐπεκράτει, ὅτι ὁ θεὸς Ἀσκληπιὸς τοὺς πάσχοντας ἰᾶτο· ἀναντιρρήτως δ', ἔμοιγε δοκεῖ, ὁ θεραπεύων οὗτος θεὸς ἦν ὁ πρῶτος, ὡς ἔπος εἰπεῖν, καὶ μᾶλ-

λον πεπειραμένος ἰατρὸς καὶ διδάσκαλος, οἱ δὲ ζάκοροι οἱ τῷ θεῷ ὑποδρῶντες ἦσαν οἱ βοηθοὶ καὶ μαθηταὶ αὐτοῦ, οἳ ἀπόντος αὐτοῦ ἐνεχείρουν καὶ ἰῶντο τοὺς ἀρρώστους, ὡς καὶ νῦν γίνεται· εἰ γὰρ θεὸς τοὺς πάσχοντας ἴατο, τίν' ἂν εἶχε χρείαν ζακόρων καὶ ὑποδρώντων αὐτῷ καὶ ἐγχειρήσεων· θείᾳ γὰρ μόνῃ δυνάμει τοὺς ἀσθενεῖς ἰᾶσθαι οἷός τ' ἂν ἦν. Τί δ' ἂν ἄλλο σημαίνοι ἡ τοῦ θεοῦ μομφή, ὅτι οἱ ζάκοροι ἐπεχείρησαν ἔργῳ δυνατωτέρῳ τῆς ἑαυτῶν σοφίας, ἢ ὅτι οὐκ ἐπαρκῶς μὲν ἐπαιδεύθησαν τοιαύτας ἐγχειρήσεις ἐγχειρεῖν, ἐπιτέτραπται δ' αὐτοῖς ἄλλας ἰάσεις ποιεῖν, ἃς ἐξέμαθον; Ἐκ τῆς ἱστορίας δὲ ταύτης τοῦ ἐκ Ῥηγίου Ἵππυος μανθάνομεν ὅτι καὶ πρὸ τοῦ Ἱπποκράτους ἐπὶ τῶν Περσικῶν πολέμων καὶ ἄλλοι πλὴν τῶν Ἀσκληπιοῦ ἱερέων ἦσαν ἰατροί· τί γὰρ ἂν ἄλλο σημαίνοι τὸ ἰάσασθαι αὐτὴν ἀπὸ τῆς ἕλμινθος ἀπεῖπον *οἱ τῶν ἰατρῶν δεινοὶ* ἢ ἰατροὺς ἐκτὸς τῶν Ἀσκληπιείων; ἐν γὰρ τοῖς Ἀσκληπιείοις καὶ ὑπὸ τοῦ ἱστορικοῦ πιστεύεται ὅτι ὁ θεὸς τοὺς ἀρρώστους ἰᾶται.

Ἐν τοῖς μετέπειτα δὲ χρόνοις (300 π. Χ.) οἱ ἱερεῖς τὸ ἱστορικὸν τοῦτο γεγονὸς ἐπὶ τὸ θαυτουργικώτερον κατὰ τὸ συμφέρον αὐτοῖς μετέβαλον, ὡς ἐπὶ τῆς δευτέρας ἀνακαλυφθείσης στήλης ἐπιγέγραπται Ἐφημερίδι ἀρχαιολογικῇ 1885. 15,10·

Ἀριστ[αγόρα τροζ]ηνία. Αὗτα ἕλμιθα ἔχουσα ἐν ταῖ κοιλίαι ἐνεκάθευδε ἐν Τροζ[ῆνι, ἐν τῶι] τοῦ Ἀσκλαπιοῦ τεμένει, καὶ ἐνύπνιον εἶδε. Ἐδόκει οὗ τοὺς υἱ[ούς, τοῦ θ]εοῦ οὐκ ἐπιδαμοῦντος αὐτοῦ ἀλλ' ἐν Ἐπιδαύρωι ἐόντος, τὰγ κεφα[λὰν ἀπο]ταμεῖν, οὐ δυναμένους δ' ἐπιθέμεν πάλιν π[έ]μψαι τινὰ ποὶ τὸν Ἀσκλ[απιόν, ὅ]πως μόλοι. Μεταξὺ δὲ ἁμέρα ἐπικαταλαμβάνει καὶ ὁ ἰαρρεὺς ὁρῇι [ὕπαρ τ]ὰν κεφαλὰν ἀφαιρημέναν ἀπὸ τοῦ σώματος. Τᾶς ἐφερπούσας δὲ νυκτ[ὸς Ἀρ]ισταγόρα ὄψιν εἶδε, ἐδόκει οἱ ὁ θεός, ἰκὼν ἐξ Ἐπιδαύρου, [ἐ]πιθεὶς τ[ὰγ κε]φαλὰν ἐπὶ [τὸ]ν τράχαλον, μετὰ ταῦτα ἀνσχίσσας τὰγ κοιλ[ί]-[αν] τὰν αὐτ[ᾶς ἐξ]ελε[ῖ]ν τὰν ἕ[λμ]ιθα καὶ συρράψαι πάλιν· καὶ ἐκ τούτου ὑγιὴς ἐγένετο.

Ὅτι μὲν δὴ τὸ αὐτὸ εἴη ἴαμα τό τ' ὑφ' Ἵππυος ἱστορούμενον καὶ τὸ ἐπὶ τοῦ πίνακος ἐπιγεγραμμένον, εἰ καὶ διαφόρως πως ἐκτίθεται, οἷόν τ' ἂν εἴη, ἔμοιγε δοκεῖ, ἔκ τε τοῦ πάθους καὶ τοῦ τῆς ἐγχειρήσεως τρόπου ἰσχυρίσασθαι. Ἀλλ' οἷα διαφορὰ μεταξὺ τῆς ἱστορίας τοῦ Ἵππυος, τῇ ἀληθείᾳ προσεγγιζούσης, εἰ *θεὸς* εἴη ὁ πρῶτος καὶ ἔμπειρος τοῦ Ἀσκληπιείου ἰατρός, καὶ τοῦ ἐπιγεγραμμένου ὑπὸ τῶν ἱερέων ἰάματος, θαύματι προσομοιάζοντος! Πιθανὸν δ' ἂν εἴη ἐν

ὕπνῳ ναρκωτικῷ ἢ ἐν ὑπνωδίᾳ τὴν χειρουργίαν γενέσθαι ὑπό τε τῶν βοηθῶν καὶ ὑπ' αὐτοῦ τοῦ ἀρχιάτρου τοῦ Ἀσκληπιείου· τί γὰρ ἂν εἴη τὸ ἐν ἐνυπνίῳ ἢ ὄψει δοκεῖν Ἀρισταγόρᾳ τόν τε θεὸν καὶ τοὺς αὐτοῦ υἱοὺς χειρουργεῖν, περὶ οὗ ὁ ἱστορικὸς ὁ Ῥηγῖνος οὐδὲν ἡμῖν λέγει; Ὅτι δὲ χειρουργίαι ἐν τοῖς ἱερεῖς ἐγίγνοντο τεκμήριον ἔστω καὶ τὸ ἀνατεθειμένον τῷ ἐν Δελφοῖς ἱερῷ τοῦ Ἀπόλλωνος μολύβδινον *ὀδονταγωγὸν* κατὰ τὴν Ἐρασιστράτου μαρτυρίαν, ὡς Κοίλιος Αὐρηλιανὸς λέγει ἐν τῷ περὶ χρονίων νόσων 2,4.

Τίς δ' οἶδεν, εἰ αἱ ἐν τῷ *ἐγκαθεύδειν* καὶ *ὄψιν* ἢ *ἐνύπνιον ἰδεῖν* δοκοῦσαι αὗται ἰάσεις ὄντως ἐν τοῖς Ἀσκληπιείοις ἐν ὕπνῳ ναρκωτικῷ ἢ ἐν *ὑπνωδίᾳ* γίγνοιντο, ἢ ὑπνωτισμός τε καὶ ζωϊκὸς μαγνητισμὸς λέγεται; Καὶ παρ' Ὁμήρῳ δ' ἤδη γνωστὰ οὐ μόνον ἡ τοπική τε καὶ γενικὴ νάρκωσις, ἀλλὰ καὶ ἡ ὑπνωδία φαίνονται· καὶ γὰρ ὅ τε Παιήων *ὀδυνήφατα φάρμακα* ἐπὶ τῆς πληγῆς Ἄιδου καὶ Ἄρεος ἐπιπάττων τὰς ὀδύνας ἐπαύσατο καὶ τάχιστ' ἰάσατο Ε 401.900, Πάτροκλός τε ἐπὶ τοῦ ἕλκους τοῦ Εὐρυπύλου *ἤπια φάρμακα, ῥίζαν πικρὴν ὀδυνήφατον*, ἐπέβαλεν, ἣ αὐτῷ ἀπάσας ἔσχε τὰς ὀδύνας Λ 846. Ἑλένη δ' αὖ ὑπὸ Πολυδάμνης Αἰγυπτίας διδαχθεῖσα ἐνέβαλεν εἰς τὸν οἶνον, ὃν Τηλέμαχος καὶ οἱ συνδαίτορες ἔπινον, φάρμακον δ 221·

νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.

Τί δ' ἄλλ' ἂν εἴη τὸ ἐν οἴνῳ πινόμενον νηπενθὲς φάρμακον ἢ τὸ νῦν χασίσιον ἢ ἕτερόν τι ναρκωτικὸν ἢ λύπης πραϋντικὸν ἢ ὀνείρων ἡδέων παραγωγικόν; Τί δ' ἂν εἶεν ἃ τῷ σίτῳ Κίρκη ἀνέμισγε κ, 236·

φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης;

Τί δὲ τὸ ἀντιφάρμακον τούτων μῶλυ, ὃ Ἑρμῆς Ὀδυσσεῖ ἔδωκε; Τί δ' ἡ μαγικὴ τῆς Κίρκης ῥάβδος κ 238.389, ᾗ τοὺς Ὀδυσσέως ἑταίρους πλήξασα εἰς σῦς μετέβαλεν, αὖθις δ' αὖ ἄνδρες ἐγένοντο; Τί δ' ἡ Ἀθηνᾶς μαγικὴ ῥάβδος; Τί δὲ τὰ θαύματα τοῦ ἄντρου τοῦ Τροφωνίου, καὶ τὰ φαινόμενα τῆς ἐκτάκτου ὀξύτητος τῆς ὁράσεως καὶ τῆς ἀκοῆς καὶ τῆς διανοίας τά τ' ἐν τῷ ἄντρῳ τοῦ Τροφωνίου καὶ ἐν τοῖς Ἀσκληπιείοις; Καὶ Ἰάμβλιχος δέ φησιν ἐν τῷ *Περὶ μυστηρίων λόγῳ* 3,2, τῶν θεοπέμπτων ὀνείρων οἰχομένων, ἀκούειν τὸν ἐγκοιμώμενον φωνῆς συντόμου, ἢ τὸ πρὸς ἴασιν ποιητέον διδάσκει· καὶ ποτὲ μὲν πνεῦμα ἀσώματον καὶ ἀόρατον τοὺς ἐγκοιμωμένους κύκλῳ περιβάλλειν καὶ ἔργα θαυμαστὰ πρὸς ἴασιν ψυχικῶν τε καὶ

σωματικῶν παθῶν ἀπεργάζεσθαι· ἄλλοτε δὲ λαμπρᾶς αὐγῆς καὶ μαρμαρυγῆς ἐπιλαμπούσης, τὰ μὲν ὄμματα συμμύει, φησί, αἱ δὲ ἄλλαι αἰσθήσεις διεγηγερμέναι τυγχάνουσι καὶ ὁ νοῦς ὀξύτερον ἀντιλαμβάνεται, ὥσθ' ὅσα τε λέγουσι θεοὶ ἀκούειν καὶ ὅσα δρῶσιν εἰδέναι· δοκεῖ δὲ τῷ ἐγκοιμωμένῳ τὰ τοιαῦτα ὁρᾶν τε καὶ ἀκούειν καὶ αἰσθάνεσθαι ἅμα τῇ ἐγρηγόρσει ἢ ἐν τῷ μεταξὺ ὕπνου καὶ ἐγρηγόρσεως. Πάντα δὲ τὰ φαινόμενα ταῦτα ἀναγκαίως ἀναφέρει τὸν νοῦν εἰς τὴν *ὑπνωδίαν* ἢ τὸν ζωϊκὸν λεγόμενον μαγνητισμόν, οἷον ἡ τῶν αἰσθήσεων διέγερσις καὶ τοῦ νοῦ, ὅ τε ὕπνος καὶ ἡ τῶν ὀμμάτων κατοχὴ ἢ μύσις καὶ ἡ κάρῳ προσφερὴς κατάληψις καὶ ἡ μεταξὺ ὕπνου τε καὶ ἐγρηγόρσεως κατάστασις καὶ ἡ ἄρτι ἢ παντελὴς ἐγρήγορσις. Τοιαῦταί δέ τινες καὶ αἱ τοῦ Τιμάρχου ὄψεις, ἃς ἐν τῷ μαντείῳ τοῦ Τροφωνίου ὁρᾶν αὐτῷ ἐδόκει· τὴν γὰρ ὄψιν οὕτως ὀξεῖαν καὶ τὸν νοῦν οὕτως ἀντιληπτικὸν φαίνεται γίγνεσθαι, ὥστε δοκεῖν τοῖς εἰσιοῦσι τά τ' ἔγκατα καὶ πάσας τῆς γῆς τὰς χώρας καὶ πάσας τὰς νήσους ἐν μαγικῇ ὁρᾶν λαμπρότητι, δαιμόνια δὲ τὰ ὕψιστα τῆς γνώσεως θεωρήματα διδάσκειν, ὡς φησι Πλούταρχος ἐν τῷ *Περὶ τοῦ Σωκράτους δαιμονίου* 22.590.

Ἐν τούτοις καὶ ἐν ἄλλοις, ἔμοιγε δοκεῖ, ναρκώσεως καὶ ὑπνωδίας ἢ ζωϊκοῦ λεγομένου μαγνητισμοῦ ἰδέα ὑπάρχει. Πιθανὸν δ' ἂν εἴη τοὺς Ἀσκληπιοῦ ἱερεῖς ἐν τοῖς Ἀσκληπιείοις ὕπνῳ ναρκωτικῷ ἢ ὑπνωδίᾳ πρὸ τῶν ἐγχειρήσεων καὶ φαρμάκων χρῆσθαι. Πῶς δ' οἷόν τ' ἂν ἦν ἐν ὄψει ἢ ἐνυπνίοις, δοκεῖν τοὺς πάσχοντας φαρμάκοις τομαῖς καὶ χειρουργίαις ὑγιεῖς γίγνεσθαι, ὡς ἐκ πολλῶν ἐπὶ τῶν πινάκων ἰαμάτων φανερόν, τὸν δὲ θεὸν λόγχας τε καὶ ἀκίδας καὶ βέλη ἐξαιρεῖν, τήν τε κοιλίαν καὶ τὸν ὀφθαλμὸν καὶ τὰ στήθη ἀνασχίσαι καὶ πάλιν συρράψαι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν καὶ αὖθις ἐπιθεῖναι, εἰ μὴ χειρουργίαις ἐν τοῖς Ἀσκληπιείοις οἱ ἱερεῖς ἰῶντο; Ἐν ἐγρηγόρσει δὲ κύων τῇ γλώττῃ ἰᾶται τὸν τοὺς ὀφθαλμοὺς πάσχοντα Θύσωνα καὶ παῖδα φῦμα ἐν τῷ τραχήλῳ ἔχοντα· αὕτη δ' ἡ μέθοδος καὶ νῦν ἔτι παρὰ τῷ λαῷ ἐν χρήσει ἐστίν, ὡς κατωτέρω λόγον ποιησόμεθα σελίδι 92 καὶ παῖς δ' ἄφωνος καὶ ὁ χωλὸς Νικάνωρ ἐν ἐγρηγόρσει ὑγιεῖς ἐγένοντο, ὡς ἀναγινώσκεται ἐν Ἐφημερίδι ἀρχαιολογικῇ 1883. 215 καὶ 1885. 15.

2 *Περὶ ὀφθαλμολογίας καὶ ὠτολογίας Ἀσκληπιοῦ.* Οὗ δὲ πέρι

κυρίως ἡμῖν ἐνταῦθα μέλει, ἴδωμεν, εἴ τι περὶ ἐπιστήμης ὀφθαλμῶν καὶ ὧτων καὶ περὶ ἀνατομῆς αὐτῶν Ἀσκληπιὸς ἐν τοῖς παλαιτάτοις ἐκείνοις τῶν Ἀργοναυτικῶν χρόνοις ἐδίδαξε. Καὶ Ὑγῖνος μὲν οὖν Ἀπόλλωνα πρῶτον ὀφθαλμικὴν ἰατρικὴν ἀσκῆσαι Ἀσκληπιὸν δὲ τὴν κλινικὴν εὑρεῖν φησιν ἐν Μύθοις 274. Ὁ δὲ μῦθος ὁ ἄλλως ἄλλοις ποιηταῖς πεποιημένος, ὅτι Ἀσκληπιὸς ἐκ νεκρῶν ἀνθρώπους ἀναστήσας ὑπὸ Διὸς ἐκεραυνώθη, εἰ μή τι ἄλλο, ἀλλά γε τὴν περὶ τὰ ἰατρικὰ ἔξοχον ἐμπειρίαν αὐτοῦ σαφῶς, ἔμοιγε δοκεῖ, δείκνυσι. Κεραυνώσεως δ' αἰτίαν τοῦ Ἀσκληπιοῦ Φύλαρχός φησιν, ὅτι τοὺς Φινέως, βασιλέως τῆς ἐν Θράκῃ Σαλμυδησσοῦ, καὶ Κλεοπάτρας υἱούς, Πλήξιππον καὶ Πανδίωνα, ὑπὸ τοῦ αὐτῶν πατρὸς διαβολαῖς τῆς μητρυιᾶς Ἰδαίας τυφλωθέντας, Ἀσκληπιὸς ἰάσατο, ὃς κατ' Ἀπολλώνιον τὸν Ρόδιον Ἀργοναύταις συνέπλει. Τὸ δ' ἐξορωρυγμένους ἰάσασθαι τοὺς ὀφθαλμοὺς τῶν Φινειδῶν Ἀσκληπιόν, κἂν μὴ ἀληθὲς τοῦτο, φανερόν γε μὴν καθίστησιν, ὅτι καὶ περὶ τὰ ὀφθαλμικὰ ἰατρικώτατος ἐνομίζετο. Τὰ δὲ περὶ τοῦ μύθου τούτου Σέξτος ὁ Ἐμπειρικὸς λέγει ἐν τῷ πρὸς Γραμματικοὺς Α, ιϐ. 271 καὶ Ἀπολλόδωρος Α, 9,21 καὶ Γ,15,2 καὶ Διόδωρος Δ,43,3. Ἀσκληπιὸς πρότερον Ἤπιος τοὔνομα ἐπεὶ Ἄσκλην τὸν Ἐπιδαύρου τύραννον ὀφθαλμιῶντα ἰάσατο, τούτου ἕνεκεν Ἀσκληπιὸς ἢ κατὰ Δημοσθένην Ἀσκλήπιος μετεκλήθη, ὡς Τζέτζης φησὶν ἐν Σχολίοις εἰς Λυκόφρονα 1054 καὶ ἐν Ἱστορικῇ ιζ'. τμθ' καὶ τὸ Ἐτυμολογικὸν μέγα 154,45 καὶ Εὐστάθιος 463 καὶ Ἀρκάδιος 40,25. Τοῦτο δ' αὖθις αὖ τεκμήριον, ὅτι Ἀσκληπιὸς καὶ περὶ τὰ ὀφθαλμικὰ ἐμπειρότατος ἐνομίζετο, εἴτ' ἀληθὲς εἴη ὡς τὴν Ἄσκλου ὀφθαλμίαν ἰάσαιτο εἴτε μῦθος καὶ τῶν μετέπειτα ἐπινόημα. Σουίδας δ' ἐν λέξει *Παύσωνι*, Αἰλιανοῦ δὲ τοῦτο εἶναι δοκεῖ, φησὶν ὡς ἄπορόν τινα ὀφθαλμὼ νοσοῦντα Ἀσκληπιὸς ἰάσατο ἐπιτάξας αὐτῷ ὄξει λῦσαι κάπρου πιμελὴν κἄτα τὼ ὀφθαλμὼ ὑπαλείψασθαι. Εἰ δ' Ἶρος καλοῖτο ὁ ὀφθαλμιῶν, ὃν Ἀσκληπιὸς ἰάσαιτο, ὡς αὖθις Σουίδας ἐν τῷ αὐτῷ τόπῳ φησίν· «ὁ Ἀσκληπιὸς Παύσωνα καὶ Ἶρον κἂν ἄλ-» λον τινὰ τῶν ἀπόρων ἰάσαιτο», εἰκότως ἂν ἔχοι τις εἰπεῖν, ὅτι ὁ πάνδημος πτωχὸς Ἰθάκης Ἀρναῖος τοὔνομα, Ἶρος δ' ἐπωνύμως μετακληθείς, ὥς φησιν Ὅμηρος, ὁ Ὀδυσσεῖ ἐν Ἰθάκῃ πυγμαχήσας γέρων ἀλήτης ἂν εἴη ὁ ὑπ' Ἀσκληπιοῦ τοὺς ὀφθαλμοὺς θεραπευθείς· καὶ γὰρ Ἶρος σύγχρονός που Ἀσκληπιῷ ἐγένετο σ 6·

Ἶρον δὲ νέοι κίκλησκον ἅπαντες
οὕνεκ' ἀπαγγέλλεσκε κιών, ὅτε πού τις ἀνώγοι.

Τὴν δὲ τελείαν ἰατρικὴν ἐπιστήμην καὶ ἃ περὶ ὀφθαλμικῶν καὶ ὠτικῶν παθῶν Ἀσκληπιὸς εὗρε τοὺς ἑαυτοῦ ἐκγόνους Ποδαλείριον καὶ Μαχάονα ἐδίδαξε, διαδοχικῶς δ' ἀλλήλοις οἱ Ἀσκληπιάδαι, οἱ λαϊκοὶ ἰατροί, μυστικῶς μετέδοσαν τὴν ἐν ἀνθρώποις ἰατρικὴν μέχρι τοῦ τὴν ἰατρικὴν ἀναπλάσαντος καὶ φανερώσαντος Ἱπποκράτους. Ἐν τοῖς Ἱπποκρατείοις ἄρα βιβλίοις ἡ φυσικὴ ἰατρική, ἣν παρ' Ἀσκληπιοῦ οἱ Ἀσκληπιάδαι διεδέξαντο, συμπεριείληπται. Τὴν δ' ὑπεράνθρωπον ἤτοι ἀληθῶς θείαν ἰατρικὴν αὐτὸν τὸν θεὸν Ἀσκληπιὸν ἐν τοῖς Ἀσκληπιείοις ἀσκεῖν ἐνομίζετο. Ἐπεὶ δῆλα δὴ Ἀσκληπιὸς ἐθεοποιήθη καὶ ἱερὰ ἵδρυται αὐτῷ, ἱερεῖς ἢ ὑπηρέται τοῦ θεοῦ ἐν τοῖς ναοῖς ὑπῆρχον τὴν Ἀσκληπιοῦ ἰατρικὴν καὶ οὗτοι μεμαθηκότες καὶ ἐν τοῖς ἱεροῖς αὐτὴν ἀσκοῦντες θείᾳ δυνάμει· ἐπεπίστευτο δ' ὁ θεὸς τὴν ἐμφάνειαν ποιούμενος ἰᾶσθαι τοὺς πάσχοντας, οὓς ἡ ἐν ἀνθρώποις ἰατρικὴ τῶν Ἀσκληπιαδῶν οὐχ οἵη τ' ἂν ἦν ἰάσασθαι· ὥστ' εἴ τι ἐν τοῖς Ἀσκληπιείοις ἐπὶ τῶν στηλῶν ἐπιγέγραπται ὀφθαλμικὸν καὶ ὠτικόν, τοῦτο Ἀσκληπιοῦ, ἔμοιγε δοκεῖ, ὡς ἐπὶ τὸ πολὺ ἂν εἴη εὕρημα· οἱ γὰρ Ἀσκληπιοῦ ὑπηρέται ἢ ἱερεῖς διὰ τὴν πρὸς τὸν θεὸν τιμὴν οὐδὲν γενναῖον δοκοῦσιν ἐπιχειρῆσαι εὑρεῖν, οὐδ' ἐξῆν αὐτοῖς νέον τι ἐπινοῆσαι ἀσεβοῦσι πρὸς τὸ τέλειον καὶ θεῖον τῆς ἰατρικῆς, πρὸς τὰ θεῖα Ἀσκληπιοῦ διδάγματα· θεὸς γὰρ τὴν ἐμφάνειαν ἐν τοῖς ἱεροῖς ποιούμενος τοὺς κάμνοντας ἰᾶσθαι ἐνομίζετο. Πολλὰ δ' ὀφθαλμικὰ καὶ ἄλλα ἰάματα ἐν τε ταῖς ἀνασκαφείσαις πλαξὶ τοῦ τῆς Ἐπιδαύρου Ἀσκληπιείου ἐπιγέγραπται καὶ ποιηταῖς καὶ ἱστορικοῖς μνημονεύεται.

Καὶ Ἀριστοφάνης μὲν ἐν Πλούτῳ 716-747 τὰ τοῦ Ἀσκληπιείου Ἐπιδαύρου διακωμῳδῶν διδάσκει ἡμᾶς οὐχ' ἧττον ἀκριβῶς δύο ὀφθαλμικῆς ἰάσεως τρόπους, οἷς ἐν Ἐπιδαύρῳ οἱ ἱερεῖς ἐχρῶντο καὶ οὓς Ἀσκληπιὸς δοκεῖ πρῶτος διδάξαι εἴτ' αὐτὸς εὑρὼν εἴτε παρ' ἄλλων μαθών. Εἰσὶ δ' ἡ Νεοκλείδου διὰ δριμέων θεραπεία καὶ ἡ τοῦ Πλούτου ἴασις τῷ λείχειν τοὺς ὀφθαλμούς.

Καὶ πρῶτον *περὶ τῆς διὰ δριμέων θεραπείας* τῶν Νεοκλείδου ὀφθαλμῶν ἔστω ἡμῖν ὁ λόγος. Τὸν μὲν Νεοκλείδην, ῥήτορα μὲν Ἀθηναῖον, ἀλλὰ κλέπτην τῶν δημοσίων, μᾶλλον τυφλὸν ἐποίησεν ὁ θεὸς

τῇδε χρησάμενος τῇ θεραπείᾳ, καθ' ἃ Ἀριστοφάνης διακεκωμῴδηκεν ἐν Πλούτῳ 716· ἔτριψεν ἐν ἰγδίῳ καὶ παρεσκεύασε φάρμακον καταπλαστὸν δριμύτατον, τούτῳ δὲ τὰ Νεοκλείδου βλέφαρα ἐκστρέψας κατέπλασεν. Τὸ δὲ φάρμακον ὧδε Ἀσκληπιὸς παρεσκεύασεν. Ἐμβαλὼν τρεῖς Τηνίων σκορόδων κεφαλὰς ἐν ἰγδίῳ συνέτριβε συμπαραμιγνύων ὀπὸν σιλφίου καὶ σκίλλαν, εἶτα δ' ὄξει ἐγχυματίσας Σφηττίῳ δριμυτάτῳ τὸ τῶν βλεφάρων κατάπλασμα Νεοκλείδῃ ἐποιήσατο. Ἐν χρήσει δὲ παρὰ τῷ λαῷ καὶ νῦν ἔτι τό τε σκόροδον καὶ κρόμμυον καὶ ὀπὸς σιλφίου καὶ σκίλλα καὶ ἄλλα δριμέα εἰς ἴασιν ὀφθαλμικῶν παθῶν.

Καὶ ἐν μὲν τοῖς Σχολείοις Ἀριστοφάνους ὀπὸς οὐκ ὀρθῶς, ἔμοιγε δοκεῖ, γάλα σκίλλης ἡρμήνευται· ὡς γὰρ Θεόφραστός φησιν ἐν τῷ Περὶ φυτῶν ἱστορίας I, α, 4, ὁ ὀπὸς καλούμενος τοῦ σιλφίου δάκρυόν ἐστι. Καὶ κατὰ Γαληνὸν δὲ *πρωτεύων* ὀπὸς ὁ τοῦ σιλφίου ἐστὶν ἢ ὅπερ ταὐτὸν ὁ Κυρηναῖος ὀπός, ὡς ἐξ ἄλλων τε πολλῶν Γαληνοῦ χωρίων φανερὸν καὶ ἐκ τῶν 12,90 καὶ 13,567. *Ὀπὸν* ἁπλῶς τὸν τοῦ σιλφίου λέγει καὶ Ἱπποκράτης κατὰ Γαληνὸν 19,126. «Ὀπὸς τοῦ σιλφίου κατ' ἐξοχήν, ὥσπερ καὶ καυλός· καλεῖ δὲ σίλφιον τὴν ῥίζαν μόνην». Τὸν σιλφίου μέντοι ὀπὸν καὶ Διοσκορίδης δριμὺν μὲν ὀξυδερκίας δὲ ποιητικὸν εἶναί φησι Γ, ιδ.

Τούτῳ οὖν τῷ ὀπῷ, τῷ τοῦ σιλφίου, ὡς ἐγῷμαι, Ἀσκληπιὸς ἐχρήσατο, ἵνα τὸ ὀφθαλμικὸν κατάπλασμα παρασκευάσῃ, καὶ οὐχὶ τῷ τῆς σκίλλης ὀπῷ. Καὶ φανερὸν μὲν ὅτι διακωμῳδῶν Ἀριστοφάνης τὴν τοῦ ὀφθαλμικοῦ καταπλάσματος σύνθεσιν ἐκ πάντων τῶν δριμέων ποιεῖται, ἀλλὰ μὴν πιθανόν, δοκεῖ μοι, τοιαύτῃ τινὶ ἐκτρωτικῇ διὰ δριμέων θεραπείᾳ οὐ μὴν ἀλλὰ καὶ τοιούτῳ ὀφθαλμικῷ ἐκ δριμέων καταπλάσματι χρῆσθαι τοὺς Ἀσκληπιοῦ ἱερεῖς πρὸς ἴασιν ὀφθαλμικῶν παθῶν· καὶ νῦν γὰρ ἔτι παρὰ τῷ λαῷ τοιαύτη τις ὀφθαλμῶν θεραπεία ὑφίσταται, ἑνὸς ἢ πολλῶν δριμέων ἐν ταὐτῷ συμμιγνυμένων.

Ἡ δ' ἑτέρα Ἀσκληπιοῦ θεραπεία, ἡ *τῷ λείχειν τοῦ Πλούτου ἴασις*, ἀπὸ Μελάμποδος τὴν ἀρχὴν ἔχειν δοκεῖ, ὡς ἄνω μοι εἴρηται σελίδι 62-63, καὶ νῦν δ' ἔτι παρὰ τῷ λαῷ ἐν χρήσει ἐστίν. Ὧδε δ' Ἀριστοφάνης τὸν τοῦ λείχειν τρόπον διακωμῳδῶν περιγράφει Πλούτῳ 727· ὁ Ἀσκληπιὸς παρακαθεσθεὶς τῷ Πλούτῳ πρῶτον μὲν τῆς

κεφαλῆς αὐτοῦ ἐφήψατο, ἔπειτα δὲ καθαρὸν ῥάκος λαβὼν τὰ βλέφαρα περιεσπόγγισεν· ἡ δὲ Πανάκεια τήν τε κεφαλὴν τοῦ ὀφθαλμιῶντος καὶ πᾶν τὸ πρόσωπον φοινικίδι κατεπέτασε. Δύο δὲ μεγάλοι δράκοντες ὑπὸ τὴν φοινικίδα ὑπεισδύσαντες ἡσύχως τὰ βλέφαρα περιέλειχον· ὁ δὲ Πλοῦτος ἐν βραχεῖ τούτῳ τῷ τρόπῳ ἀνέβλεψε. Τὸ δ' ὀφθαλμικὸν τοῦ Πλούτου πάθος Ἀριστοφάνης ῥητῶς τε *ὀφθαλμίαν* λέγει 115·

ταύτης ἀπαλλάξειν σε τῆς ὀφθαλμίας,
βλέψαι ποιήσας·

καὶ τὸ τῆς *λήμης* σύμπτωμα ὀφθαλμίαν παρίστησιν· ὁ γὰρ Ἀσκληπιὸς καθαρὸν ῥάκος λαβὼν τὰ βλέφαρα περιεσπόγγισεν 729, ὃ οὐκ ἂν ἐποίει, εἰ μὴ λημῶντες ἦσαν οἱ ὀφθαλμοί.

Τὸ δὲ τῇ εἰς τὸν κηρὸν προσβλέψει ὀφθαλμικὸν ἴαμα, οὐ Παυσανίας μέμνηται, εἴη μὲν ἂν καὶ φυσικῶς ἐξηγήσασθαι ὡς τῇ τοῦ χρώματος τοῦ κηροῦ δράσει ἐπὶ τὸν πάσχοντα ὀφθαλμὸν γενόμενον, ἀλλὰ μὴν θαύματι μᾶλλον προσομοιάζει. Ὅτι δὲ χρηματισμοῦ χάριν θαύμασι τὰς ἰατρικὰς ἰάσεις οἱ Ἀσκληπιοῦ ἱερεῖς περιέβαλλον, δείκνυσι καὶ τοῦτο τὸ ἴαμα ἤτοι ἡ τῶν πασχόντων ὀφθαλμῶν ἴασις τοῦ Φαλυσίου, ὃς οὐ μάνον ἰατρα στατῆρας δισχιλίους χρυσοῦ ἤτοι περὶ τὰς ἑξηκοντάκις χιλίας δραχμὰς ἔδωκε διὰ τῆς ποιητρίας Ἀνύττης Ἀσκληπιῷ ἢ μᾶλλον εἰπεῖν τῷ ἱερεῖ αὐτοῦ, ἀλλὰ καὶ ἱερὸν αὐτῷ ἐν Ναυπάκτῳ ἱδρύσατο. Ἄνευ δὲ φαρμάκου καὶ χειρουργίας ἀλλ' ἁπλῶς εἰς τὸν κηρὸν ἰδὼν τῆς δέλτου, ἣν ὁ θεὸς δι' Ἀνύτης ἔπεμψεν, ὑγιὴς ἐγένετο τοὺς ὀφθαλμούς. Τὸ δ' ἴαμα τοῦτο μετὰ τὴν ὑφ' Ἱπποκράτους τῆς ἰατρικῆς φανέρωσιν περὶ τὸ 300 π. Χ. ἐγένετο, ὅτε τά τε ἰάματα κατὰ Καββαδίαν ἐπιγέγραπται καὶ ἡ ποιήτρια Ἀνύτη ἤκμαζεν, ὥστ' εἰκότως οὐχὶ φαρμάκοις οὐδὲ τομαῖς, ὡς ἡ Ἱπποκράτους ἰατρικὴ ἐποίει, ἀλλὰ τῇ εἰς τὸν κηρὸν προσβλέψει πρὸς δόξαν τοῦ θεοῦ *χρυσοῦ στατήρων δισχιλίων* ἡ ἴασις ἐγένετο. Παυσανίας δὲ τὸ ἴαμα ἡμῖν τοῦτο διεφύλαξεν, ὧδε λέγων I, 38,13· «Τοῦ δὲ » Ἀσκληπιοῦ τὸ ἱερὸν ἐρείπια ἦν [τὸ ἐν Ναυπάκτῳ]· ἐξ ἀρχῆς δὲ » ᾠκοδόμησεν αὐτὸ ἀνὴρ ἰδιώτης Φαλύσιος. Νοσήσαντι γὰρ οἱ τοὺς » ὀφθαλμοὺς καὶ οὐ πολὺ ἀποδέον τυφλῷ, ὁ ἐν Ἐπιδαύρῳ πέμπει » θεὸς Ἀνύτην τὴν ποιήσασαν τὰ ἔπη φέρουσαν σεσημασμένην δέλ» τον· τοῦτο ἐφάνη τῇ γυναικὶ ὄψις ὀνείρατος, ὕπαρ μέντοι ἦν αὐ·

» τίκα· καὶ εὑρέ τε ἐν ταῖς χερσὶ ταῖς αὐτῆς σεσημασμένην δέλτον » καὶ πλεύσασα εἰς τὴν Ναύπακτον ἐκέλευσεν ἀφελόντα τὴν σφρα- » γῖδα Φαλύσιον ἐπιλέγεσθαι τὰ γεγραμμένα· τῷ δὲ ἄλλως μὲν οὐ » δυνατὰ ἐφαίνετο ἰδεῖν τὰ γράμματα ἔχοντι οὕτω τῶν ὀφθαλμῶν· » ἐλπίζων δέ τι ἐκ τοῦ Ἀσκληπιοῦ χρηστὸν ἀφαιρεῖ τὴν σφραγῖδα, » καὶ ἰδὼν ἐς τὸν κηρὸν ὑγιής τε ἦν καὶ δίδωσι τῇ Ἀνύτῃ τὸ ἐν τῇ » δέλτῳ γεγραμμένον, στατῆρας δισχιλίους χρυσοῦ ».

Καὶ ἐξορυχθέντος δ' ὀφθαλμοῦ τὸ ἀδύνατον τῆς ἰάσεως εὖ οἶδεν ὅ τ' Ἀσκληπιὸς καὶ οἱ αὐτοῦ ἱερεῖς. Ἐν γὰρ τῷ ἐν Αἰγαῖς Ἀσκληπιοῦ ἱερῷ ἀνὴρ πλουσιώτατος ἐκ Κιλικίας πολλὰ θύων τε καὶ ἀνατιθεὶς τῷ θεῷ καὶ πλείονα ὑπισχνούμενος ἱκέτευε τὸν θεὸν ἀποδοῦναι οἱ τὸν ἕτερον τῶν ὀφθαλμῶν ἐξερρυηκότα. Τὸ δ' ἀδύνατον τῆς ἰάσεως ἐκκοπέντος καὶ ἐξερρυηκότος ὀφθαλμοῦ εὖ εἰδὼς ὁ Ἀσκληπιοῦ ἱερεὺς τῷδε τῷ τρόπῳ τὸ τῆς ἰάσεως ἀδύνατον ἐδικαιολόγησε, δυνατὴν τῷ θεῷ, εἰ ἐθέλοι βουλόμενος καὶ τὴν παρὰ φύσιν ταύτην ἴασιν παραστῆσαι, καθ' ἃ Φιλόστρατος λέγει ἐν Τοῖς ἐς τὸν Τυανέα Ἀπολλώνιον Α, 10· «ὁ δ' Ἀσκληπιὸς ἐπιστὰς νύκτωρ τῷ ἱερεῖ «ἀπίτω» » ἔφη, «ὁ δεῖνα τὰ ἑαυτοῦ ἔχων· ἄξιος γὰρ μηδὲ τὸν ἕτερον τῶν » ὀφθαλμῶν ἔχειν». Ἀναμανθάνων οὖν ὁ ἱερεὺς τὸν ἄνθρωπον, γυνὴ » μὲν τῷ Κίλικι τούτῳ ἐγεγόνει θυγατέρα ἔχουσα προτέρων γάμων, » ὁ δ' ἦρα τῆς κόρης καὶ ἀκολάστως εἶχε, ξυνῆν τ' οὐδ' ὡς λαθεῖν· » ἐπιστᾶσα γὰρ ἡ μήτηρ τῇ εὐνῇ τῆς μὲν ἄμφω, τοῦ δὲ τὸν ἕτερον » τῶν ὀφθαλμῶν ἐξέκοψεν ἐναράξασα τὰς περόνας ». Ἆρ' οὐχ ὅτι οὐκ ἠδύνατο ἀλλ' ὅτι οὐκ ἐβούλετ' ὁ θεὸς μιαρὸν καὶ ἐν ἀκολασίᾳ τυφλωθέντα ἰάσασθαι. Ἐπεὶ δὲ ζῶντος καὶ παρόντος Ἀπολλωνίου τοῦ Τυανέως φιλοσόφου, ὃς ἐπὶ τὸν τοῦ Πυθαγόρου βίον καὶ φιλοσοφίαν ὥρμησε, ἤτοι κατὰ τὸν πρῶτον μετὰ Χριστὸν αἰῶνα ἐγένετο τοῦτο, φανερὸν ὅτι καὶ ἐν τοῖς χρόνοις τούτοις οἱ ἱερεῖς Ἀσκληπιοῦ περὶ τὰ ἰατρικὰ ἐντριβεῖς πως ἦσαν (ἴσασι γὰρ ἐκκοπέντα καὶ ἐξερρυηκότα ὀφθαλμὸν οὐχ οἷοί τ' εἶναι ἰάσασθαι), εἰ καὶ ἡ τῶν Ἀσκληπιείων θαυματοποιία καιρίως ἐπλήγη ἐξ οὗ χρόνου Ἱπποκράτης τὴν ἰατρικὴν ἐφανέρωσε.

Ὡς δέ φησιν Ἀέτιος Ζ, ριη, ὁ αὐτοκράτωρ Ἀδριανὸς ἐν Ἐφέσου ἱερῷ *ὀφθαλμικὸν* εὗρηκε *κολλύριον* ἀναγεγραμμένον, ὃ χρυσο-

χόος τῷ ναῷ ἀνέθετο· τοῦτο δὲ τὰ δεινότατα ὀφθαλμικὰ πάθη ἰάσασθαι οἷόν τ' εἶναι, ἃ θεραπεῦσαι ἀπεῖπον οἱ τῶν ἰατρῶν δεινοί.

Ἄγε δὲ νῦν εἴπωμεν περὶ τῶν ὀφθαλμικῶν τε καὶ ὠτικῶν ἰαμάτων τῆς Ἐπιδαύρου καὶ ἄλλων τινῶν ἡμῖν χρησίμων.

Καὶ ἐπὶ μὲν τῆς πρῶτον ἀνακαλυφθείσης στήλης ἐπιγέγραπται πέντε ὀφθαλμικὰ ἰάματα καὶ ἓν ὠτικόν, πρὸς δὲ καὶ ἓν ἴαμα, καθ' ὃ ἄγριον ἕλκος τοῦ τοῦ ποδὸς δακτύλου ὄφις τῇ γλώττῃ ἰάσατο· ταῦτα δ' ἀναγινώσκεται ἐν Ἐφημερίδι ἀρχαιολογικῇ 1883. 211-216·

α'. 33. Ἀμβροσία ἐξ Ἀθανᾶν
[ἀτερό]πτ[ι]λλος. Αὕτα ἱκέτ[ις] ἦλθε ποὶ τὸν θεόν, περιέρπουσα δὲ
[κατὰ τ]ὸ [ἱα]ρόν τῶν ἰαμάτων τ[ι]νὰ διεγέλα ὡς ἀπίθανα καὶ ἀδύνα-
[τα ἐόν]τα χωλοὺς καὶ τυφλοὺς ὑγιεῖς γίνεσθαι ἐνύπνιον ἰδόν-
[τας μό]νον, ἐγκαθεύδουσα δὲ ὄψιν εἶδε, ἐδόκει οἱ ὁ θεὸς ἐπιστὰς
[εἰπεῖν], ὅτ[ι] ὑγιῆ μέν νιν ποιήσοι, μισθὸμ μάντοι νιν δεήσοι ἀν-
[θέμεν ε]ἰς τὸ ἱαρόν ὃν ἀργύρεον, ὑπόμναμα τᾶς ἀμαθίας, εἶπαν-
[τα δὲ ταῦτα;] ἀνοχίσσαι οὖ τὸν ὀπτίλλον τὸν νοσοῦντα καὶ φάρμ[α]-
[κόν τι ἐγχέ]αι. Ἀμέρας δὲ γενομένας, ὑγιὴς ἐξῆλθε.

β'. 41 Παῖς ἄφωνος [ἦ]
[κετας ἀφίκ]ετο εἰς τὸ ἱαρὸν ὑ[πὲ]ρ φωνᾶς, ὡς δὲ προεθύσατο καὶ
[ἐπόησε τὰ] νομιζόμενα, μετὰ τοῦτο ὁ παῖς ὁ τῶι θεῶι πυρφορῶν
. . . . . [πο]ὶ τὸμ πατέρα τὸν τοῦ παιδὸς ποτιβλέψας « ὑποδέκεσ',
[ἔφα, ἐντὸς ἐ]νιαυτοῦ, τυχόντα ἐφ' ἃ πάρεστι, ἀποθύσειν τὰ ἴατρα; »
[ὁ δὲ παῖς ἐξ]απίνας « ὑποδέκομαι », ἔφα· ὁ δὲ πατὴρ ἐκπλαγεὶς πάλιν
[ἐκέλετο αὐ]τὸν εἰπεῖν, ὁ δ' ἔλεγε πάλιν καὶ ἐκ τούτου ὑγιὴς ἐγένετο.

γ'. 72. Ἀνὴρ ἀφίκετο ποὶ τὸν θεὸν ἱκέτας ἀτερόπτιλος οὕτως, ὥστε τὰ βλέφαρα μόνον ἔχειν, ἐνεῖμεν δ' ἐν αὐτοῖς μηθέν, ἀλλὰ κενέα εἶμεν ὅλως. Ἔλεγον δή τινες τῶν ἐν τῷ ἱαρῷ τὰν εὐηθίαν αὐτοῦ τὸ νομίζειν βλεψεῖσθαι ὅλως μηδεμίαν ὑπαρχὰν ἔχοντος ὀπτίλλου, ἀλλ' ἢ χώραμ μόνον. Ἐγκαθ[εύδον]τι οὖν αὐτῶι ὄψις ἐφάνη, ἐδόκει τὸν θεὸν ἐφῆσαί τι φά[ρμακον ἔπε]ιτα διαγαγόντα τὰ βλέφαρα ἐγχέαι εἰς αὐτά. Ἀμέρ[ας δὲ γενομέν]ας, βλέπων ἀμφοῖν ἐξῆλθε.

δ'. 90. Αἰσχίνας, ἐγκεκοιμισμένων ἤδη τῶν ἱκετᾶν, ἐπὶ δένδρεόν τι ἀμβὰς ὑπερέκυπτε εἰς τὸ ἄβατον· καταπετὼν οὖν ἀπὸ τοῦ δένδρεος περὶ σκόλοπάς τινας τοὺς ὀπτίλλους ἀμφέπαισε, κακῶς δὲ διακείμενος καὶ τυφλὸς γεγενημένος καθικετεύσας τὸν θεὸν ἐνεκάθευδε καὶ ὑγιὴς ἐγένετο.

έ. 113. Ἀνὴρ δάκτυλον ἰάθη ὑπὸ ὄφιος. Οὗτος τὸν τοῦ ποδὸς δάκτυλον ὑπὸ τοῦ ἀγρίου ἕλκεος δεινῶς διακείμενος μεθάμερα ὑπὸ τῶν θεραπόντων ἐξενειχθεὶς ἐπὶ ἑδράματός τινος κάθιζε· ὕπνου δέ νιν λαβόντος, ἐν τούτῳ δράκων ἐκ τοῦ ἀβάτου ἐξελθὼν τὸν δάκτυλον ἰάσατο τᾶι γλώσσαι, καὶ τοῦτο ποιήσας εἰς τὸ *ἄβατον* ἀνεχώρησε πάλιν· ἐξεγερθεὶς δέ, ὡς ἦς ὑγιής, ἔφα ὄψιν εἰδεῖν, δοκεῖν νεανίσ-

κον εὐπρεπῆ τὰμ μορφὰν ἐπὶ τὸν δάκτυλον ἐπιπῆν φάρμακον.

ς'.120. Ἀλκέτας ἁλικός. Οὗτος τυφλὸς ἐὼν ἐνύπνιον εἶδε, ἐδόκει ὁ θεὸς ποτελθὼν τοῖς δ[α]κτύλοις διάγειν τὰ ὄμματα καὶ ἰδεῖν τὰ δένδρη ὁρατὸν τὰ ἐν τῶι ἰαρῶι. Ἀμέρας δὲ γενομένας, ὑγιὴς ἐξῆλθε.

ζ'. 125. [Θ]ύσων ἑρμιονεὺς παῖς ἀϊδής. Οὗτος ὕπαρ ὑπὸ κυνὸς τῶν κατὰ τὸ ἰαρὸν θ[ερα]πευόμενος τοὺς ὀπτίλλους ὑ[γιὴ]ς ἀπῆλθε.

Ἐπὶ δὲ τῆς δευτέρας ἐν Ἐπιδαύρῳ ἀνασκαφείσης στήλης τρία ἔτι ὀφθαλμικὰ ἐπιγέγραπται ἰάματα καὶ ἓν τῇ γλώττῃ ἴαμα ὑπὸ κυνός, ἃ ἀναγινώσκεται ἐν Ἐφημερίδι ἀρχαιολογικῇ 1885. 15-22·

η'. 7. Ἕρμων θ[άσιος. Τοῦτο]ν τυφλὸν ἐόντα ἰάσατο, μετὰ δὲ τοῦτο τὰ ἴατρα οὐκ ἀπάγον[τ' Ἀσκλαπιῶι] ἐπόησε τυφλὸν αὖθις· ἀφικόμενον δ' αὐτὸν καὶ πάλιν ἐγκαθ[εύδοντα ὑγι]ῆ κατέστασε.

θ'. 35. Κύων ἰάσατο παῖδα α[ἰγιν]άτα[ν]. Οὗτος φῦμα ἐν τ[ῶι τραχ]άλωι εἶχε· ἀφικόμενο[ν] δ' αὐτὸν ποὶ τ[όν] θε[ὸ]ν κύ[ω]ν τῶν ἰαρῶν ὕ[παρ τ]ᾶι γλώσσαι ἐθεράπευσε καὶ ὑγιῆ ἐπόη[σ]ε.

ι'. 64. Α . . . . . ος ὀφθαλμούς. Οὗτος ἔν τινι μάχαι ὑπὸ ὀϐ[ρα]τος πλ[αγεὶς κατ' ἀμφοτέ]ρων τῶν ὀφθαλμῶν τυφλὸς ἐγένετο καὶ τὰν λόγχαν [ἐνιαυτὸν ἐν τῶι] προσώπωι περιέφερε, ἐγκαθεύδων [δ]ὲ ὄψιν εἶδε. Ἐδ[όκει οἱ τὸν θεόν], ἐξελκύσαντα τὸ βέλος, εἰς τὰ β[λέφα]ρα τὰς καλουμ[ένας κόρας καὶ πά]λιν ἐναρμόξαι. Ἀμέρας δὲ γεν[ομένα]ς ὑγιὴς ἐξῆλθ[ε].

ιά. 119. Τίμω[ν . . . . . λόγχαι (;) τρω]θεὶς ὑπὸ τὸν ὀφθαλμόν. Οὗτος ἐγκαθεύ[δων ἐνύπνιον εἶδε, ἐδό]κει οἱ ὁ θεὸς ποϊαντρίψας ἐγχεῖν εἰς τ[ὸν ὀφθαλμόν τι, καὶ ὑγι]ὴς ἐγένετο.

Ἓν δὲ προσέτι ὀφθαλμικὸν ἴαμά ἐστιν ἐν τεμαχίῳ τρίτης στήλης σ. 86.

ιϐ'. 9. . Ἀλη[οὗτος τυφλὸς]
ἐὼν τὸν ἕτερον ὀφθα[λμὸν
ονα τῶι θεῶι θύσει[ν
τὸν θησαυρὸν ἐν τ[ὑγιὴς ἐγένε]
το.

Εἰ δὲ καὶ τὰ ἰάματα ταῦτα τὸν τρίτον π. Χ. αἰῶνα κεχαραγμένα εἴη, καθ' ἃ Καϐϐαδίας φησὶν ἐν Ἐφημερίδι ἀρχαιολογικῇ 1883. 129 τὸ μὲν τῷ σχήματι τῶν γραμμάτων καὶ τῇ στοιχηδὸν διατάξει αὐτῶν τὸ δὲ τῇ ὀρθογραφίᾳ καὶ τῇ κανονικῇ ἐν γένει γραφῇ τοῦτο τεκμαιρόμενος, ἀλλὰ μήν, ὡς ἔφθημεν εἰπόντες, ἀπ' Ἀσκληπιοῦ ὡς ἐπὶ τὸ πολὺ δοκῶ μοι τὴν ἀρχὴν ἔχειν τοὺς ἐν τοῖς Ἀσκληπιείοις τοῦ ἰᾶσθαι τρόπους.

Καὶ τρία μὲν τῶν ἄνω εἰρημένων ἰαμάτων τῇ γλώττῃ γίγνεται

τὸ ε', ζ', θ', ὧν ἓν ὑπ' ὄφεως καὶ δύο ὑπὸ κυνός. Δράκων τῇ γλώττῃ ἰάσατο ἐν ὕπνῳ τὸ ἄγριον ἕλκος τοῦ τοῦ ποδὸς δακτύλου ε', ὡς καὶ τὴν Πλούτου ὀφθαλμίαν δύο δράκοντε τῷ λείχειν ἰάσασθαι διακεκωμῴδηκεν Ἀριστοφάνης ἐν Πλούτῳ 727-738. Κύων δὲ τῇ γλώττῃ φῦμα ἐν τῷ τραχήλῳ παιδὸς ὕπαρ ἰάσατο θ'. Κύων δ' αὖθις αὖ τῇ γλώττῃ καὶ Θύσωνα τυφλὸν ὄντα ἐν ἐγρηγόρσει ἰάσατο ζ'· καὶ οὐ γέγραπται μὲν ῥητῶς ἐν τῷ ὀφθαλμικῷ τούτῳ ἰάματι, ὅτι ὁ κύων τῇ αὐτοῦ γλώττῃ λείχων τοὺς ὀφθαλμοὺς Θύσωνος ἰάσατο, ἀλλὰ φανερὸν τοῦτο ἔκ τε τοῦ θ' ἰάματος καὶ ἐκ τοῦ μὴ δύνασθαι τὸν κύνα ἄλλως τὸν τυφλὸν Θύσωνα ἰάσασθαι ἢ τῇ γλώττῃ μόνῃ. Οἱ μὲν οὖν δράκοντες ἐν ὕπνῳ τοὺς πάσχοντας ὀφθαλμικά τε καὶ ἄλλα πάθη τῇ γλώττῃ ἰῶντο, ὡς ἔκ τε τοῦ ε' ἰάματος φανερὸν καὶ ἐξ Ἀριστοφάνους Πλούτῳ 662· οἱ δὲ κύνες οἱ ἱεροὶ τῷ θεῷ ὕπαρ τὰς ἰάσεις τῇ γλώττῃ ἐποιοῦντο, ὡς ἐκ τοῦ ζ' καὶ θ' ἰάματος φανερόν. Οὐ μόνον δὲ δράκοντες ἀλλὰ καὶ κύνες ἦσαν ἱεροὶ τῷ Ἀσκληπιῷ, οἳ τῇ γλώττῃ λείχοντες ὀφθαλμικά τε πάθη ζ' καὶ ἄλλα, ἕλκη τε καὶ φύματα θ', ἰῶνται. Ἱερὸς δ' Ἀσκληπιῷ ὁ κύων δοκεῖ γεγονέναι· κύων μὲν γὰρ ποιμενικὸς τὸν ὑπὸ τῆς μητρὸς Κορωνίδος ἐκτεθέντα ἅμα τῷ τόκῳ Ἀσκληπιὸν ἐς τὸ τῆς Ἐπιδαυρίας ὄρος Μύργιον ἢ Τίτθιον οἷα πιστὸς σκοπὸς ἐφύλαττε κατὰ Παυσανίαν Β,26,4· κύων δ' αὖ πιστὸς φύλαξ τοῦ ἐν Ἀθήναις Ἀσκληπιείου τὸν θεοσύλην τὸν πολλὰ τῶν ἀναθημάτων ὑφελόμενον ὑλακτῶν ὑπέδειξεν, ἐφ' ᾧ ὁ κύων δημοσίᾳ τροφῇ καὶ κηδεμονίᾳ ἐτιμήθη ὑπ' Ἀθηναίων κατ' Αἰλιανὸν Περὶ Ζῴων Ζ, 13. Περὶ δὲ τῶν ἱερῶν δρακόντων Παυσανίας μὲν τάδε φησὶ Β, 28,1· « Δράκοντες δὲ οἱ λοιποὶ καὶ » ἕτερον γένος ἐς τὸ ξανθότερον ῥέπον τῆς χρόας ἱεροὶ μὲν τοῦ Ἀσκλη- » πιοῦ νομίζονται καὶ εἰσιν ἀνθρώποις ἥμεροι, τρέφει δὲ μόνη σφᾶς » ἡ τῶν Ἐπιδαυρίων γῆ». Αἰλιανὸς δὲ τοὺς δράκοντας, τοὺς ἱεροὺς τοῦ Ἀσκληπιοῦ ὄφεις, οἳ τῷ λείχειν ὀφθαλμικά τε καὶ ὠτικὰ καὶ ἄλλα πάθη ἰῶντο, τὸν *παρείαν ἢ παρούαν* εἶναί φησι Η, 12· « ὁ » παρείας ἢ παρούας (οὕτω γὰρ Ἀπολλόδωρος ἐθέλει) πυρρὸς τὴν » χρόαν, εὐωπὸς τὸ ὄμμα, πλατὺς τὸ στόμα, δακεῖν οὐ σφαλερός, » ἀλλὰ πρᾶος· ἔνθεν τοι καὶ τῷ θεῶν φιλανθρωποτάτῳ ἱερὸν ἀφῆκαν » αὐτὸν καὶ ἐπεφήμισαν Ἀσκληπιοῦ θεράποντα εἶναι οἱ πρῶτοι ταῦτα » ἀνιχνεύσαντες ».

Ἄλλα δ' ὀφθαλμικὰ ἰάματα οὐχ ὕπαρ ἀλλὰ καθ' ὕπνον δι' ἐνυπνίου ἢ ὄψεως ἐγένετο· καὶ τῇ μὲν Ἀμβροσίᾳ ἑτεροφθάλμῳ ὁ θεὸς ἐδόκει τὸν νοσοῦντα ὀφθαλμὸν ἀνασχίσαι καὶ φάρμακόν τι ἐγχέαι α', ἄλλῳ δ' ἑτεροφθάλμῳ καὶ μόνον κόγχον ἔχοντι φάρμακόν τι ἐψῆσαι καὶ τὰ βλέφαρα διαγαγὼν ἐγχέαι εἰς αὐτὰ γ'· τῷ δ' Ἀλκέτᾳ τυλφῷ ὄντι ἀμφοῖν ἐδόκει τὸν θεὸν προσελθόντα τοῖς δακτύλοις διάγειν τὰ ὄμματα καὶ οὕτω ὑγιᾶ ποιῆσαι ς'. Ὁ δ' Αἰσχίνης ἱκετεύσας τὸν θεὸν ἐνεκάθευδε καὶ ὑγιὴς ἐγένετο ἐκ τραύματος τῶν ὀφθαλμῶν ἄνευ ἐγχειρήσεως ἢ φαρμάκων δ'.

Ἐν δὲ τῷ η' ὀφθαλμικῷ ἰάματι ἀναπληρωτέον, ἔμοιγε δοκεῖ, τὸ μὴ ὑπὸ Καββαδίου συμπληρωθὲν ἐν στίχῳ 8ῳ διὰ τοῦ *οὐκ ἀπάγορ*[*τ' Ἀσκλαπιῶι*]· ἥ τε γὰρ ἔννοια καὶ ὁ τῶν γραμμάτων ἀριθμὸς πιθανήν πως τὴν συμπλήρωσιν ταύτην καθιστάναι δοκοῦσι· καὶ γὰρ ἐν ὁμοίοις ἐπὶ τὰς αὐτὰς στήλας ἐπιγέγραπται· *εἰς τὸν ναόν*, *εἰς τὸ ἱαρόν*, *εἰς Ἐπίδαυρον*, *τῷ θεῷ*· ἀλλ' οὐδὲν τούτων ὁ τῶν ἐλλειπόντων γραμμάτων ἀριθμὸς ἐπιτρέπει· ἑτέρα δὲ πιθανὴ συμπλήρωσις, ἣν ἥ τ' ἔννοια καὶ τῶν ἐλλειπόντων γραμμάτων ὁ ἀριθμὸς συγχωροῦσιν, ἥδ' ἂν εἴη· *οὐκ ἀπάγορ*[*τα οἱ Ἑρμωνα*]. Καὶ ταῦτα μὲν τῶν ἀρχαιολογούντων χάριν. Ἰάθη δ' ὁ τυφλὸς Ἕρμων ἐγκαθεύδων καὶ ἄνευ χρήσεως φαρμάκων· ὃ δὲ τὴν τοῦ χρηματίζεσθαι μεγάλην τῶν Ἀσκληπιοῦ ἱερέων τάσιν δείκνυσίν ἐστι καὶ ὅτι Ἀσκληπιὸς οὕτω τιμωρὸς παρίσταται, ὥσθ' Ἕρμωνα μὴ δόντα αὐτῷ τὰ ἴατρα τυφλὸν αὖθις ἐποίησε, ἅμα δὲ τῇ τῶν ἰάτρων ἀποδόσει αὖθις αὖ ὑγιῆ αὐτὸν ἀπέδειξε. Καὶ Ἐχέδωρος δ' ὑπὸ τοῦ θεοῦ τιμωρεῖται, πρὸς τοῖς ὑπάρχουσι καὶ τὰ Πανδάρου στίγματα ἐν τῷ προσώπῳ λαβών, ὅτι οὐκ ἀνέθηκε τῷ θεῷ ἃ παρὰ Πανδάρου ἔλαβε χρήματα Ἐφημερίδι ἀρχαιολογικῇ 1883. 213,54.

Τὸ δὲ ι' ὀφθαλμικὸν ἴαμα ὡς ἄνω μοι γέγραπται δοκεῖ συμπληρωτέον εἶναι. Τοῦτο δ' ἐκ τῆς ἐννοίας, τοῦ ἀριθμοῦ τῶν ἐλλειπόντων γραμμάτων οὐ κωλύοντος, τεκμαίρομαι. Καὶ ἐν μὲν τῷ 64ῳ στίχῳ προσθετέον ἔτι *κατ'*, ἐν δὲ τῷ 67ῳ *κόρας καὶ* ἢ ἁπλῶς *κόρας* ἡγοῦμαι· σαφὴς γὰρ οὕτω ἡ ἰατρικὴ ἔννοια γίγνεται, οὐδὲν δ' ὁ τῶν γραμμάτων τῶν στίχων ἀριθμὸς κωλύει οὕτω συμπληρῶσαι, ὡς ἐκ τῶν τελείων τῆς στήλης ταύτης στίχων εἴη μοι κρῖναι. Ὁ δὲ νοῦς, ὡς ἐγῷμαι, ὅδε· ἔν τινι μάχῃ ὁ τοὺς ὀφθαλμοὺς οὗτος ἀσθενὴς

ὑπὸ δόρατος κατ' ἀμφοτέρων τῶν ὀφθαλμῶν πληγεὶς τυφλὸς ἐγένετο καὶ τὴν λόγχην ἐνιαυτὸν ἐν τῷ προσώπῳ περιέφερεν. Ἐν ὄψει δ' ἐδόκει αὐτῷ ὁ θεὸς ἐξελκύσας τὸ βέλος τὰς καλουμένας κόρας εἰς τὰ βλέφαρα πάλιν ἐναρμόσαι. Γνωστὸν δ' ὅτι ἔν τε τοῖς χρόνοις, καθ' οὓς ἡ στήλη αὕτη κεχάρακται, περὶ τὸ 300 π. Χ., καὶ πρότερον καὶ ὕστερον ἔτι κύριον τῆς ὄψεως μόριον ἡ κόρη ἐνομίζετο, ἐν ταύτῃ τε τὴν ὀπτικὴν δύναμιν ἑδρεύειν ᾤοντο· ὥστ' εἰ βεβαία αὕτη εἴη ἡ συμπλήρωσις, τὸ τὸν θεὸν τὰς κόρας εἰς τὰ βλέφαρα ἐναρμόσαι οὐδὲν ἄλλ' ἂν εἴη ἢ τὰ ἀλλοιωθέντα τῇ πληγῇ ὀπτικὰ ὄργανα ἐπὶ τὸ κατὰ φύσιν ἐπαναγαγεῖν καὶ ὁρᾶν ποιῆσαι τὸν οὕτω τυφλωθέντα. Τολμηρὸν δ' ἂν εἴη λίαν ἐκ τοῦ μὴ πλήρους τούτου ὀφθαλμικοῦ ἱάματος εἰκάσαι, ὡς τεχνητῇ κόρῃ, ἅτε προσπεφυκυίας, ὡς εἰκός, ἐκ τοῦ τραύματος καὶ πεφραγμένης τῆς κόρης οὔσης, καὶ ἴριδος ἐκτομῇ ἐν ναρκώσει τὸν πάσχοντα Ἀσκληπιὸς ἰάσαιτο.

Τὸ δὲ ια΄ ὀφθαλμικὸν ἴαμα τρῶσις ὑπὸ τὸν ὀφθαλμὸν διὰ λόγχης φαίνεται ὄν, ὡς Καββαδίας συμπληροῖ· εἰ δ' ἀκριβὴς ἡ συμπλήρωσις εἴη, τὴν λόγχην ὁ τρωθεὶς Τίμων οὐκ ἔφερεν ἐν τῷ ὑπὸ τὸν ὀφθαλμὸν τραύματι· φάρμακον γάρ τι ὁ θεὸς μόνον εἰς τὸν ὀφθαλμὸν ἐγχέων ὑγιᾶ ἐποίησε, λόγχην δ' οὐκ ἐξείλκυσεν.

Τὸ δὲ ιϐ΄ ὀφθαλμικὸν ἴαμα ἀτελὲς λίαν καὶ συμπληρῶσαι χαλεπόν. Τοῦτο δὲ μόνον μανθάνομεν ὅτι τις τυφλὸς τὸν ἕτερον ὀφθαλμὸν ὢν ὑγιὴς ἐγένετο καὶ ὅτι θησαυρὸν τῷ θεῷ ἀνέθηκε· τὸ πῶς δ' ἰάθη, οὐδεμία λέξις ἐμφαίνει.

Θαυμαστὸν δ' ὅτι οὐδὲν ὠτικὸν ἴαμα οὔτ' Ἀσκληπιοῦ οὔτε τῶν αὐτοῦ ὑπηρετῶν μνημονεύεται οὔτ' ὑπὸ τῶν συγγραφέων οὔτ' ἐν ταῖς ἀνακαλυφθείσαις στήλαις ἐν Ἐπιδαύρῳ. Μόνον δὲ *παῖς ἄφωνος* ὡς ἐκ θαύματος ἐν ἐγρηγόρσει ἄνευ φαρμάκων ἰάθη, ὡς ἐν τῇ πρώτῃ στήλῃ ἐπιγέγραπται ϐ΄. Οὐκ ἀπίθανον δὲ τὸν ἄφωνον παῖδα καὶ κωφὸν εἶναι· οὐ γὰρ μόνον κατ' ἐπιστήμην ἀληθὲς ὅτι, εἴ τις ἐκ νηπίου κωφὸς εἴη, ἀναγκαίως καὶ ἄφωνός ἐστι, ἀλλὰ καὶ Ἡρόδοτος ἀδιακρίτως ταῖς λέξεσι ταύταις χρῆται· τὸν αὐτὸν γὰρ τοῦ Κροίσου παῖδα *κωφὸν* μὲν λέγει ἐν Α, 34, *ἄφωνον* δ' ἐν Α, 85, ὃς ὑπὸ δέους ἐφώνησε, Πέρσου τινὸς τὸν Κροῖσον φονεῦσαι ὁρμῶντος, καὶ οὕτω ὑγιὴς ἐγένετο· *διεφθαρμένον δὲ τὴν ἀκοὴν* τὸν αὐτὸν παῖδα λέγει ἐν Α, 38.

Καὶ ἐπὶ Ἀντωνίνου δ' ἔτι ἐν τοῖς ναοῖς τοῦ Ἀσκληπιοῦ ὀφθαλ-

μικαὶ ἰάσεις ἐγίγνοντο τὸ μὲν φαρμάκοις, τὸ δὲ θείᾳ δυνάμει καὶ θαυματουργίᾳ, ὡς δύο ἐν τῇ Νήσῳ τοῦ Τιβέρεως εὑρεθέντα ἐπὶ στηλῶν ἰάματα δεικνῦσιν, ἃ Σπρέγγελος μνημονεύει ἐν *ἱστορίᾳ τῆς ἰατρικῆς* I, 229·

« Αὐταῖς ταῖς ἡμέραις Γαίωι τινὶ τυφλῶι ἐχρημάτισεν ἐλθεῖν ἐπ[ὶ
» τὸ] ἱερὸν βῆμα καὶ προσκυνῆσαι, εἶτα ἀπὸ τοῦ δεξιοῦ ἐλθεῖν ἐπὶ
» τὸ ἀριστερὸν καὶ θεῖναι τοὺς πέντε δακτύλους ἐπάνω τοῦ βήματος
» καὶ ἆραι τὴν χεῖρα καὶ ἐπιθεῖναι ἐπὶ τοὺς ἰδίους ὀφθαλμοὺς καὶ
» ὀρθὸν ἀνέβλεψε, τοῦ δήμου παρεστῶτος καὶ συγχαιρομένου, ὅτι
» ζῶσαι ἀρεταὶ ἐγένοντο ἐπὶ τοῦ σεβαστοῦ ἡμῶν Ἀντωνείνου ».

Τῇ ἐπιθέσει ἄρα μόνον τῆς χειρὸς ἐπὶ τοῦ ἱεροῦ βήματος καὶ εἶτα ἐπὶ τοὺς αὐτοῦ ὀφθαλμοὺς ὁ Γαῖος ἀνέβλεψεν· ὁ δ' ἐν τῷ ἑπομένῳ ἰάματι Οὐαλέριος Ἄπρος τῇ χρήσει ὀφθαλμικοῦ ἀνέβλεψεν·

« Οὐαλερίωι Ἄπρωι στρατιώτηι τυφλῶι ἐχρημάτισεν ὁ θεὸς ἐλθεῖν
» καὶ λαβεῖν αἷμα ἐξ ἀλεκτρύονος λευκοῦ μετὰ μέλιτος καὶ κολλυρίου
» συντρῖψαι καὶ ἐπὶ τρεῖς ἡμέρας ἐπιχρῖσαι ἐπὶ τοὺς ὀφθαλμοὺς καὶ
» ἀνέβλεψεν καὶ ἐλήλυθεν καὶ ηὐχαρίστησεν δημοσίᾳ τῷ θεῷ ».

η'. Περὶ τῶν Ἀσκληπιοῦ υἱῶν Ποδαλειρίου καὶ Μαχάονος.

Σύζυγος Ἀσκληπιοῦ κατὰ Παυσανίαν καὶ ἄλλους Ἠπιόνη ἐγένετο, κατ' ἄλλους δὲ Λαμπετία ἡ Ἡλίου. Παῖδας δ' αὐτοῦ Ὅμηρος μέν φησι Μαχάονα καὶ Ποδαλείριον, οἱ δὲ μετέπειτα προστιθεῖσιν Ἰανίσκον καὶ Ἀλεξάνορα καὶ θυγατέρας Ἰασώ, Πανάκειαν, Αἴγλην, ἄλλοι δὲ καὶ Ὑγίειαν, αἳ τῶν μετέπειτα ἀλληγορίαι δοκοῦσι.

Μαχάονα δὲ καὶ Ποδαλείριον Ὅμηρος μέν φησιν Ἀσκληπιῷ τῷ πατρὶ ἰατρικὴν δεδιδάχθαι, ὃς αὖθις παρὰ Χείρωνι ἐμαθήτευσε Δ 193. 216 καὶ Λ 833· Ξενοφῶν δὲ μαθητὰς Χείρωνος τόν τε πατέρα καὶ τοὺς υἱοὺς λέγει ἐν Κυνηγετικῷ A, 2.14. Καὶ Ὅμηρος μὲν Ποδαλείριον καὶ Μαχάονα *ἰητῆρ' ἀγαθὼ ἦ ἰητροὺς* καὶ πολεμιστὰς λέγει γενναίους, ἡγέτας τῶν ἐκ Τρίκκης καὶ Ἰθώμης καὶ Οἰχαλίας τριάκοντα νεῶν καὶ πολεμιστῶν B 731, ὡς καὶ Πλάτων καὶ ἄλλοι· Ξενοφῶν δέ φησι Μαχάονα καὶ Ποδαλείριον, ὑπὸ Χείρωνος τά τε κυνηγέσια καὶ τὴν ἄλλην παιδείαν παιδευθέντας γενέσθαι καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγαθούς, τὴν δὲ περὶ τὰ ἰατρικὰ

αὐτῶν ἐμπειρίαν, ἣν καὶ Ὅμηρος καὶ Πλάτων καὶ ἄλλοι λίαν ἐξαίρουσιν, ὅλως παρασιωπᾷ, πλὴν εἴ τις φαίη ἐν ταῖς *τέχναις* καὶ τὴν ἰατρικὴν συμπεριλαμβάνεσθαι Κυνηγ. Α,14. Τοὐναντίον δὲ Διόδωρος ὁ Σικελιώτης φησὶ Δ, 71,4 Ποδαλείριον καὶ Μαχάονα διὰ τὴν περὶ τὴν ἰατρικὴν ἐπιστήμην καὶ τὴν θεραπείαν τῶν τραυμάτων ἐμπειρίαν αὐτῶν τοσαύτης ὑπὸ τῶν ἐν Τροίᾳ Ἑλλήνων τυχεῖν δόξης ὥστ' «*ἀτελεῖς δ' αὐτοὺς ἀφεῖναι τῶν κατὰ τὰς μάχας κινδύνων καὶ τῶν ἄλλων λειτουργιῶν διὰ τὴν ὑπερβολὴν τῆς ἐν τῷ θεραπεύειν εὐχρηστίας*». Δοκεῖ δέ μοι Διόδωρος οὐκ ὀρθῶς ταῦτα λέγειν· πάντες γάρ που οἱ συγγραφεῖς οὐ μόνον ἰατρικὴν ἀλλὰ καὶ πολέμους ἀγαθοὺς λέγουσι Ποδαλείριον καὶ Μαχάονα. Καὶ Ὅμηρος γὰρ Μαχάονα μὲν ποιεῖ τῶν ἐκ Τρίκκης πολεμιστῶν ἡγούμενον Δ 202 καὶ πολεμοῦντα ὑπ' Ἀλεξάνδρου ἢ Πάριος ἀκινδύνως κατὰ τὸν δεξιὸν ὦμον τρωθῆναι Λ 505-520, Ποδαλείριον δέ φησιν ἡγέτην τῶν ἐξ Ἰθώμης καὶ Οἰχαλίας πολεμιστῶν γεγονέναι (Μαχάων γὰρ ἡγέτης τῶν ἐκ Τρίκκης μόνον ἦν) Β 729, πολεμιστὴν δὲ γενναῖον Λ 836·

ὁ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα·

ὥστε καὶ καθ' Ὅμηρον οὐ μόνον ἰατροὶ ἀλλὰ καὶ πολεμισταὶ γεγόνασιν ἀγαθοὶ ὅ τε Ποδαλείριος καὶ Μαχάων.

Δοκεῖ δέ μοι Ποδαλείριος πρεσβύτερος γεγονέναι· παρὰ γὰρ Ὁμήρῳ ἐν δυσὶ στίχοις, ἐν οἷς μόνοις ἀμφότεροι ἅμα Ποδαλείριος καὶ Μαχάων μνημονεύονται ὥς τ' ἰατροὶ καὶ πολεμισταὶ ἀγαθοί, προτάττεται καὶ ἐν τοῖς δυσὶν ὁ Ποδαλείριος Β 732, Μ 833· οὐ γὰρ οἶμαι τυχαίως Ὅμηρον τοῦτο ποιῆσαι, εἰ μὴ ἦν πρεσβύτερος Ποδαλείριος· καὶ γὰρ Ὅμηρος τοὺς πρεσβυτέρους τιμᾶν φιλεῖ, προτάττειν δὲ τὰ τῶν πρεσβυτέρων ὀνόματα εἴωθε Α 255·

ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες·

καὶ ἐν τῇ τοῦ Ἕκτορος γενεαλογίᾳ καὶ ἀλλαχοῦ, ἔμοιγε δοκεῖ, τὴν τοῦ πρεσβυτέρου Ὅμηρος πρώτην τίθησι θέσιν, ὡς παῖδες Τρωὸς ἄνακτος, λέγει, ἐγένοντο Υ 232·

Ἴλός τ' Ἀσσάρακός τε καὶ Ἀντίθεος Γανυμήδης.

Δοκεῖ δὲ Γανυμήδης νεώτερος πάντων τῶν Τρωὸς παίδων γεγονέναι, δι' ὃ καὶ τελευταῖος ἐτάχθη. Οὐκ ὀρθῶς δ' ἔμοιγε δοκεῖ Κόϊντος ὁ Σμυρναῖος Ποδαλείριον νεώτερον Μαχάονος λέγειν· ὑπὸ Μαχάονος δ' αὐτὸν τραφῆναι καὶ ἰατρικὴν δεδιδάχθαι. Αὐτὸς δὲ Ποδαλείριος

πρὸς τὸν Νηλέως υἱὸν τὸν γηραιὸν Νέστορα, Μαχάονος ὑπ' Εὐρυπύλου ἔγχει φονευθέντος τάδε λέγει ἐν τῷ Τῶν μεθ' Ὅμηρον Ζ 50·

> ὦ πάτερ, ἄσχετον ἄλγος ἐμὸν καταδάμναται ἦτορ
> ἀμφὶ κασιγνήτοιο περίφρονος, ὅς μ' ἀτίταλλεν,
> οἰχομένοιο τοκῆος ἐς οὐρανόν, ὡς ἐὸν υἷα
> σφῇσιν ἐν ἀγκοίνῃσι, καὶ ἰητήρια νούσων
> ἐκ θυμοῖο δίδαξε· μιῇ δ' ἐνὶ δαιτὶ καὶ εὐνῇ
> τερπόμεθα, ξυνοῖσιν ἰαινόμενοι κτεάτεσσι.

Πρῶτος δ' ὁ τὰ ἔπη ποιήσας, τὴν Μικρὰν Ἰλιάδα, Λέσχεως Μυτιληναῖος κατὰ Πρόκλον εἴρηκε Μαχάονα ὑπ' Εὐρυπύλου τοῦ Τηλέφου ἀποθανεῖν, ὥς φησι Παυσανίας Γ, 26,9.

Καὶ Ποδαλείριος μὲν δὶς μόνον ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι μνημονεύεται, ὡς ἔφθημεν εἰπόντες, ὥς τ' ἰατρὸς καὶ ἡγέτης πολεμιστῶν ἀγαθός, οὐδαμοῦ δὲ παρίσταται ἰατρεύων ἥρωά τινα τετρωμένον. Μαχάων δ' ὡς ἰατρὸς ἀγαθὸς ἰᾶται Μενέλαον Δ 193-219, ὃν Πάνδαρος ὁ Λυκάονος βέλει ἔτρωσε κατὰ τὸν ζωστῆρα καὶ οὐ τὸ δέρμα ἀκρότατον τὸ βέλος ἐπέγραψε· καὶ πρῶτον μὲν ἐξέλκει ἐκ τοῦ ζωστῆρος τὸ βέλος, εἶτα δ' ἐκμυζήσας τὸ ἐκ τοῦ ἕλκους αἷμα ἐπιπάττει ἤπια καὶ ὀδυνήφατα φάρμακα, ἃ ὑπὸ Χείρωνος ὁ πατὴρ αὐτοῦ ἐδιδάχθη καὶ τοὺς αὐτοῦ υἱούς, ὡς εἰκός, διδάξας. Λέγεται δ' ὁ Μαχάων παρ' Ὁμήρῳ οὐ μόνον *ἰητρὸς ἦ ἰητὴρ ἀγαθὸς καὶ ἀμύμων* Β 732, Λ 833, ἀλλὰ καὶ *ἥρως* καὶ *ἰσόθεος φὼς* Δ 200. 212 καὶ *δῖος* Ξ 3 καὶ *ποιμὴν λαῶν* Λ 506 καὶ Ἀσκληπιάδης Λ 614. Καὶ Φιλοκτήτην δ' ἐκ Λήμνου ἀναχθέντα Μαχάων ἰάσατο κατὰ τὴν Μικρὰν Ἰλιάδα Λέσχεω τοῦ Μυτιληναίου, ὥς φησι Πρόκλος ἐν Χρηστομαθίᾳ κατὰ Φώτιον *Ἀπογραφῇ* 239.

Καὶ Μαχάων μὲν λέγεται χειρουργικὸς γεγονέναι, Ποδαλείριος δὲ διαιτᾶσθαι τὰς νόσους ἤτοι παθολογικὴν ἀσκεῖν κατὰ τὰ εἰς Ἰλιάδα Σχόλια Λ 515 καὶ κατ' Εὐστάθιον Λ 514. Τεκμήριον δέ, λέγουσιν, ὅτι Ἀγαμέμνων τρωθέντος Μενελάου οὐ Ποδαλείριον καλεῖ ἀλλὰ τὸν Μαχάονα. Ἀλλ' οὐδόλως τοῦτο τεκμήριόν ἐστιν, ὅτι Μαχάων μὲν χειρουργικός, Ποδαλείριος δὲ παθολογικὸς ἦν· Εὐρύπυλον γὰρ τρωθέντα Πάτροκλος ἰᾶται· οὐδέτερος γὰρ τῶν δύο μόνον ἐν τῷ ἑλληνικῷ στρατοπέδῳ ἰατρῶν Εὐρύπυλον ἰάσασθαι εὔκαιρος ἦν, ὁ μὲν Μαχάων τετρωμένος, ὁ δὲ Ποδαλείριος πολεμῶν, εἰ καὶ ἑκάτε-

ρον μετακαλέσασθαι ἠβούλετο Εὐρύπυλος, ὡς ἐκ τῶνδε τῶν στίχων φανερὸν Λ 833·

ἰητροὶ μὲν γάρ, Ποδαλείριος ἠδὲ Μαχάων,
τὸν μὲν ἐνὶ κλισίῃσιν ὀΐομαι ἕλκος ἔχοντα,
χρηίζοντα καὶ αὐτὸν ἀμύμονος ἰητῆρος,
κεῖσθαι· ὁ δ' ἐν πεδίῳ Τρώων μένει ὀξὺν Ἄρηα.

Ἔστω δὲ τὸ χωρίον τοῦτο καὶ τεκμήριον σαφέστατον ὅτι δύο μόνοι ἰατροὶ καὶ χειρουργοὶ ἐν τῷ ἑλληνικῷ στρατοπέδῳ ὑπῆρχον καὶ οὐ πολλοί, ὥς τινες οὐκ ὀρθῶς δοξάζουσιν· εἰ γὰρ καὶ ἕτεροι πλὴν Ποδαλειρίου καὶ Μαχάονος ἰατροὶ ἐν τῷ στρατοπέδῳ ἦσαν, οὐ ταῦτ' ἂν ἔλεγεν Εὐρύπυλος οὐδὲ Πάτροκλον, οὐκ ἰατρὸν ὄντα, παρεκάλει αὐτὸν ἰάσασθαι, ἀλλ' ἄλλον ἰατρὸν ἂν μετεκαλεῖτο. Τὰ δὲ τῶν ἀντιφρονούντων ἐπιχειρήματα, ἐν οἷς λίαν περιέργως καὶ ὁ σοφὸς Δαρεμβέργης ἐστίν, οὐκ ὀρθὰ εἶναι δοκεῖ μοι· ἓν γάρ ἐστιν, ὅτι Ἰδομενεὺς δι' ἑταῖρον αὐτοῦ κατ' ἰγνύαν βεβλημένον μετεκαλέσατο ἰατρούς, ὧν τὰ ὀνόματα οὐ λέγει ῥητῶς Ὅμηρος Ν 213 «*ὁ δ' ἰητροῖς ἐπιτείλας | ἤιεν ἐς κλισίην*», ὡς καὶ Μαχάων ἁπλῶς *ἰητὴρ* λέγεται Δ 190. Ἀλλὰ πῶς καὶ τίνι λόγῳ οἷόν τ' ἂν εἴη ἰσχυρίσασθαι ὡς οὐ τοὺς γνωρίμους ἰατροὺς Ποδαλείριον καὶ Μαχάονα, ὃν ἐν μεγάλῃ εἶχε τιμῇ Λ 506-515, μετεκαλέσατο Ἰδομενεύς, ἀλλ' ἄλλους; μὴ ὅτι πληθυντικῶς λέγει ἰητροὺς κοὐκ ἰητρῷ; ἀλλὰ καὶ ἀλλαχοῦ «*ἰητροὶ Ποδαλείριος ἠδὲ Μαχάων*» λέγει Λ 833· μὴ οὐ λέγει Ὅμηρος *ὀφθαλμοὺς* καὶ *ὀφθαλμῷ* καὶ *ὄμματα*, καίπερ δύο μόνον ὄντα; Ἕτερον δ' ἐπιχείρημά ἐστιν, ὅτι ὁ Πάτροκλος τῷ Ἀχιλλεῖ, ἵνα τὸν χόλον αὐτοῦ καταπραΰνῃ, λέγει Διομήδη τε καὶ Ὀδυσσέα καὶ Ἀγαμέμνονα καὶ Εὐρύπυλον βεβλῆσθαι, *ἰατροὺς δὲ πολυφαρμάκους* τὰ ἕλκη αὐτῶν θεραπεύειν Π 28·

τοὺς μὲν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
ἕλκε' ἀκειόμενοι· σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.

Οἴονται δ' ἄλλους ἰατροὺς Πάτροκλον λέγειν, ὡς Μαχάων μὲν τετρωμένος εἴη, ὥσπερ ἄνω εἴρηται, Ποδαλείριος δὲ μάχοιτο. Ἀλλὰ καὶ τοῦτο τὸ ἐπιχείρημα οὐκ ὀρθὸν ἔμοιγε δοκεῖ· ὁ γὰρ Μαχάων ἐλαφρῶς κατὰ τὸν δεξιὸν ὦμον ἦν τετρωμένος Λ 507· τοῦτο δὲ κάλλιον παντὸς ἄλλου Πάτροκλος οἶδεν, ὃς ἐπὶ τούτῳ ὑπ' Ἀχιλλέως ἀπεστάλη, ἵνα Νέστορα ἐρωτήσῃ, εἰ Μαχάων βέβληται Λ 613·

πλύσις δὲ χλιαρῷ ὕδατι ὑπ' Ἑκαμήδης Ξ 6 καὶ αἴθοπος οἴνου πόσις ἤρκεσαν πρὸς ἴασιν· εἰ γὰρ βαρέως τετρωμένος ἦν Μαχάων, καὶ τοῦτον ἂν ἔλεγε Πάτροκλος, ἐπεὶ μέγ' Ἀχιλλεῖ ἡ Μαχάονος ὑγίεια ἔμελεν, ἐπὶ τούτῳ πέμψαντι Πάτροκλον, ἵνα πληροφορηθῇ, καὶ πᾶσι δὲ τοῖς Ἀχαιοῖς, ἐξ ὧν Ἰδομενεὺς Νέστορι λέγει Λ 506-515. Μαχάων ἄρα ἐλαφρῶς βεβλημένος καὶ Ποδαλείριος μετὰ τὴν μάχην οἱοί τ' ἦσαν τοὺς τετρωμένους θεραπεύειν. Τούτους δ' ἡγοῦμαι *ἰατροὺς πολυφαρμάκους* Πάτροκλον ὑπονοεῖν. Εἰ δέ τις καὶ ἄλλους πλὴν Ποδαλειρίου καὶ Μαχάονος ἰατροὺς πολυφαρμάκους νοεῖν ἐθέλοι, τότ' ἐν τοῖς πρώτοις αὐτὸς ἑαυτὸν Πάτροκλος ἰατρὸν πολυφάρμακον ἂν ἔλεγεν· Εὐρύπυλον γὰρ αὐτὸς ἰᾶτο Λ 828-848, Μ 1. Ἀλλὰ σαφῶς Εὐρύπυλος αὐτὸν τῶν ἰατρῶν διακρίνει. Εἰ οὕτως εἶχεν, ἰατροὶ πολυφάρμακοι ἂν εἶεν καὶ Σθένελος, ὃς τοῦ ὤμου Διομήδους βέλος ἐξείρυσε Ε 110, καὶ Πελάγων τῶν Τρώων, ὃς ἐκ τοῦ μηροῦ Σαρπηδόνος δόρυ ἐξέωσε Ε 694, καὶ Διομήδης αὐτός, ὃς ἐκ τοῦ ταρσοῦ τοῦ ποδὸς τὸ βέλος ἐξειλκύσατο Λ 397, καὶ Νέστωρ καὶ Ἑκαμήδη Ξ 6. Ἀλλ' οὐδαμοῦ οὐδένα τούτων ὁ ποιητὴς ἰατρὸν ὀνομάζει.

Σαφὲς δ' ἂν εἴη τεκμήριον, ὅτι Μαχάων μὲν χειρουργικὸς Ποδαλείριος δὲ παθολογικός, τὸ Ἀρκτίνῳ ἐν *Ἰλίου πορθήσει* εἰρημένον, ὡς φησιν Εὐστάθιος Λ 514 καὶ Ὁμήρου Σχόλια Λ 515·

> Αὐτὸς γάρ σφιν ἔδωκε πατὴρ [γέρα] Ἐννοσίγαιος
> ἀμφοτέροις· ἕτερον δ' ἑτέρου κυδίον' ἔθηκε.
> Τῷ μὲν κουφοτέρας χεῖρας πόρεν, ἐκ τε βέλεμνα
> σαρκὸς ἑλεῖν τμῆξαί τε καὶ ἕλκεα παντ' ἀκέσασθαι·
> τῷ δ' ἄρ' ἀκριβέα πάντα ἐνὶ στήθεσσιν ἔθηκεν
> ἄσκοπά τε γνῶναι καὶ ἀναλθέα ἰήσασθαι,
> ὅς ῥα καὶ Αἴαντος πρῶτος μάθε χωομένοιο
> ὄμματά τ' ἀστράπτοντα, βαρυνόμενόν τε νόημα.

Ὁ δὲ τὰ μάλα περίεργόν ἐστιν, ὁ κυκλικὸς ποιητὴς Ἀρκτῖνος μόνος αὐτὸς Ποσειδῶνος ποιεῖ Ποδαλείριον καὶ Μαχάονα κοῦκ Ἀπόλλωνος. Παρὰ τὴν Ἀρκτίνου ταύτην γνώμην Κόϊντος Ποδαλείριον χειρουργικὸν ποιεῖ· καὶ γὰρ τὰ δεινὰ τραύματα Ἐπειοῦ τε καὶ Ἀκάμαντος ἰάσατο, ἃ πυγμαχοῦντες ἀλλήλοις ἔσχον Δ 397, πρὸς δὲ τὰς πληγὰς τοῦ Θόαντος καὶ Εὐρυπύλου, οἳ ἐκ τοῦ δίφρου ἔπεσον Δ 538· ἀλλὰ μὴν καὶ τὸ δεινὸν Φιλοκτήτου ἕλκος Ποδαλείριος κατὰ Κόϊντον

ἰάσατο Θ 463, ὃ Λέσχεως ὁ Μυτιληναῖος ἐν τῇ Μικρᾷ Ἰλιάδι φησὶ Μαχάονα ἰάσασθαι. Σοφοκλῆς δ' ἐν Φιλοκτήτῃ Νεοπτόλεμον μὲν ποιεῖ λέγειν, ὅτι μόνοι οἱ ἐν Τροίᾳ Ἀσκληπιάδαι τὴν βαρεῖαν Φιλοκτήτου νόσον θεραπεῦσαι οἷοί τ' εἰσὶ 1333, Ἡρακλέα δὲ τῷ Φιλοκτήτῃ τάδε φάσκειν 1437·

Ἐγὼ δ' Ἀσκληπιὸν
παυστῆρα πέμψω σῆς νόσου πρὸς Ἴλιον.

Εἰκὸς δ' ἂν εἴη Κόϊντον οὕτω τοῦτο λέγειν, ὅτι Φιλοκτήτην Ποδαλείριος ἰάσατο· Μαχάονα γὰρ ὑπ' Εὐρυπύλου ἀποθανεῖν πεποίηκε ς 391-492. Τοῦτ' αὐτὸ δὲ καὶ Τζέτζης λέγει ἐν *Τοῖς μεθ' Ὅμηρον* 520.

Ὡς δ' Ἀσκληπιὸς οὕτω καὶ οἱ αὐτοῦ παῖδες Ποδαλείριος καὶ Μαχάων θεῶν τιμὰς μετὰ θάνατον ἔσχον, ὡς ἐξ ἐπιγράμματος «*Ἐπὶ κενοταφίου Ποδαλειρίου καὶ Μαχάονος ἐν Τρίκκῃ*» φανερὸν Πέπλῳ Ἀριστοτέλους 20 (34)· Ἀπ. 637·

Οἵδ' Ἀσκληπιάδαι Ποδαλείριος ἠδὲ Μαχάων,
πρόσθεν μὲν θνητοί, νῦν δὲ θεῶν μέτοχοι.

Καὶ Παυσανίας δέ φησιν ἐν Γερηνίᾳ τῇ ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν Ἐνόπη ὠνομασμένῃ Μεσσηνίων δὲ πόλει Μαχάονος ὑπάρχειν μνῆμα καὶ ἱερὸν ἄγιον Γ, 26,9· πρῶτος δὲ Γλαῦκος ὁ Αἰπύτου βασιλεύων Μαχάονι ἔθυσεν ἐν Γερηνίᾳ Δ,3,9. Στράβων δέ φησι Τρικκαίου ἱερὸν Ἀσκληπιοῦ ἐν Γερηνίᾳ ὑπάρχειν ἀφίδρυμα τοῦ ἐν τῇ θετταλικῇ Τρίκκῃ Η, δ, 4. Καὶ ἐν τῷ τῆς Δήμητρος δ' ἱερῷ Μεσσήνης ὑπῆρχον ἀγάλματά τε καὶ γραφαὶ Ἀσκληπιοῦ καὶ τῶν αὐτοῦ παίδων Ποδαλειρίου καὶ Μαχάονος κατὰ Παυσανίαν Δ, 31, 10.12. Λέγεται δὲ Ποδαλείριος ἐκ Τροίας ἐπανακάμπτων τοῦ πλοῦ ἁμαρτεῖν καὶ ἐς Σύρνον τῆς Καρικῆς ἀποσωθεὶς οἰκῆσαι Γ, 26,10. Ὡς δὲ Στέφανος ὁ Βυζάντιος ἐν λέξει *Σύρνᾳ* καὶ Βυβάσσῳ φησίν, ὁ ποιμὴν Βύβασσος ἤγαγεν αὐτὸν πρὸς τὸν βασιλέα τῆς Καρικῆς Δάμαιθον, οὗ τὴν θυγατέρα Σύρναν ἐκ τῆς στέγης πεσοῦσαν ἰάσατο κατ' ἄμφω τοὺς βραχίονας ἀφαίμαξιν ποιήσας· δι' ὃ ὁ βασιλεὺς τὴν θυγατέρα σύζυγον ἔδωκεν αὐτῷ καὶ κληρονόμον κατέστησε τῆς βασιλείας. Ποδαλείριος δ' εὐγνωμονῶν δύο ἔκτισε πόλεις τὴν μὲν Σύρναν πρὸς τιμὴν τῆς αὐτοῦ συζύγου τὴν δὲ Βύβασσον πρὸς τιμὴν τοῦ ποιμένος ὀνομάσας. Ὡς δὲ Στράβων φησὶ ς, γ, 9, ἐν Δαυνίᾳ τῆς Ἰταλίας πρὸς τῇ ῥίζῃ

λόφου, ᾧ ὄνομα Δρίον, Ποδαλειρίου ἱδρυμένον ἦν ἡρῷον, ἐξ οὗ ποτάμιον ἔρρει πάσας τῶν θρεμμάτων τὰς νόσους ἰώμενον. Τεκμήριον δ', ἔμοιγε δοκεῖ, τοῦτ' ἂν εἴη ὡς καὶ ἡ κτηνιατρικὴ ἀπὸ Ποδαλειρίου τὴν ἀρχὴν ἔχοι. Μετὰ τὸν Τρωϊκὸν ἄρα πόλεμον οὔτε Μαχάων εἰς τὴν ἑαυτοῦ πατρίδα Θετταλίαν ἐπανέκαμψεν ἐν Μεσσηνίᾳ παρὰ τῷ γηραιῷ Νέστορι ἐγκαταστὰς καὶ τὴν ἰατρικὴν ἀσκῶν καὶ μέγα τιμώμενος, οὔτε Ποδαλείριος ἐν Σύρνῳ τὴν ἰατρικὴν ἀσκήσας. Ἐκ τούτου δὲ λέγονται οἱ τῆς Κῶ καὶ Κνίδου καὶ Ρόδου Ἀσκληπιάδαι κατάγεσθαι.

Ἐν Φαραῖς δέ, Μεσσηνίων καὶ ταύτῃ, τῶν Μαχάονος παίδων ἱερὸν ἱδρῦσθαι, ἐξ οὗ καὶ τοὺς Ἀσκληπιοῦ παῖδας Μεσσηνίους λέγεσθαί φησι Παυσανίας Δ, 3,2· Μαχάονος δὲ παῖδες κατὰ Παυσανίαν εἰσί, θεῶν τιμὰς καὶ οὗτοι ἐν Φαραῖς καὶ ἀλλαχοῦ ἀξιωθέντες, *Ἀλεξάνωρ*, ὃς παραγενόμενος ἐς Σικυωνίαν ἐν Τιτάνῃ Ἀσκληπιεῖον ἱδρύσατο Β, 11,5, *Σφῦρος*, ὃς τὸ ἐπιφανέστατον Ἀργείοις τῶν Ἀσκληπιείων ἐποίησε Β, 23,4, καὶ *Πολεμοκράτης*, ὃς τιμὰς εἶχεν ἐν Εὐᾳ, Ἀργείων κώμῃ, ἐν ᾗ καὶ Πολεμοκράτους ἱερὸν ἵδρυται Β, 38,6· πρὸς δὲ *Γόργασος* καὶ *Νικόμαχος* ὡσαύτως ἰατροὶ Μαχάονος καὶ Ἀντικλείας τῆς Διοκλέους θυγατρὸς παῖδες, οἳ τιμὰς ἔσχον ἐν Φαραῖς τῆς Μεσσηνίας καὶ τὴν βασιλείαν μετὰ τὴν Διοκλέους τελευτὴν ἐκδεξάμενοι· καὶ ἐπὶ Παυσανίου δ' ἔτι ἐπεπίστευτο νοσήματά τε καὶ τοὺς πεπηρωμένους τῶν ἀνθρώπων ἰᾶσθαι αὐτούς, ἀντὶ δὲ τούτων θυσίας εἰς τὸ ἱερὸν καὶ ἀναθήματα αὐτοῖς ἦγον Δ, 30,3 καὶ Δ, 3,10.

Οἱ δὲ τὰ μάλιστα τὴν ἰατρικὴν προαγαγόντες τῶν Ἀσκληπιαδῶν εἰσιν οἱ τῆς Κῶ καὶ Κνίδου Ἀσκληπιάδαι οἱ ἐκ Ποδαλειρίου τὸ γένος ἕλκοντες, οἳ ἑταιρίας, ὡς ἔπος εἰπεῖν, ἰατρικὰς ἢ σχολὰς ἀπετέλουν. Καὶ τούτων δ' αὖθις τῇ ἐπιστήμῃ ὁ μέγας Ἱπποκράτης ὑπερήνεγκε. Τελευταῖος δὲ τοῦ γένους τοῦ Ἀσκληπιοῦ Διοκλῆς ὁ Καρύστιος νομίζεται, ὃς εὐθὺς μεθ' Ἱπποκράτην ἐγένετο. Τὴν δὲ τῶν Ποδαλειρίου ἐκγόνων γενεαλογίαν γνωρίζει ἡμῖν *Ἱπποκράτους Γένος καὶ βίος κατὰ Σωρανὸν* Kühn 3,850 καὶ *ὁ Παῖτος τῷ Ἀρταξέρξῃ* 3,770, πλήρη δὲ παρέχει ἡμῖν γενεαλογίαν ἐκ Σωρανοῦ Ἐφεσίου παραλαβὼν ὁ Τζέτζης ἐν Ἱστορικῇ ρνε'. 7,940·

Μετὰ γὰρ Τροίας ἅλωσιν ἐν τῇ περαίᾳ Ῥόδου
ὁ Ποδαλείριος υἱὸς Ἀσκληπιοῦ ὑπάρχων

Ἱππόλοχον ἐγέννησεν, οὗ Σώστρατος ἐξέφυ,
οὗ Δάρδανος, οὗ Κρίσαμις, οὗπερ Κλεομυττάδης,
οὗπερ υἱὸς Θεόδωρος, τοῦ δὲ Σώστρατος ἄλλος,
οὗπερ Σωστράτου Κρίσαμις ὁ δεύτερος ἐξέφυ·
Κρισάμιδος Θεόδωρος δεύτερος πάλιν ἔφυ.
Ἐκ Θεοδώρου τούτου δὲ ὁ Σώστρατος ὁ τρίτος,
οὗ Νέβρος, οὗ Γνωσίδικος, ἐξ οὗπερ Ἱπποκράτης.
Τοῦ πρώτου Ἱπποκράτους δὲ υἱοῦ τοῦ Γνωσιδίκου
παῖς ἦν Ἡρακλειδᾶς, οὗπερ καὶ Φαιναρέτης
ὁ μέγας, ὁ καὶ δεύτερος, γέγονεν Ἱπποκράτης,
ὃν ὁ πατὴρ Ἡρακλειδᾶς τὰ ἰατρῶν διδάσκει.

Περὶ δὲ τοῦ τρόπου τῆς θεραπείας τοῦ τ' Ἀσκληπιοῦ καὶ τῶν υἱῶν αὐτοῦ Ποδαλειρίου καὶ Μαχάονος καὶ τῶν πρώτων Ἀσκληπιαδῶν τῶν πρὸ Ὁμήρου διδάσκει ἡμᾶς κυρίως Ὅμηρος, ὃς μιμητὴς κατὰ Πλάτωνα ἰατρικῆς ἐγένετο ποιητὴς ὢν κοὐκ ἰατρός. Ἐν τοῖς Ὁμήρου δ' ἔπεσι μόνοις ἔστι μαθεῖν καί τινας ὀφθαλμικὰς καὶ ὠτικὰς καὶ ἀνατομικὰς γνώσεις τῶν πρὸ αὐτοῦ Ἀσκληπιαδῶν. Πᾶσαι δὲ τῶν μέχρις Ἱπποκράτους Ἀσκληπιαδῶν αἱ ἐπιστημονικαὶ γνώσεις ἐν τοῖς Ἱπποκρατείοις κυρίως βιβλίοις συμπεριειλημμέναι ἂν εἶεν ἢ τοὐλάχιστον τὰ ἀνέκαθεν ἰατρικὰ διδάγματα τῶν τῆς Κῶ καὶ Κνίδου Ἀσκληπιαδῶν.

Εἰκὸς δ' ἂν εἴη Ὅμηρον οὐκ ἰατρὸν ἀλλὰ μιμητὴν ἰατρικῆς ὄντα οὐ πάντ' ἀλλ' ὀλίγ' ἅττα, ἃ τῷ ἔπει συνέφερε, τῶν τῆς Ἀσκληπιοῦ ἰατρικῆς πεποιηκέναι. Εἰ οὖν Ὅμηρος οὐκ ἐποίησεν ἐν τοῖς αὐτοῦ ποιήμασιν ἥρωας διαιτωμένους καὶ ὀφθαλμιῶντας καὶ ὠταλγοῦντας καὶ φθισιῶντας καὶ πυρέττοντας καὶ ἐμετικῷ ἐμοῦντας καὶ καθαρτικῷ τὴν κοιλίαν καθαιρομένους τὰ τοιαῦτα τῆς ἰατρικῆς οὐ καλὸν μιμήσασθαι ἡγούμενος (ἀπρεπὲς γὰρ τοῦτο καὶ τῷ ἔπει ἀσύμφορον), ἀλλ' ἥρωας μόνον τιτρωσκομένους καὶ ἁπλῇ τινι θεραπείᾳ, τοῦ βέλους ἐξελκομένου καὶ φαρμάκων ἐπιπαττομένων, καὶ τῇ συνήθει διαίτῃ ἰωμένους· τοῦτο, ἔμοιγε δοκεῖ, οὐκ ἂν εἴη τεκμήριον ὡς οὕτως ἁπλῇ καὶ *χειρουργικὴ* μόνον εἴη ἡ Ἀσκληπιοῦ ἰατρικὴ διὰ τὴν τῶν τραυμάτων μόνον θεραπείαν καὶ ὡς μήτε *παθολογικὴν* μήτε *διαιτητικὴν* οἱ πρῶτοι Ἀσκληπιάδαι ἀσκοῖεν. Ὅμηρος γὰρ ἐν πολλοῖς οὕτως ἐπιστημόνως ἔχει πρὸς περιγραφὴν πολλῶν τοῦ σώματος μορίων εὖ γε εἰδὼς τὰ καίρια, εἰ καὶ μιμητὴς μόνον κατὰ Πλάτωνα γέγονεν ἰατρικῆς, ὥστ' εἰκότως ἂν ἀποφήνασθαι οὐκ ὀλίγα τοὺς πρώ-

τους Ἀσκληπιάδας εὑρεῖν τῶν τῆς ἰατρικῆς, χειρουργικῆς καὶ ἀνατομῆς. Μαρτυρεῖ δὲ καὶ Ἀρκτῖνος, ὡς ἔφθημεν εἰπόντες, καὶ περὶ τὴν παθολογικὴν τοὺς Ἀσκληπιάδας ἐπιστημόνως ἔχειν· Ποδαλείριον γάρ φησιν παθολογικόν, Μαχάονα δὲ χειρουργικὸν γεγονέναι.

Ὡς δ' Ὅμηρος ἐν τοῖς αὐτοῦ ἔπεσι τὴν τῶν τραυμάτων ἴασιν τῶν Ἀσκληπιαδῶν περιγράφει, ὧδ' αὕτη ἐγίγνετο· πρῶτον εἰ τὸ βέλος ἐν τῷ τραύματι ἔμενεν, ἐξήρουν αὐτό. Τρεῖς δὲ βελουλκίας τρόποι ἦσαν, *ἐκτομή*, ὡς ἐπὶ Εὐρυπύλου ἐκ μηροῦ τὸ βέλος ἐξέταμεν ὁ Πάτροκλος Λ 844, *διωσμός*, ὡς Διομήδης ὑπὸ Πάριδος τὸν ταρσὸν τοῦ ποδὸς διαμπερὲς βληθεὶς ἐκ τοῦ ἀντιθέτου τοῦ διαμπεροῦς τραύματος τὸ βέλος αὐτὸς ἐξειλκύσατο Λ 377 καὶ 397, καὶ *ἐξολκή*, ὡς ἐπὶ Μενελάου Μαχάων ἐξ οὗ εἰσῆλθε μέρους τὸ βέλος ἐξείλκυσε Δ 213. Εἶτα δὲ ἤτοι ἐξεμύζων τὸ αἷμα, ὡς ἐπὶ Μενελάου ὁ Μαχάων ποιεῖ Δ 218, ἢ ἀπέπλυνον αὐτὸ ὕδατι χλιαρῷ, ὡς Εὐρυπύλου τρωθέντος ὁ Πάτροκλος ἐποίησε Λ 846, ἢ ἀπεσπόγγιζον (τοῦτο γὰρ σημαίνει, δοκῶ μοι, τὸ «*ἕλκος δ' ἰητὴρ ἐπιμάσσεται*» Δ 190). Τελευταῖον δ' ἐπέπαττον τὰ ἤπια καὶ ὀδυνήφατα φάρμακα, ὡς ἐπὶ Μενελάου ὁ Μαχάων Δ 218 καὶ ἐπὶ Εὐρυπύλου ὁ Πάτροκλος ποιεῖ. Ἦσαν δὲ τὰ ἐν χρήσει φάρμακα ἤτοι *ἐπίπαστα*, ὡς ἐπὶ Εὐρυπύλου, ἢ *πιστὰ* κατὰ τὸν Αἰσχύλον, τοῦτ' ἔστι ποτὰ ἢ πότιμα, ὡς ἡ Ἑλένη ἐν Ὀδυσσείας δ 220 εἰς οἶνον ἔβαλε φάρμακον νηπενθὲς καὶ τοῖς ὀδυρομένοις ἐπὶ τῷ Ὀδυσσεῖ ἔδωκε πιεῖν, ἢ *χριστά*, οἷς οἱ ἰοὶ ἐχρίοντο.

θ'. Περὶ Τροφωνίου.

Καὶ Τροφώνιος δ' ἐκ τῆς συγγενείας Ἀσκληπιοῦ λέγεται καὶ σύγχρονος αὐτῷ, Ἴσχυος δ' υἱὸς γεγονέναι ἢ κατ' ἄλλους Ἀπόλλωνος καὶ κατ' ἄλλους Ἐργίνου. Παυσανίας ἀκριβῶς τὸ τοῦ Τροφωνίου μαντεῖον καὶ τὰ μυστήρια περιγράφει Θ, 37-39. Ἐν Λεβαδείᾳ τῆς Βοιωτίας ὑπὸ τῆς γῆς καταποθῆναι μυθολογεῖται, δι' ὃ καὶ Ἑρμῆς ἐριχθόνιος ὠνόμασται. Ἐν σπηλαίῳ, ἔνθα αἱ πηγαὶ τοῦ μικροῦ ποταμοῦ Ἐρκύνης, ἵστατο τὸ τοῦ Τροφωνίου ἄγαλμα καὶ τὸ τῆς Ἐρκύνης, ὧν τὸ σκῆπτρον ὄφεσιν περιειλιγμένον ἦν. Μάντις δὲ τοῦ Τροφωνίου τήν τε ὑγίειαν καὶ νόσον τὰ τοῦ ἱερείου σπλάγχνα ἐπισκοπῶν προὔλεγε καὶ περὶ ζωῆς καὶ θανάτου καὶ περὶ τῶν μελλόντων

γενέσθαι γνώμην ἀπεφαίνετο, ὡς Πλούταρχός φησι καὶ Παυσανίας Θ, 39,6 καὶ Φιλόστρατος Η, 19. Τοσούτῳ δ' ὀξεῖαν τῷ εἰσιόντι ἐν τῷ σπηλαίῳ γίγνεσθαι τὴν ὅρασιν, ὥστε τὰ ἔγκατα ὁρᾶν καὶ πάσας τῆς γῆς τὰς χώρας καὶ πάσας τὰς νήσους ἐν μαγικῇ λαμπρότητι· ὑπὸ δαιμονίων δὲ περὶ τῶν ὑψίστων θεωρημάτων τῆς ἀνθρωπίνης γνώσεως διδάσκεσθαι, ὡς Πλούταχός φησιν ἐν τῷ *Περὶ τοῦ Σωκράτους δαιμονίου* 22.590b καὶ Σχολιαστὴς Ἀριστοφάνους εἰς Νεφέλας 508.

ς.

ΠΕΡΙ ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ ΠΑΡ' ΟΜΗΡΩ 962 Π. Χ.

Ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν, ὡς εἰκός, οὔτε περὶ ὀφθαλμῶν καὶ ὤτων ἀνατομῆς καὶ φυσιολογίας οὔτε περὶ ὀπτικῆς καὶ ἀκουστικῆς οὔτε περὶ ὀφθαλμικῶν καὶ ὠτικῶν παθῶν εἰρῆσθαι οἷον τ' ἦν· ἄλλος γὰρ ὁ τοῦ ἔπους σκοπός. Ἀλλ' ἐν τῷ μόνῳ τῶν χρόνων ἐκείνων θαυμαστῷ λειψάνῳ, ὃ πᾶσαι αἱ γενεαὶ ἐθαύμασαν καὶ θαυμάσουσιν, εὕρηνται σποράδην τῇδε κἀκεῖσε εἰκόνες, αἳ λίαν σοφῶς πολλὰ περὶ ὀφθαλμῶν καὶ ὤτων ἡμᾶς διδάσκουσιν ἰδέαν τινὰ καὶ περὶ τῆς κατ' ἐκείνους τοὺς χρόνους ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης ἡμῖν παρέχουσαι. Καὶ ἀνατομῆς καὶ φυσιολογίας καὶ ὀπτικῆς καὶ ἀκουστικῆς καὶ φυσιογνωμονίας καὶ χρωμάτων καὶ ψόφων ἢ ἤχων καὶ παθῶν τῶν ὀφθαλμῶν καὶ ὤτων ὑπάρχουσι στοιχεῖα ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν. Ἡ τῶν ὀφθαλμῶν καὶ ὤτων ἀνατομὴ ὡς καὶ ἡ τοῦ ὅλου σώματος παραδόξως πως ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους οὐδεμίαν ἐπίδοσιν ἔλαβεν ἐπὶ τοσούτους αἰῶνας. Αἱ ἀνατομικαὶ γνώσεις τοῦ Κῴου Ἱπποκράτους κατὰ τὰ κύρια καὶ παρ' Ὁμήρῳ εὑρηνται. Τὰ μόρια κυρίως τῶν ὀφθαλμῶν καὶ ὤτων τὰ ἄνευ ἀνατομῆς γνώριμα ὡς καὶ τὰ τοῦ ὅλου σώματος ὀνομάζονται καὶ ὁρίζονται παρ' Ὁμήρῳ, οὐκ ἰατρῷ ὄντι, θαυμασίως. Οἱ ἀνατομικοὶ ὅροι, οἷς Ὅμηρος ἐχρήσατο, ὡς ἐπὶ τὸ πολὺ ἀναγινώσκονται καὶ παρὰ τοῖς μετέπειτα ἰατροῖς. Οἱ δὲ φυσικοὶ ἢ φυσιολόγοι οἱ ἐν τῷ μεταξὺ Ὁμήρου καὶ Ἱπποκράτους χρόνῳ ἀκμάσαντες ὀλίγα πάνυ τῇ παρ' Ὁμήρῳ ἀνατομῇ τῶν ὀφθαλμῶν καὶ ὤτων προσέθηκαν, ὡς κατωτέρω λόγος γενήσεται.

Ἐκ δὲ τῶν εἰκόνων, φράσεων καὶ λέξεων τῶν Ὁμηρικῶν ἐπῶν,

τοῦ ἀρχαιοτάτου τῶν Ἑλλήνων γραπτοῦ μνημείου, ἐπειράθημεν ὡς οἷόν τε σαφῆ ἰδέαν τῆς παλαιτάτης τῶν Ἑλλήνων ὀφθαλμολογίας καὶ ὠτολογίας ἀναπαραστῆσαι. Καὶ τὴν μὲν *ὀφθαλμολογίαν* τὴν παρ' Ὁμήρῳ τριχῇ διείλομεν, ὧδε· *Περὶ ἀνατομῆς ὀφθαλμῶν*, *Περὶ ὀπτικῆς καὶ φυσιολογίας καὶ φυσιογνωμονίας*, *Περὶ ὀφθαλμικῶν παθῶν*· τριχῇ δὲ καὶ τὴν *ὠτολογίαν*, οἷον *Περὶ ἀνατομῆς ὤτων*, *Περὶ ἀκουστικῆς καὶ φυσιολογίας*, *Περὶ ὠτικῶν παθῶν*.

α'. *Περὶ Ὀφθαλμολογίας παρ' Ὁμήρῳ.*

α'. *Περὶ ἀνατομῆς ὀφθαλμῶν.*

Ἡ ἄνωθεν τῶν ὀμμάτων ὑπὲρ τὰς ὀφρῦς καὶ τὴν ῥίζαν τῆς ῥινὸς χώρα παρ' Ὁμήρῳ λέγεται διττῶς *μέτωπον* καὶ *μετώπιον* Ψ 396, Ν 615, Λ 95, Π 739. Τινὲς μὲν *μετώπιον* ἐπίθετον κοὐ τὸ μέτωπον αὐτὸ εἶναι οἴονται· δοκοῦσι δέ μοι οὐκ ὀρθῶς λέγειν· δύο γὰρ ὅμοια κατὰ τὸ μέτωπον θανατηφόρα τραύματα περιγράφεται ἐν Ν 615 καὶ Π 739, καθ' ἃ οἱ ὀφθαλμοὶ χαμαὶ ἐν τῇ κόνει ἔπεσον, τῆς συντάξεως δὲ τῆς αὐτῆς οὔσης ἐν ἑκατέρᾳ, ἐν μὲν τῇ πρώτῃ περιγραφῇ λέγει *μέτωπον*, ἐν δὲ τῇ δευτέρᾳ *μετώπιον*· οὐσιαστικὰ ἄρα ἀμφότερα τὴν ἄνωθεν τῶν ὀφρύων χώραν σημαίνοντα, ἣ καὶ νῦν ἔτι μέτωπον λέγεται. Ὁρίζεται δ' ἀκριβῶς καὶ ὁ τόπος, ἐν ᾧ κεῖται «*μέτωπον ῥινὸς ὑπὲρ πυμάτης*» καὶ «*ἐπ' ὀφρύσι*». Φυσιογνωμονεῖ δ' Ὅμηρος ἐκ τῶν τοῦ μετώπου κινήσεων, διακεχυμένῳ μὲν μετώπῳ χαρὰν καὶ εὐφροσύνην καὶ γέλωτα ποιῶν, συνεσπασμένῳ δὲ χόλον καὶ νέμεσιν Ο 102. Κάτωθεν δὲ τοῦ μετώπου καὶ ἄνω τῶν ὀφθαλμῶν αἱ *ὀφρύες* εἰσίν.

Ἅπαξ δὲ μόνον εὕρηται παρ' Ὁμήρῳ τὸ καὶ παρὰ τοῖς μετέπειτα ἐν χρήσει *ἐπισκύνιον* Ρ 136·

πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται ὅσσε καλύπτων,

ἔνθα ὁ Τελαμώνιος Αἴας ἐξηγριωμένῳ λέοντι παραβάλλεται. Ἐκ τοῦ παρατεθέντος δ' Ὁμηρικοῦ στίχου φανερόν, ὅτι *ἐπισκύνιόν* ἐστιν ὃ καὶ νῦν ἔτι λέγομεν, τοῦτ' ἔστι τὸ κατὰ τὸ κάτω πέρας τοῦ μετώπου ἐπὶ τοῦ ἄνω κογχικοῦ χείλους προέχον δέρμα, ἐφ' οὗ αἱ ὀφρύες φύονται.

Βλέφαρα πολλάκις παρ' Ὁμήρῳ ἀναγινώσκεται, οὐδαμοῦ δ' αἱ

βλεφαρίδες· ἐν ἑνὶ δὲ μόνῳ στίχῳ φαίνεται Ὅμηρος τὰς βλεφαρίδας ὑπαινιττόμενος ι 389·

πάντα δὲ οἱ *βλέφαρ'* ἀμφὶ καὶ ὀφρύας εὖσεν ἀϋτμή.

Τοῖς βλεφάροις ἐκδηλοῦται ὃ θ' ὕπνος καὶ ἡ ἐγρήγορσις· οἷον υ 86 «*ἐπεὶ ἄρ βλέφαρ' ἀμφικαλύψῃ* [ὕπνος]» καὶ Κ 187 «*ὕπνος ἀπὸ βλεφάροιν ὀλώλει*».

Τὰ δ' ὑπὸ τοὺς ὀφθαλμοὺς κοῖλα, ἃ *ὑπώπια* τοῖς ἰατροῖς ὠνόμασται, καὶ Ὅμηρος δοκεῖ μοι οὕτω λέγειν Μ 463·

ὃ δ' ἄρ' ἔσθορε φαίδιμος Ἕκτωρ | νυκτὶ θοῇ ἀτάλαντος ὑπώπια·

δοκεῖ γάρ μοι, εἰ καὶ ἐν τῷ *Μεγάλῳ Ἐτυμολογικῷ* εἴρηται *ὄψιν* σημαίνειν τὰ *ὑπώπια* ἐν δὲ τοῖς Σχολείοις *πρόσοψιν* ἐκ τοῦ μέρους τὸ ὅλον, ὑπώπια κυρίως αὐτὰ τὰ ὑποφθάλμια κοῖλα εἶναι, ἃ φύσει πελιδνὰ ὄντα νυκτὶ ὅμοια ἐγένετο ἕνεκα τοῦ ἀγῶνος καὶ τοῦ κόπου τοῦ ἐκ τοῦ βαρέος λίθου, ὃν ἤρατο Ἕκτωρ.

«*Ὀφθαλμοῖο θέμεθλα*» λέγεται ὁ *ὀφθαλμικὸς κόγχος*, ὡς γέ μοι δοκεῖ Ξ 493· οὐκ ὀρθῶς δ' ἐν τοῖς Σχολείοις ἡρμήνευται *ῥίζα, θεμέλια*. *Θέμεθλα* γὰρ παρὰ τὸ *τίθημι* γιγνόμενον, ἐστὶν ὁ τόπος, ἐν ᾧ οἱ ὀφθαλμοὶ τεθειμένοι εἰσίν, ἤτοι ὁ ὀφθαλμικὸς κόγχος. Τοῦτο δὲ φανερὸν τῷ τὴν ἀνατομὴν τοῦ ὀφθαλμοῦ γιγνώσκοντι ἐξ αὐτοῦ τοῦ Ὁμηρικοῦ χωρίου Ξ 493·

τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα.

Φαίνεται δ' Ὅμηρος γνῶσίν τινα ἔχων καὶ τῶν ὀπτικῶν νεύρων, ἃ *ῥίζας ὀφθαλμῶν* ὀνομάζει ι 390· «*σφαραγεῦντο δέ οἱ* [*ὀφθαλμοῖο*] *πυρὶ ῥίζαι*». Καὶ Γαληνὸς γὰρ ῥίζαις τὰ ὀπτικὰ νεῦρα παρομοιάζει, λέγων 2,832· «*καὶ δόξουσί σοι θεασαμένῳ καθάπερ τινὲς ῥίζαι τὰ νεῦρα ταῦτα εἶναι τῶν ὀφθαλμῶν*».

Τὸ δὲ κύριον τῆς ὄψεως ὄργανον λέγεται *ὀφθαλμός, ὄμματα* καὶ *ὄσσε* συνήθως· ἔστι δ' ὅτε *ὤψ* καὶ *φάος* καὶ *ὀπωπὴ* καὶ *γλήνη*.

Καὶ *ὀφθαλμὸς* μὲν κατὰ πάντας εὑρηται τοὺς ἀριθμοὺς ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν· *ὄμματα* δὲ πληθυντικῶς μόνον καὶ σημαίνει ὁτὲ μὲν βλέμματα Γ 217, ὁτὲ δ' ὀφθαλμοὺς Κ 91· τὸ δ' *ὄσσε* ὀνοματικὴ τοῦ *ὄσσω* προστακτική, ἔμοιγε δοκεῖ, ἂν εἴη καὶ δὴ ἄκλιτον κατὰ πάντας τοὺς ἀριθμοὺς ἐν χρήσει, ὡς ἄνω μοι εἴρηται σελίδι 21.

Ὤψ δὲ (ὁ, ἡ) ἢ τὸ *ὦπον* πιθανῶς, ὡς ἄνω μοι εἴρηται σελίδι 27, δοκεῖ μοι τὸ μὲν ὀφθαλμὸν παρ' Ὁμήρῳ σημαίνειν ἰδίᾳ ἐν τῇ φράσει

«*εἰς ὦπα ἰδέσθαι*» I 373, O 147, χ 405, ψ 107· τὸ δὲ πρόσοψιν ἢ πρόσωπον ἐν τῇ φράσει «*εἰς ὦπα ἔοικεν*» Γ 158, α 411. *Ὄψις* δὲ τὸ μὲν ἡ τοῦ ὁρᾶν αἴσθησίς ἐστι Υ 205, ψ 94, τὸ δέ, ὡς καὶ νῦν ἔτι, ὄψις λέγεται ἡ πρόσοψις ἢ τὸ πρόσωπον Z 468, Ω 632. Καὶ *φάεα* δὲ τοὺς ὀφθαλμοὺς λέγει Ὅμηρος ἐν τῷδε τῷ στίχῳ τρὶς ἐπαναλαμβανομένῳ π15, ρ39, τ417·

κύσσε δέ μιν κεφαλήν τε καὶ ἄμφω φάεα καλά.

Ὀπωπὴ δὲ τὸ μὲν ὄψιν ἢ θεωρίαν σημαίνει γ 97, δ 327, ρ 44, τὸ δὲ ὀφθαλμὸν ἢ τὴν τοῦ ὁρᾶν αἴσθησιν ι 512·

χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς·

διττῶς γὰρ ἐνταῦθα οἶμαι οἱόν τ' εἶναι ὀπωπὴν ἐξηγήσασθαι, *ὅρασιν* ἢ *ὀφθαλμόν*· μονόφθαλμος γὰρ ὁ Κύκλωψ. *Γλήνη* δ', ἔμοιγε δοκεῖ, τὸ ὀφθαλμικὸν κυρίως λίπος ἂν εἴη ἢ αὐτὸ καθ' αὑτὸ ἢ σὺν τῷ λευκῷ σκληρωτικῷ καὶ δὴ ὁ βολβός, ὡς εἴρηταί μοι ἐν σελίδι 31 καὶ ἐν ἑτέρῳ τόπῳ ἐκτενῶς δειχθήσεται.

β'. Περὶ ὀπτικῆς καὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας.

Ὅμηρος δοκεῖ σαφῶς *ψυχὴν* ἀίδιον ἢ *θυμὸν* ἢ *φρένας* καὶ σῶμα ὑλικὸν καὶ φθαρτὸν διακρίνειν Α 3·

πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἡρώων, αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
οἰωνοῖσί τε πᾶσι.

Ἐπὶ πελείας δὲ θνησκούσης φησὶ Ψ 880 «*ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο*» καὶ ἐπὶ τοῦ θανάτου Εὐχήνορος ὑπὸ Πάριδος βληθέντος λέγει N 671 «*ὦκα δὲ θυμὸς | ᾤχετ' ἀπὸ μελέων*» καὶ ἐν λ 221 «*ἐπεί κε πρῶτα λίπῃ λευκὸν ὀστέα θυμός*»· ἐκ τούτων δὲ φανερόν, ὅτι ἕτερόν τι οἴεται *θυμὸν* ἢ *ψυχὴν* ἢ *φρένας* εἶναι καὶ ἄλλο *σῶμα*, *ὀστᾶ*, *μέλη*. Ὅτι δ' ἡ ψυχὴ ἀίδιος καὶ ἄϋλος καὶ ὡς ὄνειρος περιίπταται, τὸ δὲ σῶμα ὑλικὸν ἐκ σαρκῶν καὶ ὀστέων, καὶ τοῦτο σαφέστατα Ὅμηρος λέγει λ 220. Ἡ δ' Ὀδυσσέως μετὰ τῶν ψυχῶν ὁμιλία ἤτοι ἡ *Νέκυια* ἡ ἐν *λ* Ὀδυσσείας σαφῶς δείκνυσι τὰς ἐπικρατούσας τότε περὶ ψυχῆς ἰδέας. Δοκεῖ δ' Ὅμηρος ἐν παντὶ τῷ

σώματι οἴεσθαι τὴν τῆς ψυχῆς ἕδραν εἶναι. Τὸ τῆς ψυχῆς ἄϋλον καὶ Ἀχιλλεὺς διδάσκει τῷ Ἀγαμέμνωνι λέγων I 408·

ἀνδρὸς δὲ ψυχὴ πάλιν ἐλθεῖν οὔτε λεϊστὴ
οὐθ' ἑλετή, ἐπεὶ ἄρ κεν ἀμείψεται ἕρκος ὀδόντων·

ληϊστὰ δὲ καὶ κτητὰ εἶναί φησι τὰ ὑλικὰ ὄντα, ἵππους καὶ βόας καὶ πρόβατα καὶ τρίποδας. Δοκεῖ δ' ἴσως Ὁμήρῳ ἐκ δύο μόνον στοιχείων ὕδατος καὶ γῆς τὰ πάντα γίγνεσθαι· λέγειν γὰρ ποιεῖ Μενέλαον τοῖς Ἀχαιοῖς Η 99·

ἀλλ' ὑμεῖς μὲν πάντες ὕδωρ καὶ γαῖα γένοισθε.

Καὶ ταῦτα μὲν ἀρκοῦντα ἔστω ἡμῖν περὶ ψυχῆς· ἡ δὲ στοιχειώδης φυσιολογικὴ γνῶσις, ὅτι τὸ τῆς ὄψεως αἰσθητήριον οἱ ὀφθαλμοί εἰσι, ποικίλως φέρεται ἐν τοῖς Ὁμηρικοῖς ἔπεσιν· οἷον Ω 246 «*ὀφθαλμοῖσιν ἰδεῖν*», Ο 600 «*σέλας ὀφθαλμοῖσιν ἰδέσθαι*», Γ 306 «*ἐν ὀφθαλμοῖσιν ὁρᾶσθαι*», Θ 459 «*ἐν ὀφθαλμοῖσιν ὁρῶσα*», Ω 520 «*ἐλθέμεν-ἐς ὀφθαλμούς*», Ω 463 «*οὐδ' Ἀχιλῆος ὀφθαλμοὺς εἶσειμι*». Κύρια δ' αἰσθητήρια τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα δοκεῖ Ὅμηρος λέγειν, «*εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα*» λέγοντος Θεοκλυμένου, τῶν κυρίων μόνον αἰσθητηρίων μνημονεύοντος υ 365.

Ὅτι δὲ *φῶς* κυρίως καὶ *χρῶμα* τὸ αἰσθητὸν τὸ τοῖς ὀφθαλμοῖς ὁρώμενόν ἐστι, καὶ ταύτην τὴν ἀλήθειαν πάνυ σαφῶς Ὅμηρος εἴρηκε· πρῶτον δὲ καὶ κύριον τῶν αἰσθητηρίων τὸ τῆς ὄψεως ἀποφαίνει· τὸ γὰρ ὁρᾶν τὸ φῶς τοῦ ἡλίου ζῆν ἐστι Σ 61, τὸ δὲ μὴ ὁρᾶν τὸ λαμπρὸν τοῦ ἡλίου φῶς θνήσκειν ἐστὶ Ε 120, σκότους τοὺς ὀφθαλμοὺς καλύπτοντος ἢ ἀχλύος ἢ νυκτός. Ὅτι φῶς καὶ ἐν φωτὶ καὶ διὰ φωτὸς μόνον ὁρῶμεν, τὴν ὀπτικὴν ταύτην ἀλήθειαν εὖ εἰδὼς ὁ ποιητὴς καὶ πρῶτον αἰσθητήριον τοὺς ὀφθαλμοὺς θεωρῶν θαυμασίας ὄντως ζωῆς καὶ θανάτου εἰκόνας ἐποίησεν· οἷον ἡ Θέτις λέγει περὶ τοῦ Ἀχιλλέως ταῖς Νηρηίσι Σ 61 καὶ τῷ Ἡφαίστῳ Σ 442·

ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο·

καὶ περὶ τοῦ Ὀδυσσέως ἡ Πηνελόπη λέγει δ 833·

εἴπου ἔτι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο·

ὁ δὲ Διομήδης ὑπὸ Πανδάρου βέλει βληθεὶς τῇ Ἀθηνᾷ εὔχεται δοῦναι ἑλεῖν Πάνδαρον Ε 84,

ὅς μ' ἔβαλε φθάμενος καὶ ἐπεύχεται, οὐδέ μέ φησιν
ὀπρὸν ἔτ' ὄψεσθαι λαμπρὸν φάος ἠελίοιο.

Εὔδωρον τὸν Ἑρμοῦ καὶ Πολυμήλης ἡ μογοστόκος μαῖα Εἰλείθυια π 188 «*ἐξάγαγε πρὸ φόωσδε καὶ ἠελίου ἴδεν αὐγάς*». Ἐπεὶ δὲ τὸ τοῖς ὀφθαλμοῖς ὁρατὸν ὅτι τὸ φῶς κυρίως ἐστὶν εὖ μάλα οἶδεν Ὅμηρος, πυρὸς δὲ τοὺς ὀφθαλμοὺς εἶναι ᾤετο, διὰ ταῦτα νομίζω αὐτὸν καὶ *φάεα* τοὺς ὀφθαλμοὺς ὀνομάσαι π 14. ρ 39. τ 415.

Καὶ δόξειε μὲν ἂν *ὁρᾶν* καὶ *νοεῖν* ταὐτὸ παρ' Ὁμήρῳ εἶναι· λέγει γάρ, ὡς «*ἐν ὀφθαλμοῖσιν ὁρῶσα*» θ 459, οὕτω καὶ «*ἐν ὀφθαλμοῖσι νοήσας*» Ω 294, 312 καὶ Ὑμ. Ἀφρ. 83.179. Εἰκότως ἄρα τὸ *ἐν ὀφθαλμοῖσιν ὁρᾶν* καὶ τὸ *ἐν ὀφθαλμοῖσι νοεῖν*, ἡ ὅρασις καὶ νόησις, ταὐτὰ παρ' Ὁμήρῳ εἶναι δόξειεν ἄν. Ἀλλ' ἔμοιγε δοκεῖ, ὁ δαιμόνιος νοῦς οὐ μόνον τὸ *ὁρᾶν* καὶ *νοεῖν* σαφῶς διακρίνει, ἀλλ' εὖ οἶδε τὴν αἴσθησιν τοῦ ὁρᾶν πρῶτον, εἶτα δ' ἐκ ταύτης τὴν γνῶσιν καὶ νόησιν γίγνεσθαι· πηγὴν ἄρα πάσης γνώσεως καὶ νοήσεως τὰς αἰσθήσεις ὑπολαμβάνειν δοκεῖ Ὅμηρος. Εὖ μὲν οἶδα, ὅτι τολμηρὸν λίαν οὕτως ἀποφήνασθαι ἐκ τῶν Ὁμήρου μόνον φράσεων ὁρμώμενον, ἀλλὰ πᾶς τις, οἶμαι, συνομολογήσει μοι, εἰ ἀκριβῶς τάδ' ἐν νῷ ἔχει καὶ τὴν τούτων δαιμονίαν ἀλληλουχίαν κατανοήσειε. Καὶ πρῶτον μὲν πολλάκις εὕρηται τὸ ὁρᾶν τῷ νοεῖν συνδεδεμένον, πανταχοῦ δὲ προηγεῖται τὸ ὁρᾶν τοῦ νοεῖν, ἤτοι ἡ αἴσθησις τῆς γνώσεως ἢ νοήσεως· οἷον Λ 599·

Τὸν δὲ ἰδὼν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς [Μαχάονα].

Κ 550·

ἀλλ' οὔπω τοίους ἵππους ἴδον οὐδ' ἐνόησα.

Ω 337·

ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ μήτ' ἄρ τε νοήσῃ [Πρίαμον].

ν 318·

οὐ σέγ' ἔπειτα ἴδον, κούρη Διός, οὐδ' ἐνόησα [Ὀδυσσεύς]·

π 160·

οὐδ' ἄρα Τηλέμαχος ἴδεν ἀντίον οὐδ' ἐνόησεν.

Δεύτερον δ' ἐν Ὕμνῳ εἰς Ἀφροδίτην τὸ *ἐν ὀφθαλμοῖσι νοεῖν* σαφέστατα ἐξήγηται ἐκ δύο ἐννοιῶν συνεπτυγμένον εἶναι· ἡ μὲν γὰρ Ἀφροδίτη Ἀγχίσην Δαρδανίδην ἐρωτᾷ, εἰ ὁμοία φαίνεται 179,

οἵην δή με τὸ πρῶτον *ἐν ὀφθαλμοῖσι νόησας*·

Ἀγχίσης δ' ἄριστα τὴν συνεπτυγμένην διάνοιαν τοῦ *ἐν ὀφθαλμοῖσι νόησας* ἐξηγούμενος ἀποκρίνεται 185·

> Αὐτίκα σ' ὡς τὰ πρῶτα, θεά, *ἴδον ὀφθαλμοῖσιν*,
> *ἔγνων*, ὡς θεὸς ἦσθα·

Τρίτον δ' Ὅμηρος διαρρήδην τοὺς ὀφθαλμούς τε καὶ τὰ ὦτα καὶ τὸν νοῦν διακρίνει, ἤτοι αἴσθησιν καὶ νόησιν, λέγων υ 365·

> εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω
> καὶ νόος ἐν στήθεσσι τετυγμένος οὐδὲν ἀεικής.

Ἄλλο ἄρα ἐστὶ τὸ ὁρᾶν καὶ ἄλλο τὸ νοεῖν· τὸ μὲν ἐνέργεια (ὄψις) τῶν ὀφθαλμῶν ἐστι, τὸ δ' ἐνέργεια τῶν φρενῶν ἢ τοῦ θυμοῦ Υ 264, 310. Καὶ πρῶτον μὲν γίνεται ἡ τῶν ὀφθαλμῶν ἐνέργεια, ἡ *ὄψις*, ἐκ ταύτης δὲ προϋπαρχούσης ἡ τῶν φρενῶν καὶ τοῦ θυμοῦ ἐνέργεια, ἡ *γνῶσις* καὶ *νόησις*, προκύπτει. Σαφῶς ἄρα δοκεῖ μοι Ὅμηρον διὰ τούτων λέγειν τὸ *μηδὲν ἐν τῷ νῷ, ὃ μὴ πρότερον ἐν τῇ αἰσθήσει*. Συνεπτυγμένη δ' ἔμοιγε δοκεῖ κατ' ἔλλειψιν τοῦ *ἰδὼν* καὶ ἡ φράσις ἥδε ω 217·

> αἴ κέ μ' ἐπιγνώῃ καὶ φράσσεται ὀφθαλμοῖσιν.

Πυρὸς δὲ τοὺς ὀφθαλμοὺς εἶναι Ὅμηρος ὑπολαμβάνειν δοκεῖ. Ἐκ δὲ τούτου Ἐμπεδοκλῆς τε καὶ ἄλλοι φιλόσοφοι τὴν ἀπὸ πυρὸς ὁρμωμένην ὀπτικὴν θεωρίαν παραλαβόντες ἐπὶ μᾶλλον ἀνέπτυξαν· λέγει γὰρ περὶ συὸς ἀλκῇ πεποιθότος Ν 474 «*ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον*» καὶ περὶ τῆς Ἀφροδίτης Γ 397 «*ὄμματα μαρμαίροντα*» καὶ περὶ λέοντος ζ 131 «*ἐν δὲ οἱ ὄσσε | δαίεται*»· περὶ δ' Ἕκτορος ἐν πολέμῳ μαινομένου λέγει Μ 466 «*πυρὶ δ' ὄσσε δεδήει*» καὶ Ο 607 «*τὼ δὲ οἱ ὄσσε | λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν*»· περὶ δὲ τοῦ Ἀχιλλέως Τρωσὶ μένεα πνέοντος διὰ τὸν τοῦ Πατρόκλου φόνον λέγει Τ 365 «*τὼ δὲ οἱ ὄσσε | λαμπέσθην ὡσεί τε πυρὸς σέλας*», κεχολωμένου δ' αὐτοῦ καὶ τεθαμβημένου διὰ τῆς ἐμφανήσεως τῆς Ἀθηνᾶς Α 200· «*δεινὼ δὲ οἱ ὄσσε φάανθεν*» καὶ Τ 16 «*ἐν δὲ οἱ ὄσσε | δεινὸν ὑπὸ βλεφάρων ὡσεὶ σέλας ἐξεφάανθεν*». Περὶ δὲ τοῦ μνηστῆρος Ἀντινόου μένος μέγα ἔχοντος λέγει δ 662· «*ὄσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην*», ὡς καὶ περὶ τοῦ Ἀτρείδου Ἀγαμέμνονος Α 104.

Ἡ δ' ἔκφρασις δ 150 «*ὀφθαλμῶν τε βολαὶ*» σαφῶς ὑποτυποῖ τὸ

τῶν μετέπειτα φιλοσόφων ὀπτικὸν θεώρημα, τὸ γίγνεσθαι τὸ ὁρᾶν τοῦ ὀφθαλμικοῦ πυρὸς ἐπὶ τὰ ὁρώμενα ἐξιόντος· *ὀφθαλμῶν γὰρ βολαὶ* οὐδὲν ἀλλ' ἂν εἴη ἢ βλέμματα, ἤτοι αὐγὴν ἢ μαρμαρυγὴν ἢ πῦρ μακρὰν ἀφιέναι τῶν ὀφθαλμῶν. Σαφέστατα δ' ἡ ὀπτικὴ αὕτη θεωρία ἐκφέρεται, οὐ μὴν ἀλλὰ καὶ ἡ μεγάλη τῶν ἀμαρυγῶν καὶ δὴ καὶ τοῦ φωτὸς *ταχύτης* παρίσταται ἐν Ὕμνῳ εἰς Ἑρμῆν 45·

αἱ δέ τε δινηθῶσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαί·

πρὸς δὲ καὶ τὸ ἐν 278· «*πυκνὸν ἀπὸ βλεφάρων ἀμαρύσσων*», ἔνθα βλέφαρ' ἀντ' ὀφθαλμῶν κεῖται, οὐδὲν ἄλλ' ἢ τὰς *πυρώδεις ἀπὸ τῶν ὀφθαλμῶν ἀπορροὰς* σημαίνει. Ὥστ' αὕτη ἡ παλαιτάτη ἂν εἴη, ἔμοιγε δοκεῖ, ὀπτικὴ θεωρία, πυρὸς μὲν τὴν ὄψιν εἶναι, ἐξιόντος δὲ τοῦ πυρὸς τὸ ὁρᾶν γίγνεσθαι. Ἐπεὶ δ', ὡς ἔφθημεν εἰπόντες, πυρὸς μὲν τοὺς ὀφθαλμοὺς εἶναι, ἀμαρυγῶν δ' ἀπὸ τῶν ὀφθαλμῶν ἐπὶ τὰ ὁρώμενα ἐξιουσῶν τὴν ὄψιν γίγνεσθαι, φῶς δὲ κυρίως ὁρᾶν τὸ ἀπὸ τοῦ ἡλίου Ὅμηρος σαφῶς, ὡς ἔμοιγε δοκεῖ, λέγει, ἕπεται ἄρα *τῷ ὁμοίῳ τὴν ὄψιν ποιεῖν*· ὥστε καὶ τοῦ ὀπτικοῦ τούτου θεωρήματος τῶν φιλοσόφων αἱ ἀρχαὶ παρ' Ὁμήρῳ εὕρηνται. Καὶ ὅτι δ' αἱ ὑπερβαλλόντως στίλβουσαι αὐγαὶ θαμβοῦσι τὰ ὄμματα Ν 340 καὶ ὅτι ἐν σκότει οὐχ ὁρῶμεν μ 232 (74), καὶ τοῦτο Ὁμήρῳ εἴρηται. Διὰ τῆς θεωρίας δὲ τῶν ἀπὸ τῶν ὀφθαλμῶν ἐξιουσῶν καὶ δινουμένων ἀμαρυγῶν ἐπὶ τὰ ὁρώμενα ῥᾳδίως ἑρμηνεύεται καὶ ἡ Ὁμηρικὴ φράσις Γ 217 «*κατὰ χθονὸς ὄμματα πήξας*» καὶ τὸ νῦν ἐν χρήσει *προσηλῶ τὸ βλέμμα*.

Ἡ πρώτη δ' αὕτη ὀπτικὴ θεωρία, τὸ γίγνεσθαι τὸ ὁρᾶν πυρὸς ἢ φωτὸς ἀπὸ τῶν ὀφθαλμῶν ἐξιόντος καὶ ἐπὶ τὸ ὁρώμενον πηγνυμένου ἤτοι ταῖς ἀπὸ τῶν ὀμμάτων ἀμαρυγαῖς ἢ ἀκτῖσιν ἢ αὐγαῖς, τοιάνδε τὴν ἀρχὴν ἔχειν δοκεῖ μοι, ἔμφυτος δ' ὡς ἔπος εἰπεῖν τῷ ἀνθρώπῳ γεγονέναι. Ὁ γὰρ Ἥλιος θεός τις ἀνθρωπόμορφος ἐνομίζετο ὄμματά τε καὶ πρόσωπον ἔχων, υἱὸς δ' Ὑπερίονος καὶ Εὐρυφαέσσης Θ 480. μ 176. Ὑμ. 31, 4. Ὁ Ἥλιος οὐ μόνον φαίνει τοῖς θνητοῖς ἀνθρώποις καὶ ἀθανάτοις θεοῖς, ἀλλὰ καὶ τοῖς ὄμμασιν αὐτοῦ ὀξύτατον ὁρᾷ, λαμπραὶ δ' ἀκτῖνες ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ στίλβουσι καὶ ταῖς ἀκτῖσιν ἢ αὐγαῖς, ἃς ἐπὶ τὸ ὁρώμενον βάλλει, ὁρᾷ· εἰκὸς ἄρ' ἂν εἴη τοῖς ταῦτα δοξάζουσι καὶ τὸν ὀφθαλμὸν οἴεσθαι ὁρᾶν ταῖς ἀμαρυγαῖς ἢ αὐγαῖς ἢ φωτειναῖς ἀκτῖσιν, αἳ ἀπὸ τῶν ὀμμάτων λαμ-

πρῶς ἀποστίλβουσι καὶ ἐπὶ τὸ ὁρώμενον πεπήγασι. Φανερὸν δὲ τοῦτο ἐξ ἄλλων τε πολλῶν καὶ ἰδίᾳ ἐκ τοῦ Ὕμνου εἰς Ἥλιον 31,9·

σμερδνὸν δ' ὅγε δέρκεται ὄσσοις
χρυσέης ἐκ κόρυθος· λαμπραὶ δ' ἀκτῖνες ἀπ' αὐτοῦ
αἰγλῆεν στίλβουσι.

Ὅτι δὲ ταῖς ἀπὸ τῶν ὀμμάτων αὐτοῦ ἀπορρεούσαις ἀκτῖσιν ἡ αὐγαῖς Ἥλιος ὁρᾶν ἐνομίζετο, σαφῶς φανερὸν καὶ ἐκ τοῦ εἰς Δήμητραν ὕμνου, ἐν ᾧ τὸν Ἥλιον ἐπικαλεῖται Δημήτηρ εἰπεῖν αὐτῇ, εἴ που τὴν ἑαυτῆς θυγατέρα ἑώρακε 70·

ἀλλά, σὺ γὰρ δὴ πᾶσαν ἐπὶ χθόνα καὶ κατὰ πόντον
αἰθέρος ἐκ δίης καταδέρκεαι *ἀκτίνεσσιν*·

καὶ ἐκ τοῦδε λ 15·

οὐδέ ποτ' αὐτοὺς
Ἠέλιος φαέθων καταδέρκεται *ἀκτίνεσσιν*.

Ἥλιος δὲ πάντ' ἐφορᾶν καὶ πάντ' ἐπακούειν ἐνομίζετο Γ 277· ὀξύτατον δὲ πέφυκε τὸ ὄμμα αὐτοῦ ὥστε καὶ διὰ νέφους εἰσορᾶν· διὸ Ζεὺς ἐπὶ Ἴδης τῇ Ἥρᾳ μιγῆναι ἐφιέμενος, ταύτης δὲ φόβῳ ἐχομένης, μή τις τῶν θεῶν αὐτοὺς ἴδοι, λέγει αὐτῇ Ξ 343·

τοῖόν τι ἐγὼ νέφος ἀμφικαλύψω,
χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠελίοιο περ,
οὗ τε καὶ ὀξύτατον πέλεται *φάος* εἰσοράασθαι.

Δοκεῖ δέ μοι *φάος* ἐνταῦθα τὸν ὀφθαλμὸν τοῦ Ἡλίου ἢ τὴν ὄψιν σημαίνειν, ὃ ἔκ τε τῶν εἰρημένων φανερὸν καὶ ἐκ τοῦ καὶ ἀλλαχοῦ, οἷον π 15 «*ἄμφω φάεα καλά*», τοὺς ὀφθαλμοὺς σημαίνειν.

Καὶ τῶν τοῦ ὀφθαλμοῦ δὲ κινήσεων φαίνεται Ὅμηρος σαφῆ γνῶσιν ἔχων οὐ μόνον τῶν πρὸς τὰ ἄνω καὶ κάτω ἔσω τε καὶ ἔξω ἀλλὰ καὶ τῶν περιστροφικῶν ἢ δινωδῶν τοῦ ὀφθαλμοῦ κινήσεων.

Καὶ πάσας μὲν τῶν ὀφθαλμῶν τὰς κινήσεις συλλήβδην ἐκφράζει ὁ ποιητὴς διὰ τοῦ «*πάντοσε παπταίνων*» Ρ 674 καὶ Ψ 463· ὅτι δὲ διὰ τῶν πάντοσε ὀφθαλμικῶν κινήσεων εὐκρινέστερον καὶ ὀξύτερον περισκοποῦμεν τὰ ὁρώμενα, καὶ τοῦτο εὖ οἶδεν ὁ ποιητής. Αὐτὸς δ' Ὅμηρος σαφῶς λέγει, ὅτι τὸ *πάντοσε παπταίνειν* σημαίνει τὸ πάντοσε τοὺς ὀφθαλμοὺς κινεῖν καὶ στρέφειν πρὸς τὸ ὀξύτερον ὁρᾶν· περὶ γὰρ Μενελάου ἐν τῇ αὐτῇ ὀπτικῇ ἐνεργείᾳ τὸ μὲν λέγει Ρ 674 «*πάν-*

τοσε παπταίνων ὥστ' ἀετός», τὸ δὲ τὴν τοῦ *παπταίνειν* διάνοιαν ὧδε ἀναπτύσσει Ρ 679·

ὡς τότε σοί, Μενέλαε διοτρεφές, ὄσσε φαεινὼ
πάντοσε δινείσθην πολέων κατὰ ἔθνος ἑταίρων,
εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιο.

Ἐπὶ τούτῳ δ' ἔμοιγε δοκεῖ τὸν ποιητὴν τῷ *δινείσθην* χρήσασθαι, ἵνα μὴ μόνον τὰς ἄλλας ἀλλὰ καὶ τὰς περιστροφικὰς τῶν ὀφθαλμῶν κινήσεις δηλώσῃ. Καὶ Ἰδομενεὺς δ' ἐν ἱπποδρομίᾳ, ἵνα δείξῃ ὅτι εὐκρινῶς εἶδε τοὺς προτρέχοντας ἵππους, λέγει Ψ 463·

πάντῃ δέ μοι ὄσσε
Τρωϊκὸν ἀμ πεδίον παπταίνετον εἰσορόωντι.

Καὶ ἐνταῦθα δὲ φανερόν, ὅτι τὸ *παπταίνετον* τὰς παντοειδεῖς τῶν ὀφθαλμῶν κινήσεις συλλήβδην σημαίνει. Καὶ τὸ ἐν Π 792 «*στρεφεδίνηθεν δὲ οἱ ὄσσε*» οὐδὲν ἄλλο σημαίνει, ἔμοιγε δοκεῖ, ἢ τὸ στραφῆναι τοὺς Πατρόκλου ὀφθαλμοὺς πρὸς τὰ ὀπίσω καὶ πάντοσε δινηθῆναι, ἵν' εὐκρινῶς ἴδῃ τὸν ἐξαπίνης καὶ ἀοράτως πλήξαντα αὐτὸν ἐκ τῶν ὄπισθεν κατὰ τὸ μετάφρενον καὶ τοὺς ὤμους· τὸ μὲν ἄρα διὰ τὸ αἰφνίδιον τῆς πλήξεως, τὸ δὲ διότι ἀόρατος ἦν ὁ πλήξας Ἀπόλλων *ἀέρι* κεκαλυμμένος εἰκὸς ἦν καὶ φυσικὸν τοὺς ὀφθαλμοὺς πρὸς τὰ ὀπίσω στρέψασθαι Πάτροκλον καὶ πάντοσε δινήσασθαι, ἵνα τὸν ἐξαπίνης καὶ ἀοράτως ἐκ τῶν ὄπισθεν πλήξαντα ἴδῃ, ὡς ἐν τοιαύταις περιστάσεσιν εἴωθε γίγνεσθαι.

Αἱ ποικίλαι δὲ τῶν ὀφθαλμῶν κινήσεις καὶ τῶν βλεφάρων καὶ τῶν ὀφρύων ποικίλας παριστᾶσι ψυχικὰς διαθέσεις καὶ συναισθήματα. Οὕτω τὸ εἰς τοὐπίσω τρέπειν τὰ ὄμματα, ἤτοι τὸ μὴ ἀτενὲς προσβλέπειν εἰς τὸ ὁρώμενον, τὸ μὲν ἀκηδίαν καὶ ἀδιαφορίαν σημαίνει, ὡς Ζεὺς Ν 3,7 «*πάλιν τρέπεν ὄσσε φαεινὼ*» τῶν μὲν Τρώων ἀφροντιστῶν, μακρὰν δ' ἐπὶ τὴν τῶν Θρᾳκῶν γῆν καὶ Μυσῶν καὶ Ἱππημολγῶν καὶ Ἀβίων *καθορώμενος* καὶ περὶ τούτων μεριμνῶν· τὸ δὲ περιφρόνησιν καὶ ὀλιγωρίαν καὶ ἐπιχαιρεκακίαν, ὡς ὅτ' Ἀθηνᾶ τὸν Ἄρη λίθῳ ἔβαλε κατ' αὐχένα, γελῶσα δὲ καὶ ἐπιχαιρεκακοῦσα εἰς τοὐπίσω ἔτρεπε τὰ ὄμματα Φ 415. Τοὐναντίον δὲ τὸ μὴ τρέπειν τὰ ὄμματα ἀπό τινος ἀλλ' ἀεὶ ἀσκαρδαμυκτεῖ αὐτὸ ὁρᾶν φροντίδα καὶ μέριμναν παρίστησιν, ὡς Ζεὺς ὑπὲρ τῶν Τρώων Π 645. Καὶ ἡ Ἑλένη τῷ ἑαυτῆς συζύγῳ Πάριδι ἐπιπλήττουσα καὶ ὀνειδίζουσα ἔκλινε πρὸς

τοὐπίσω τοὺς ὀφθαλμοὺς Γ 427. Τίνι δὲ κινήσει τρέπει τις ἢ κλίνει τὰ ὄμματα πρὸς τοὐπίσω εἴτ' ἐπ' ἀδιαφορίας εἴτ' ἐπὶ χαιρεκακίας εἴτ' ἐπ' ὀνειδισμοῦ καὶ ἐπιπλήξεως; Βεβαίως ἡ τῆς κεφαλῆς στροφὴ περὶ τὸν ἄξονα καὶ αἱ τῶν ὀφθαλμῶν συζυγεῖς ἐπὶ τὰ πλάγια κινήσεις ἢ δεξιὰ ἢ ἀριστερά.

Ἁπλαῖ δ' ἐπὶ τὰ πλάγια τῶν ὀμμάτων συζυγεῖς βολαὶ ἢ κινήσεις γίνονται ἐπὶ φόβῳ καὶ τρόμῳ· οἷον Ἀγχίσης ἰδὼν τὰ καλὰ ὄμματα τῆς θεᾶς Ἀφροδίτης ἐφοβήθη «*καὶ ὅσσε παρακλιδὸν ἔτραπεν ἄλλῃ*» Ὑμ. 4, 182. Τηλέμαχος δὲ τὸν ἑαυτοῦ πατέρ' Ὀδυσσέα ἰδών, ὃν Ἀθηνᾶ ἀνδρὶ νέῳ ὅμοιον καὶ καλὰ ἔχοντι ἐνδύματα ἔθηκε, καὶ φοβηθεὶς μὴ θεὸς εἴη «*ἑτέρωσε βάλ' ὄμματα*» π 179· καὶ ἐν τούτῳ δ' ἐπὶ τὰ πλάγια τὴν κίνησιν γενέσθαι δοκεῖ μοι, εἰ καὶ μὴ εἴρηται ῥητῶς· οὕτω γὰρ ἐν τρόμῳ γίγνεσθαι ἔφυ.

Ἡ δὲ Δημήτηρ, ἣν αἰδὼς καὶ σέβας καὶ δέος εἶλεν, ἔμενε σιγῶσα «*κατ' ὄμματα καλὰ βαλοῦσα*» Ὑμ. 5, 194· ἡ γὰρ αἰδὼς καὶ τὸ σέβας ὑπερίσχυσεν, ἐν οἷς ἡ τῶν κάτω ὀρθῶν μυῶν λειτουργία γίγνεσθαι πέφυκε, ἐπὶ δέους παρακλιδὸν τρεπομένων τῶν ὀφθαλμῶν, ὡς εἴρηται· ἡ γὰρ Μετάνειρα τῇ Δήμητρι λέγει Ὑμ. 5, 214· «*ἐπί τοι πρέπει ὄμμασιν αἰδὼς καὶ χάρις*», ἐξ οὗ φανερὸν ὅτι τὴν αἰδῶ μᾶλλον πρὸ ὀφθαλμῶν ἔχων ὁ ποιητὴς εἶπε καταβαλεῖν κοὐ παρακλιδὸν τὴν Δήμητρα τρέψαι τὰ ὄμματα. Καὶ ἡ φιλομειδὴς Ἀφροδίτη, ὅτε Ἀγχίσης ἔλαβεν αὐτὴν τῆς χειρὸς καὶ εἰς τὴν κλίνην ἦγεν, ἐξ αἰδοῦς καὶ ἔρωτος ἴσως μετεστράφη «*κατ' ὄμματα καλὰ βαλοῦσα*» Ὑμ. 4, 156. Αἰσχίνην δὲ καὶ αἰδῶ ἐκφράζει τὸ «*κατηφέες ἐσσόμεθα*» ω 432 ἤτοι *κατὰ φάεα βαλοῦμεν*, ὅ ἐστιν ἐξ αἰδοῦς ταπεινώσομεν τὰ ὄμματα. Ὁ δ' ἀναιδὴς τοὐναντίον λέγεται «*κυνὸς ὄμματ' ἔχων*» Α 225, ὃ τὴν Ἀγαμέμνονος ἀναίδειαν κοὐ τὴν θρασύτητα σημαίνει, καὶ «*κυνώπης*» 159· ὁ αὐτὸς γὰρ προσφωνεῖται καὶ «*ὦ μέγ' ἀναιδὲς*» 158 καὶ «*ἀναιδείην ἐπιειμένε*» 149· καὶ Ἑλένη ἑαυτὴν *κύνα* Ζ 344 καὶ *κυνώπιδα* Γ 180 λέγει διὰ τὴν ἀναίδειαν αὐτῆς ἀκολουθησάσης τῷ Πάριδι.

Τὸ δὲ *καθορᾶσθαι* Ν 4 καὶ *κατὰ-ὁρᾶν* Π 646 σαφῶς τὴν πρὸς τὰ κάτω τῶν ὀφθαλμῶν κίνησιν ὑποδηλοῖ καὶ δὴ τὴν τῶν κάτω ὀρθῶν ὀφθαλμικῶν μυῶν ἐνέργειαν. Καὶ τὸ «*ὑπαὶ δὲ ἴδεσκε κατὰ*

χθονὸς ὄμματα πήξας» Γ 217, ὃ Ὀδυσσεὺς ἀγορεύων ποιεῖν εἴωθε καὶ δι' ὃ Γ 220

φαίης κε ζάκοτόν τέ τιν' ἔμμεναι ἄφρονά τ' αὖτως,

καὶ τοῦτο, λέγω, τῇ τῶν κάτω ὀρθῶν ὀφθαλμικῶν μυῶν λειτουργίᾳ γίνεται, ἴδιον δ' ὑπεράγαν ὀργίλου καὶ ἄφρονος. Τούτῳ δὲ ταὐτόσημον, ἔμοιγε δοκεῖ, ἂν εἴη καὶ τὸ «*τὸν δ' ἄρ ὑπόδρα ἰδών*». Ὅτε γὰρ Ὀδυσσεὺς ἐν ὀργῇ ἀγορεύων ὑπόδρα ὁρᾶν εἴωθε τοῦτον, ᾧ ὀργίζεται Β 245. Δ 349. Ξ 82. θ 165. σ 14,337. τ 70. χ 34, 60,320 καὶ Ἀχιλλεὺς Α 148. Υ 428. Χ 260, 344. Ω 559 καὶ Διομήδης Δ 411. Ε 251. Κ 446 καὶ Ἀντίνοος ρ 459 καὶ Εὐρύμαχος σ 388, πρὸς δὲ καὶ Ἕκτωρ ἐν ὀργῇ ἀγορεύων Μ 230. Ρ 169. Σ 284 καὶ Γλαῦκος Ρ 141· οὐ μὴν ἀλλὰ καὶ θεοὶ ὀργιζόμενοι ὑπόδρα ὁρῶσι τοῦτον, ᾧ ὀργίζονται, ὡς Ζεὺς τὸν Ἄρη ὑπὸ Διομήδους τρωθέντα Ε 888 καὶ τὴν Ἥραν Ο 13 καὶ Διόνυσος λέων γενόμενος δεινὸν ὑπόδρα εἶδε Ὑμ. 7,48. Καὶ τὸ *ὑπόδρα ὁρᾶν* ἄρα ζακότου καὶ ἄφρονος ἴδιον· τὸ αὐτὸ ἄρα βλέμμα ἐστὶ καὶ γίνεται τῶν αὐτῶν ὀφθαλμικῶν μυῶν τῶν κάτω ὀρθῶν λειτουργούντων. Ταὐτόσημ' ἄρα καὶ ταὐτοδύναμ' εἰσὶ τὸ «*ὑπαὶ δὲ ἴδεσκε κατὰ χθονὸς ὄμματα πήξας*» καὶ τὸ «*τὸν δ' ἄρ ὑπόδρα ἰδών*»· ἔστι δὲ προσήλωσις μὲν τῶν ὀμμάτων κατὰ γῆς, ὄψις δ' ἔκκεντρος ὑπὸ τῇ τῶν ἄνω βλεφάρων στεφάνῃ.

Τὸ δ' εὐθὺ ἀτενίζειν ποικίλως μὲν λέγει Ὅμηρος, κυρίως δὲ τ 478 «*ἀθρῆσαι-ἀντίη*», π 160 «*ἴδεν ἀντίον*», π 458 «*ἐσάντα ἰδών*» καὶ Ν 184 «*ἄντα ἰδών*» ἐν τῷ πολλάκις ἐπαναλαμβανομένῳ στίχῳ·

ἀλλ' ὃ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος | τυτθόν.

Ὡς δ' αἱ ποικίλαι τῶν ὀφθαλμικῶν βολβῶν κινήσεις ποικίλα ἐκφράζουσι συναισθήματα, *ὀργὴν ἢ ἀφροσύνην*, *τρόμον*, *αἰδῶ ἢ σέβας*, πρὸς δὲ *ἐπιχαιρεκακίαν*, *ὀνειδισμόν*, *ἀκηδίαν*, *μέριμναν*· οὕτω καὶ αἱ τῶν βλεφάρων καὶ τῶν ὀφρύων κινήσεις ποικίλα παριστᾶσι, τὸ μὲν *ἔκστασιν ἢ ἔκπληξιν*, τὸ δὲ δεινὴν *σκυθρωπότητα*, τὸ δὲ *μειδίαμα* καὶ *ὕπνον* καὶ *ἀϋπνίαν* καὶ *πένθος ἢ ἄχος*, τοῦτο δὲ *ἀναγνεύειν* καὶ *ἐπινεύειν*. Ὁ Ἀχιλλεὺς ἐξ ἐκστάσεως καὶ ἐκπλήξεως, διότι ἄφαντος ἐγένετο ὁ Αἰνείας, ὅτε ὁ Ποσειδῶν ἐσκέδασε τὴν ἀχλύν, ἣν αὐτὸς ἔχυσεν, ἀπὸ τῶν ὀφθαλμῶν τοῦ Ἀχιλλέως, τότε «*μέγ' ἔξι-*

δεν ὀφθαλμοῖσιν» Υ 342, ἤτοι μεγάλως ἐξ ἐκπλήξεως τοὺς ὀφθαλμοὺς ἠνέῳξε. Γίνεται δὲ τοῦτο τὸ μὲν τῇ ἐντόνῳ ἐνεργείᾳ τῶν ὑψωτήρων τῶν ἄνω βλεφάρων, τὸ δὲ τῇ ἐνεργείᾳ τῶν μετωπικῶν μυῶν, τάς τε ὀφρύας καὶ τὸ βλεφαρικὸν δέρμα ἀνελκόντων.

Ὁ Αἴας τὸν Πατρόκλου νεκρὸν προασπίζων, ὡς λέων τὰ τέκνα αὐτοῦ, δεινὸς καὶ ἀτρόμητος καὶ σοβαρὸς πολεμιστὴς παρίσταται, ὥστε μήτε τὸν Ἕκτορα κατὰ τῶν δεινῶν καὶ συνωφρυωμένων καὶ σκυθρωπῶν αὐτοῦ ὀφθαλμῶν ἰδεῖν τολμῆσαι Ρ 136 (167)·

πᾶν δὲ τ' ἐπισκύνιον κάτω ἕλκεται ὄσσε καλύπτων.

Γίνεται δ' ἡ δεινὴ αὕτη συνοφρύωσις, ἰσχυρῶς τῶν ὀφρύων καθελκομένων καὶ συναγομένων τῷ ἐπισκυνίῳ μυΐ. Συνοφρύωσιν δ', ἔμοιγε δοκεῖ, καὶ σκυθρωπότητα καὶ δεινὸν βλέμμα δύναται καὶ τὸ περὶ Ἕκτωρος εἰρημένον Θ 349·

Γοργοῦς ὄμματ' ἔχων ἠὲ βροτολοιγοῦ Ἄρηος·

ἐν γὰρ Λ 36 ἡ Γοργὼ *βλοσυρῶπις* λέγεται *δεινὸν δερκομένη*.

Καὶ τὸ μειδίαμα δὲ τοῖς ὀφθαλμοῖς γίνεται, ὡς Διόνυσος Ὑμ. 7,14 «*ὁ δὲ μειδιάων ἐκάθητο | ὄμμασι κυανέοισι*»· τοῖς δ' ὀφρύσι μειδιᾷ ὁ Ἅδης Ὑμ. Δημ. 5,357·

μείδησεν δὲ ἄναξ ἐνέρων Ἀϊδωνεὺς ὀφρύσιν·

καὶ τὸ μέτωπον δὲ τοῦ γελῶντος εὐφραίνεται Ο 102. χαρίεν γιγνόμενον. Τοῦτο δ' οὐδὲν ἄλλ' ἂν εἴη ἢ τὸ ἐπὶ μειδιάματος καὶ εὐφροσύνης φαιδρὸν καὶ χαροπὸν τοῦ μετώπου, τῶν ὀφρύων καὶ τῶν ὀφθαλμῶν. Καὶ ἡ ἀκριβὴς δ' ἀναγνώρισις προσώπου γνωστοῦ ἐκ τῆς ὄψεως τῶν ὀφθαλμῶν αὐτοῦ γίνεται, ὡς Ἀχιλλεὺς οὐ πεποιθότως Μαχάονα ἀνεγνώρισεν ἐκ τῶν ὄπισθεν, ἐπεὶ οὐκ εἶδε τὰ ὄμματα τοῦ Ἀσκληπιάδου Λ 614. Καὶ ἡ ὁμοιότης δὲ δύο ἀτόμων ἐκ τῶν ὀφθαλμῶν κρίνεται, ὡς Ὀδυσσέως καὶ Τηλεμάχου α 208. Ὃ δὲ θαυμάσιόν ἐστι, καὶ τὸ Ἀριστοτέλει εἰρημένον πάντα τὰ ζῷα ὅσα ἔχει βλέφαρα μύοντα ποιεῖσθαι τὸν ὕπνον καὶ τοῦτο Ὅμηρος πρῶτος εἴρηκεν· ὁ γὰρ Πρίαμος ἄϋπνος ὢν ἐκ τῆς λύπης τῆς ἐκ τοῦ θανάτου τοῦ υἱοῦ αὐτοῦ Ἕκτορος λέγει Ω 637·

οὐ γάρ πω μύσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν.

Ἡ μύσις ἄρα τῶν ὀμμάτων ἐπὶ ὕπνου γνώριμος ἦν Ὁμήρῳ. Ποικίλως δ' εἰκονίζεται ὁ ὕπνος, ὃς τῇ τῶν ὀμμάτων μύσει γίγνεται· ὁ θεὸς Ὕπνος κοιμίζει τὰ ὑποκάτωθεν τῶν ὀφρύων φαεινὰ τοῦ Διὸς

ὄμματα Ξ 236, τοὺς ὀφθαλμοὺς αὐτοῦ προσβλέπων Ξ 286. Ἡ Ἥρα βουλεύεται τῇ φιλότητι ὕπνον ἐπιχέαι ἐπί τε τῶν βλεφάρων καὶ τῶν φρενῶν τοῦ Διὸς Ξ 164. Ἡ γλαυκῶπις Ἀθηνᾶ ὕπνον ἡδὺν ἐπὶ τῶν βλεφάρων τῆς Πηνελόπης, τὸν σύζυγον αὐτῆς Ὀδυσσέα κλαιούσης, ἔβαλε α 364. π 450. τ 603. φ 357, ὕπνον δ' ἐπὶ τῶν Ὀδυσσέως ὀμμάτων ἔχεεν, ὃς τὰ φίλα βλέφαρα περιεκάλυψε ε 492, καὶ ἐπὶ τῶν βλεφάρων αὐτοῦ υ 54. Πρὸς δὲ καὶ οἱ Ὀλύμπιοι θεοὶ γλυκὺν ὕπνον ἐπὶ τῶν Ὀδυσσέως βλεφάρων ἔχεαν μ 338. Πάντες ἄρ' οἱ θεοὶ κοὐχ ὁ Ὕπνος μόνος νήδυμον ὕπνον ἐπὶ τῶν βλεφάρων ἢ τῶν ὀμμάτων χεῖν ἐνομίζοντο. Καὶ μόνος δ' ὁ νήδυμος ὕπνος μὴ ἐπιχυθεὶς ὑπὸ θεοῦ τινος πίπτει ἐπὶ τῶν βλεφάρων τοῦ Ὀδυσσέως ν 79. Γραφικὴ δ' ὄντως ἐστὶν ἡ τοῦ ἡδέως ὕπνου τῆς Πηνελόπης εἰκών, ἐν ᾗ καὶ τὸ μύειν τὰ ὄμματα σαφῶς παρίσταται ψ 16·

τίπτε ἐξ ὕπνου μ' ἀνεγείρεις
ἠδέος, ὃς μ' ἐπέδησε φίλα βλέφαρ' ἀμφικαλύψας;

Ἡ δ' ἐγρήγορσις ἢ ἀϋπνία ποικίλως ἐκφράζεται Κ 91 «*οὔ μοι ἐπ' ὄμμασι νήδυμος ὕπνος | ἰζάνει*» λέγει Ἀγαμέμνων. Καὶ Μενέλαος τρόμῳ ἐχόμενος, μή τι πάθοιεν Ἀργεῖοι, οὐδ' ὕπνος ἐπὶ τῶν βλεφάρων αὐτοῦ ἐφίζανε Κ 26. Περὶ δὲ τῶν ἐγρηγορότων φυλάκων τῶν Ἀχαιῶν εἴρηται Κ 187·

ὣς τῶν νήδυμος ὕπνος ἀπὸ βλεφάροιϊν ὀλώλει.

Ὀδυσσεὺς δὲ τὴν ἐκ τοῦ ὕπνου ἔγερσιν αὐτοῦ ὧδε λέγει μ 366·

καὶ τότε μοι βλεφάρων ἐξέσσυτο νήδυμος ὕπνος

Ἡ δὲ Πηνελόπη ἀποφαινομένη ὅτι οὐκ ἔστιν ἄϋπνους εἶναι ἀεὶ τοὺς ἀνθρώπους υ 85 τὴν ἀϋπνίαν ὧδε ἐκφράζει τ 590·

οὔ κέ μοι ὕπνος ἐπὶ βλεφάροισι χυθείη.

Ἡ δὲ φυσιογνωμονία τοῦ πενθοῦντος, οὐ πεπτωκότα πως φαίνεται τὰ ἄνω βλέφαρα καὶ κατηφῆ τὰ ὄμματα, θαυμασίως παρίσταται· οἷον ὅτε Κόων τὸν αὐτοῦ ἀδελφὸν Ἰφιδάμαντα ὑπ' Ἀγαμέμνονος φονευθέντα ἐπένθη, τῇδε τῇ εἰκόνι ἡ θλῖψις αὐτοῦ παρίσταται Λ 249·

κρατερόν ῥά ἑ πένθος | ὀφθαλμοὺς ἐκάλυψε.

καὶ ὅτε Αἰνείαν κατ' ἀσπίδ' ἔβαλεν Ἀχιλλεὺς Υ 282,

κὰδ δ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσιν.

Τὸ δὲ πένθος ἢ ἄχος μετὰ δακρύων ἢ ἄνευ τούτων ἐκδηλοῦται, ὡς

Τηλέμαχος τοῦ πατρὸς αὐτοῦ Ὀδυσσέως Ἀντινόῳ βεβλημένου ρ 489·

Τηλέμαχος δ' ἐν μὲν κραδίῃ μέγα πένθος ἄεξεν
βλημένου, οὐδ' ἄρα δάκρυ χαμαὶ βάλεν ἐκ βλεφάροιιν·

ἡ γὰρ βούλησις μέγα δύναται ἐπὶ τῇ τῶν δακρύων ἐκροῇ. Καὶ Ὀδυσσεύς, τῆς γυναικὸς αὐτοῦ δακρυχεούσης καὶ τὸν ἄνδρα αὐτῆς ἄγνωστον παρακαθήμενον κλαιούσης, εἰ καὶ ἡ καρδία αὐτοῦ ἐτήκετο ἐπὶ τοῖς θρήνοις τῆς Πηνελόπης, τῇ ἰσχυρᾷ ὅμως αὐτοῦ βουλήσει, ἵνα μὴ ὑπ' αὐτῆς ἀναγνωρισθῇ, δόλῳ συνεκράτει τὰ δάκρυα αὐτοῦ τ 211·

ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἔστασαν ἠὲ σίδηρος
ἀτρέμας ἐν βλεφάροισι· δόλῳ δ' ὅγε δάκρυα κεῦθεν.

Θαυμασία ὄντως ἡ εἰκὼν αὕτη, ἣν τότ' ἄν τις κατανοήσειεν, εἰ τοὺς ὀφθαλμοὺς προσεκτικῶς παρατηρήσειε βαθὺ μὲν ἄλγος συναισθανομένου ἀδακρύτου δέ· ὄντως ἤρεμοι καὶ ὅλως ἀκίνητοι ἵστανται οἱ ὀφθαλμοὶ τοῦ ἀδακρύτως πενθοῦντος ὡς κέρα ἀκίνητα, ξηροὶ δὲ καὶ στεγνοὶ καὶ ἀδάκρυτοι, ὡς καὶ τὸ κέρας ἐστὶ ξηρόν, σκληροὶ δὲ καὶ μὴ εὐεπίφοροι εἰς δάκρυα, ὡς σίδηρος.

Ποικιλωτάταις δὲ χρῆται Ὅμηρος ἐκφράσεσι πρὸς τὴν τοῦ δακρύειν ἔννοιαν. Εὖ δ' οἶδεν ὁ δαιμόνιος καὶ παρατηρητικὸς νοῦς ὅτι δάκρυα χύνονται οὐ μόνον ἐπὶ πένθει τεθνεῶτος Ρ 695 καὶ λύπῃ ἐξ οἱασδήποτε αἰτίας Ψ 385, καὶ ἐπὶ πόνῳ ἐκ τρώσεως Ψ 396 καὶ ἐπὶ ἀναμνήσει καὶ πόθῳ ἀπόντος δ 114 ἢ νόστου ε 151 καὶ ἐπὶ συγκινήσει θ 86,522, ἀλλὰ καὶ ἐκ χαρᾶς καὶ φιλοστοργίας ἐπὶ τῇ Ὀδυσσέως ἀναγνωρίσει π 219. τ 471· ψ 33 καὶ ἐκ γέλωτος δακρύων πληροῦνται οἱ ὀφθαλμοὶ υ 348 καὶ ἐπὶ μέθῃ δάκρυσι πλημμυροῦσι τ 122.

Αἱ συνηθέστεραι δὲ τῶν τοῦ δακρύειν ἐκφράσεων, αἷς χρῆται Ὅμηρος, εἰσὶ τὸ μὲν ἁπλαῖ *δακρύειν, δακρυχέων, δακρυπλώειν, δάκρυα χέειν ἢ λείβειν ἢ εἴβειν ἢ κατείβειν ἢ ἐκβάλλειν, ἔκπεσε ἢ ἔκφυγε δάκρυ, ῥέε δάκρυα* καὶ ἄλλα, τὸ δ' ἐνέχουσιν *ὄσσε ἢ ὀφθαλμοὺς ἢ βλέφαρα ἢ ὀφρῦς ἢ παρειάς*· οἷον υ 204 «*δεδάκρυνται δέ μοι ὄσσε*», ὃ ἐπὶ πένθους λέγεται· Ρ 695 «*τὼ δὲ οἱ ὄσσε | δακρυόφι πλῆσθεν*», ὃ ἐπὶ πένθους ἢ λύπης λέγεται, ὡς περὶ Ἀντιλόχου τὸν τεθνεῶτα Πάτροκλον πενθοῦντος Ρ 695 καὶ περὶ Πηνελόπης δακρυχεούσης, διότι Τηλέμαχον κατακτεῖναι οἱ μνηστῆρες ἐβυσσοδόμευον δ 704 καὶ περὶ Εὐρυλόχου θρηνοῦντος τὴν τῶν ἑταίρων εἰς σῦς μεταμόρφωσιν ὑπὸ τῆς Κίρκης κ 247, καὶ ἐπὶ χαρᾶς καὶ συγκινήσεως ἀνα-

γινώσκεται, ὡς ἐπὶ τῇ Ὀδυσσέως ἀναγνωρίσει ὑπὸ τῆς γραίας Εὐρυκλείας τ 471, καὶ ἐπὶ γέλωτος ἀσβέστου τῶν μνηστήρων υ 348, καὶ ἐπὶ πόνου ἐκ τραύματος, ὡς ὃθ' ὁ Ἀδμήτου υἱὸς ἐκ τοῦ δίφρου ἐξεκυλίσθη Ψ 396· πρὸς δ' ἐπὶ πένθους εἴρηται δ 186·

οὐδ' ἄρα Νέστορος υἱὸς ἀδακρύτω ἔχεν ὄσσε

καὶ ἐπὶ νοσταλγίας ε 151 «*οὐδέ ποτ' ὄσσε | δακρυόφιν τέρσοντο* [*Ὀδυσσέως*]». Ἡ δ' ἀπὸ τοῦ δακρύειν παῦσις ἐκφέρεται δ 758 «*σχέθε δ' ὄσσε γόοιο*». Καὶ ὁ Τυδέως υἱὸς λυπεῖται, ὅτι Ἀπόλλων τὴν μάστιγα τῶν χειρῶν αὐτοῦ ἔβαλεν Ψ 385·

τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο.

Πένθος δ' ἢ λύπην ἐκφράζουσι καὶ τάδε Ρ 437·

δάκρυα δέ σφιν
θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν
ἡνιόχοιο πόθῳ,

ἔνθα οἱ ἵπποι παρίστανται τοῦ Αἰακίδου κλαίοντες καὶ θρηνοῦντες τὸν πεσόντα ἡνίοχον, καὶ δ 114 (ρ 490)·

δάκρυ δ' ἀπὸ βλεφάρων χαμάδις βάλε πατρὸς ἀκούσας,

ἔνθα Τηλέμαχος ἐπὶ τῇ ἀναμνήσει τοῦ πατρὸς αὐτοῦ δακρυρροεῖ· καὶ Ὀδυσσεὺς ὅτ' ἤκουε Δημοδόκου τὰ Τρωϊκὰ ᾄδοντος θ 522·

δάκρυ δ' ἔδευεν ὑπὸ βλεφάροισι παρειάς·

καὶ ξ 129·

καὶ οἱ ὀδυρομένῃ βλεφάρων ἄπο δάκρυα πίπτει,

ἔνθα περὶ Πηνελόπης ὁ λόγος τὸν Ὀδυσσέα θρηνούσης· ἀλλὰ καὶ ὅτε ἐχάρη ἐπὶ τῇ ἀγγελίᾳ τῆς ἐπανόδου τοῦ Ὀδυσσέως, «*βλεφάρων δ' ἀπὸ δάκρυον ἦκεν*» ψ 33. Ἐπεὶ δ' ὑπὸ τὰς ὀφρῦς εἰσιν οἱ τὰ δάκρυα χέοντες ὀφθαλμοί, διὰ τοῦτο εἴρηται· N 88 (θ 86) «*ὑπ' ὀφρύσι δάκρυα λείβον* (*Ἀχαιοί*)» καὶ δ 153 «*πικρὸν ὑπ' ὀφρύσι δάκρυον εἶβεν* (*Μενέλαος*)» καὶ θ 531. π 219 «*ὣς Ὀδυσσεὺς ἐλεεινὸν ὑπ' ὀφρύσι δάκρυον εἶβεν*». Ἐπεὶ δὲ τὸ ἀπὸ τῶν ὀφθαλμῶν δάκρυ κατὰ τῶν παρειῶν καταρρεῖ, διὰ τοῦτο εἴρηται Ω 794 «*θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν*» (τῶν ἀδελφῶν καὶ ἑταίρων τοῦ Ἕκτορος) καὶ δ 198 «*βαλέειν τ' ἀπὸ δάκρυ παρειῶν*» (*τοὺς βροτούς*) καὶ π 190 «*κατὰ δὲ παρειῶν | δάκρυον ἧκε χαμάζε*», ἐνθ' Ὀδυσσεὺς ἐκ φιλοστοργίας τὸν υἱὸν φιλῶν δακρύει, καὶ Χ 491 «*δεδάκρυνται δὲ παρειαί*».

Τὸ δ' *ἀναρεύειν* καὶ *ἐπιρεύειν* παριστᾶσι τὸ μὲν τὴν τοῦ μετωπικοῦ μυὸς ἐνέργειαν τὸ δὲ τὴν τοῦ ἐπισκυνίου ἢ συνοφρυοῦντος μυός. Καὶ εἴρηται μὲν καὶ ἁπλῶς *ἀναρεύειν* Π 250 καὶ *ἐπιρεύειν* Ὑμ. Ἀφρ. 222, πρὸς δὲ *ἀναρεύειν καρήατι* Χ 205 καὶ *ἐπιρεύειν κάρητι* Ο 75 ἢ *καταρεύειν* Κ 393 καὶ *κεφαλῇ καταρεύειν* Α 524, 527, ἃ τὰς τῆς κεφαλῆς κινήσεις ἐπὶ τὰ ὀπίσω καὶ πρόσω δηλοῦσιν, ἀλλὰ κυρίως τῇ τῶν ὀφρύων ἀνασπάσει καὶ κατασπάσει τὸ *ἀναρεύειν* καὶ *ἐπιρεύειν* γίγνεται. Καὶ τὸ μὲν τοῖς *ὀφρύσιν ἀναρεύειν* ἅπαξ μόνον εἴρηται ι 468 «*ἀνὰ δ' ὀφρύσι νεῦον ἑκάστῳ|κλαῖεν*», Ὀδυσσέως τοῖς ὀφρύσιν ἀνανεύοντος· τὸ δὲ τοῖς *ὀφρύσιν ἐπιρεύειν* πολλάκις ἀναγινώσκεται· Ζεὺς τοῖς ὀφρύσιν ἐπινεύει τῇ κεφαλῇ ἅμα κατανεύων Α 528 (524, 527)·

Ἦ καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων,
ἀμβρόσιαι δ' ἄρα χαῖται ἐπερρώσαντο ἄνακτος
κρατὸς ἀπ' ἀθανάτοιο· μέγαν δ' ἐλέλιξεν Ὄλυμπον.

Καὶ ἄνευ δὲ τῆς κεφαλῆς κινήσεως ἐπὶ τὰ πρόσω, ἄνευ τοῦ *καταρεύειν*, τοῖς ὀφρύσι μόνον ἐπινεύει Ρ 209. Καὶ Ἀχιλλεὺς Πατρόκλῳ «*ἐπ' ὀφρύσι νεῦσε σιωπῇ*» Ι 620. Καὶ Ἀθηνᾶ Ὀδυσσεῖ νεῦμα τοῖς ὀφρύσιν ἐποιήσατο, ἵνα ἐξέλθῃ· «*ἐπ' ὀφρύσι νεῦσε*» π 164. Καὶ Ὀδυσσεὺς Τηλεμάχῳ νεῦμα ἐποιήσατο ἐπὶ τῇ μνηστηροφονίᾳ· «*ἐπ' ὀφρύσι νεῦσεν*» φ 431· καὶ «*ὀφρύσι νευστάζων*» λῦσαι ἐκέλευε τοὺς ἑταίρους, ἵνα τὴν λιγυρὰν ᾠδὴν τῶν Σειρήνων ἀκούσῃ μ 194. Τὸ δὲ πυκνῶς καὶ ἐναλλὰξ ἀνασπᾶν καὶ κατασπᾶν τὰς ὀφρῦς ἤτοι ἡ ἀμοιβαδὸν ἐνέργεια τοῦ μετωπικοῦ καὶ ἐπισκυνίου μυὸς εἴρηται ἐν Ὕμνῳ εἰς Ἑρμῆν 279 «*ὀφρῦς ῥιπτάζεσκε*».

γ' *Περὶ ὀφθαλμικῶν παθῶν.*

1 *Περὶ τυφλότητος, ἀμαυρώσεως, δυσορασίας. Ἀχλύς, σκότος, νύξ, ἀήρ.* Διὰ θαυμασίων καὶ γραφικῶν εἰκόνων παρίστησιν Ὅμηρος τὸν θάνατον, τὰς λιποψυχίας ἢ λιποθυμίας, σκοτοδινίας σκοτώσεις, αἳ δυσορασίας, ἀμαυρώσεις, τυφλότητα συνεπάγονται.

Καὶ τὸν μὲν θάνατον ποικίλως μὲν εἰκονίζει, ἀλλὰ καὶ τῆς τυφλότητος ἕνεκεν καὶ αἰωνίας ἀβλεψίας ὧδε αὐτὸν παρίστησι· κελαινὴ ἢ ἐρεβεννὴ νὺξ καλύπτει τοὺς ὀφθαλμοὺς τοῦ θνήσκοντος Ε 659 καὶ

τοῦ λιποθυμοῦντος Ε 310· σκότος καλύπτει τοὺς ὀφθαλμούς· «*τὸν δὲ σκότος ὄσσε κάλυψεν*» Δ 461 καὶ 503. Δ 526. Ζ 11. Ν 575. Ξ 519. Π 316 καὶ 325. Φ 181. Ἡ αὐτὴ δ' ἰδέα πληρέστερον ἐκφέρεται ἐν Ν 672 καὶ Π 607·

ὦκα δὲ θυμὸς
ὤχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.

Ἀχλὺς χεῖται κατὰ τῶν ὀφθαλμῶν Π 344. Πορφυροῦς (ὡς ἐκ τοῦ καταρρέοντος ἴσως αἵματος οὕτως ὠνομασμένος) θάνατος καταλαμβάνει τοὺς ὀφθαλμοὺς Ε (68) 82. Π 333. Υ 476. Νεφέλη κυανῆ περικαλύπτει τὸν θνήσκοντα Υ 417 καὶ θανάτου μέλαν νέφος ἀμφικαλύπτει Π 350. Τὰ τοῦ θανάτου σημεῖα θαυμασίως ἐν ὀλίγοις περιγράφεται ἐν τῇ τοῦ Σαρπηδόνος θανατηφόρῳ τρώσει Π 502· ὁ Σαρπηδὼν ὑπὸ Πατρόκλου ἐν καιρίῳ κατὰ τὸ διάφραγμα βληθεὶς τὸν δὲ φίλον ἑταῖρον Γλαῦκον ἐπὶ τὸν ἀγῶνα παροτρύνας ἀπέθανε τελευτήσας· οἱ ὀφθαλμοὶ τότε ἠμαύρωντο καὶ αἱ ῥῖνες τοῦ ἀναπνεῖν ἐπαύσαντο, «*τέλος θανάτοιο κάλυψε | ὀφθαλμοὺς ῥῖνάς θ'*»· τότε δ' ὁ Πάτροκλος λὰξ ἐπὶ τοῦ στήθους βαίνων εἵλκεν ἐκ τοῦ σώματος τὸ δόρυ, συνείπετο δὲ καὶ τὸ διάφραγμα· οὕτω δὲ σὺν τῇ τοῦ δόρατος αἰχμῇ συνεξείρυσεν ἅμα καὶ τὴν Σαρπηδόνος ψυχήν, ῥαγδαίας αἱμορραγίας ὡς εἰκὸς ἐπιγενομένης, ὡς ἐκ τοῦ στίχου 639 φανερόν. Ἱερὸν δὲ καθῆκον τῶν τ' οἰκείων καὶ φίλων ἦν τὸ τοὺς ὀφθαλμοὺς τοῦ τεθνεῶτος καθελεῖν καὶ τὸ στόμα συνερεῖσαι, ὃ καὶ μέχρις ἡμῶν ἀφίκετο, ἀπαραβάτως δὲ τελεῖται λ 426· γέρας δὲ τῶν θανόντων λογίζεται τὸ τοὺς ὀφθαλμοὺς καθελεῖν ω 296. Λ 453.

Ὡς δ' ἐπὶ θανάτου ἡ ὄψις διὰ παντὸς ἠμαύρωται, οὕτω καὶ ἐπὶ τῆς ὁμοίας θανάτῳ λιποθυμίας οἶδεν ὁ ποιητὴς προσκαίρως ἀμαυρουμένην τὴν ὄψιν, δι' ὃ τῇ αὐτῇ εἰκόνι τόν τε θάνατον Π 344 καὶ τὴν λιποθυμίαν παρίστησιν Ε 696· ὁ Σαρπηδὼν φερ' εἰπεῖν Τληπτολέμῳ τὸν μηρὸν δόρατι βέβληται, ὃ Πελάγων ἐκ τοῦ μηροῦ ἐξείλκυσεν, αἱμορραγίας δ' ὡς εἰκὸς ἐπιγενομένης, ἐλιποθύμησε, «*κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς*», ἀνέπνευσε δ' αὖθις. Καὶ ἡ Ἀνδρομάχη ὅτε τὸ πτῶμα τοῦ ἑαυτῆς συζύγου Ἕκτορος ὑπ' Ἀχιλλέως ἑλκόμενον ἀνεγνώρισεν, ἐλιποθύμησε Χ 466,

τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,

καὶ ἔπεσεν ἐξοπίσω, τὴν δὲ ψυχὴν σχεδόν τι ἀπέπνει, ἀλλ' ἐκ τῆς

λιποθυμίας συνελθοῦσα ἀνέπνευσε καὶ εἰς φρένα θυμὸς συνηγέρθη Χ 475· καὶ ὁ θάνατος δ' αὐτολεξεὶ παρίσταται Ε 659. Καὶ ἡ σκοτοδυνία δ' Ἕκτορος, ὑπὸ Διομήδους κατὰ τὴν περικεφαλαίαν δόρατι βληθέντος, ἢ πιθανῶς ἐκ διασείσεως τοῦ ἐγκεφάλου αὐτῷ ἐγένετο, ἕνεκα τῆς προσκαίρου τῶν ὀφθαλμῶν σκοτώσεως τῇ αὐτῇ τῷ θανάτῳ εἰκόνι παρίσταται Ε 659. Λ 356· «*ἀμφὶ δὲ ὄσσε κελαινὴ νὺξ ἐκάλυψεν*», ὡς καὶ ἡ Αἰνείου λιποθυμία ἐκ τοῦ πόνου ἴσως τοῦ κατάγματος τῆς κοτύλης, ὑπὸ Διομήδους λίθῳ βληθέντος Ε 310· ἀμφότεροι γὰρ αὖθις ἀνέπνευσαν καὶ ἐν τῇ ζωῇ ἐπανῆλθον. Καὶ ὁ Ἕκτωρ αὖθις, ὃν χερμαδίῳ ὁ Αἴας ἔβαλε κατὰ τὰ ἄνω τοῦ στήθους πλησίον τοῦ λαιμοῦ, λιποθυμήσας ἐκ πνευμονικῆς πιθανῶς αἱμορραγίας, τῇ ἐπιχύσει ψυχροῦ ὕδατος ἐκ τοῦ Ξάνθου συνελθὼν ἀνέπνευσε καὶ ἀνέβλεψε τοῖς ὀφθαλμοῖς, ἀλλ' αἷμ' ἀπεμέσας αὖθις ἐξοπίσω ἐλιποθύμησε, «*τὼ δὲ οἱ ὄσσε | νὺξ ἐκάλυψε μέλαινα*» Ξ 400-439, ἐξῆς δ' ἄσθματι καὶ ἱδρῶτι εἶχετο αἷμα ἐμῶν· εἶτα δὲ τό τ' ἄσθμα καὶ ὁ ἱδρὼς καὶ τὸ αἷμα ἐπαύσαντο καὶ νέον εἰσηγείρατο θυμὸν καὶ ἐπὶ τὸν πόλεμον ἦλθεν τῇ τοῦ Ἀπόλλωνος ἐνθαρρύνσει Ο 10 καὶ 241. Οὕτω σοφῶς ταῦτά τε καὶ ἄλλα παθολογικὰ φαινόμενα Ὅμηρος διδάσκει.

Πᾶσα εἴτε διὰ παντὸς εἴτε πρόσκαιρος τυφλότης ἢ σκότωσις ἢ ἀμαύρωσις ἢ δυσορασία ἐξ οἱασδήποτε προερχομένη αἰτίας, θανάτου ἢ λιποθυμίας ἢ σκοτοδυνίας, ἢ θεοῦ ἐνεργείᾳ ἢ ὁμίχλης ἀμφικαλύψει, εἴτ' ἐν αὐτῷ τῷ ὁρῶντι ὀφθαλμῷ ἔγκειται ἡ αἰτία εἴτ' ἐν τῇ τοῦ ὅλου σώματος καταστάσει εἴτ' ἐν τῇ τοῦ ὁρωμένου ἀμφικαλύψει, ἵν' ἀόρατον ᾖ, λέγεται *ἀχλύς, σκότος, νύξ*· ἀνὰ δὲ λόγον τῆς ἐντάσεως τῆς ἀμαυρώσεως ἢ καὶ τοῦ αἰτίου διάφορα ἐπίθετα προστίθεται· οἷον *ἀχλὺς θεσπεσίη* Υ 342, η 41, *νέφος ἀχλύος θεσπέσιον* Ο 668, ἐν οἷς ἥ τ' ἔντασις τῆς τυφλότητος καὶ ἡ αἰτία σημαίνοιτ' ἄν· ἐκ θεοῦ γὰρ ἡ θεσπεσία αὕτη ἀχλύς· πρὸς δὲ *στυγερὸς σκότος* Ε 47, *κελαινὴ νὺξ* Ε 310. Λ 356, *ἐρεβεννὴ νὺξ* Χ 466, *νὺξ μέλαινα* Ξ 439, ἃ κυρίως ἐπὶ λιποθυμίας λέγει· ἀλλὰ μὴν καὶ ἐπὶ θανάτου *ἐρεβεννὴ νὺξ* εἴρηται Ε 659. Ν 580. Καὶ *πορφύρεος* δὲ *θάνατος* τοὺς ὀφθαλμοὺς καταλαμβάνων καὶ *θανάτου μέλαν νέφος* καὶ *νεφέλη κυανῆ*, ἃ τὸν θνήσκοντα περικαλύπτουσι, τὴν τῆς ἀμαυρώσεως καὶ τελείας τυφλότητος ἰδέαν παριστᾶσιν, ἔμοιγε δοκεῖ.

Ἀθηνᾶ δὲ καὶ Ποσειδῶν παρίστανται οἱ πρῶτοι ὡς ἔπος εἰπεῖν ὀφθαλμικοί, οἳ τὴν ἀμαύρωσιν καὶ δυσορασίαν ἰάσασθαι οἷοί τ' εἰσίν, οὐ μὴν ἀλλὰ καὶ ἀμαυροῦν τινα, εἰ βούλοιντο, καὶ αὖθις αὖ ἰᾶσθαι.

Ἡ Ἀθηνᾶ τὴν ἐκ τοῦ φόβου καὶ τρόμου πρός τε τὸν Ἕκτορα καὶ τὸν Δία Ο 637 καὶ δὴ ἐκ τῆς δειλίας καὶ ἀποθαρρύνσεως καὶ ἀπελπισμοῦ τῶν Ἀχαιῶν δυσορασίαν ἰάσατο ἀπώσασα ἀπὸ τῶν ὀφθαλμῶν τὸ θεσπέσιον τῆς ἀχλύος νέφος καὶ θάρρος ὡς εἰκὸς ἐμπνεύσασα καὶ τολμηρίαν. Τίς γὰρ οὐκ οἶδεν οἵας παροράσεις καὶ δυσορασίας ἐμποιεῖ στρατῷ τινι ὁ πανικός, ὥστε καὶ ἀλληλοκτονεῖν; Τίς οὐκ οἶδε τὰς τοῦ δειλοῦ παραισθήσεις; Τὰς ἐκ τοῦ πανικοῦ ἄρα πορορά-σεις καὶ δυσορασίας, ἔμοιγε δοκεῖ, Ἀθηνᾶ ἀπὸ τῶν ὀφθαλμῶν ἀπέ-ωσε θάρρος τοῖς Ἀχαιοῖς ἐμπνεύσασα, *νέφος δ' ἀχλύος θεσπέσιον* τὸ τοῦ δειλοῦ δυσόμματον εἴρηται Ο 668·

τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
θεσπέσιον, μάλα δέ σφι φάος γένετ' ἀμφοτέρωθεν,
ἠμὲν πρὸς νηῶν καὶ ὁμοίου πολέμοιο.

Ὁ δ' εἴρηται ἐν τοῖς Σχολείοις εἰς τὴν Ὁμήρου Ἰλιάδα Ο 668, «*ἀθετοῦνται στίχοι σε'* (668-73) *ὅτι οὐ προσυνίσταται ἀχλύς, ἀλλὰ συνεχῶς μάχονται*», τοῦτο οὐκ ὀρθῶς ἔμοιγε δοκεῖ εἰρῆσθαι, οὐδ' ἀθετητέους νομίζω τοὺς στίχους τούτους, εἰ *νέφος ἀχλύος θεσπέσιον*, ὡς εἴρηταί μοι, εἴη τὸ δυσόμματον τὸ ἐκ τοῦ φόβου καὶ τρόμου, ὃν ἡ Διὸς βουλὴ τοῖς Ἀχαιοῖς ἐνεποίησε. Φανερὸν δ' ἐκ τῶν ἔμπροσθεν στίχων, ὅτι φόβῳ καὶ τρόμῳ πανικῷ οἱ Ἀχαιοὶ εἶχοντο.

Ἡ δὲ τοῦ Διομήδους *ἀχλύς*, ἣν αὖθις αὖ ἡ Ἀθηνᾶ ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ ἀφεῖλε, δοκεῖ οὐχ ἡ ἐκ φόβου καὶ τρόμου δυσορα-σία εἶναι (εἰ καὶ μένος πατρῷον ἄτρομόν φησιν αὐτῷ ἡ Ἀθηνᾶ ἐμ-βαλεῖν Ε 125)· θάρρος γὰρ ἄτρομον καὶ τολμηρίαν ἔκτακτον εἶχε 93· ἀλλ' ἡ ἐξ ἀφθόνου καὶ ῥαγδαίας αἱμορραγίας θάμβωσις καὶ σκό-τωσις καὶ ἀδυναμία τῆς ὄψεως, καίπερ ἄνευ λιποθυμίας 100, 113. Ὁ Τυδείδης Διομήδης ἐβλήθη διαμπερὲς κατὰ τὸν δεξιὸν ὦμον βέλει ὑπὸ τοῦ υἱοῦ τοῦ Λυκάονος Πανδάρου· αἵματι δὲ κατερραίνετο ὁ θώραξ καὶ πρὸ τῆς τοῦ βέλους ἐξαιρέσεως ἅμα τῇ τρώσει 100, ἀλλ' ὅτε δὴ Σθένελος Καπανιάδης τὸ βέλος ἐξείλκυσε τοῦ ὤμου, τὸ αἷμα ἀνηκόντιζε διὰ τοῦ στρεπτοῦ χιτῶνος 113. Ἐκ τῆς ῥαγδαίας ἄρα ταύτης αἱμορραγίας, ἔμοιγε δοκεῖ, τῷ Τυδείδῃ δυσορασία ἐπεγένετο,

ἣν Ἀθηνᾶ ἰάσατο τῶν ὀφθαλμῶν τὴν ἀχλὺν ἀφελοῦσα Ε 127·

ἀχλὺν δ' αὖ τοι ἀπ' ὀφθαλμῶν ἔλον, ἣ πρὶν ἐπῆεν
ὄφρ' εὖ γιγνώσκῃς ἠμὲν θεὸν ἠδὲ καὶ ἄνδρα.

Πρῶτος δὲ Διομήδης δοκεῖ ἱερὸν Ἀθηνᾶς *ὀξυδερκοῦς* ἐν Ἄργει ἱδρύσασθαι καὶ δὴ ὡς *ὀφθαλμικῇ* θεότητι αὐτῇ τιμὰς ἀποδοῦναι διὰ τὸ ἀφελεῖν τὴν ἀχλὺν ἀπὸ τῶν ὀφθαλμῶν αὐτοῦ, ὡς φησι Παυσανίας Β, 24, 2· « Τοῦ Δειραδιώτου δὲ Ἀπόλλωνος ἔχεται μὲν *ἱερὸν* » *Ἀθηνᾶς ὀξυδερκοῦς* καλουμένης, Διομήδους ἀνάθημα, ὅτι οἱ μα- » χομένῳ ποτὲ ἐν Ἰλίῳ τὴν ἀχλὺν ἀφεῖλεν ἡ θεὸς ἀπὸ τῶν ὀφθαλ- » μῶν ». Εἶτα δὲ Λυκοῦργος ὁ νομοθέτης ἐν Σπάρτῃ ναὸν Ἀθηνᾶς *ὀφθαλμίτιδος* ἀνέθετο Γ, 18, 2 ἢ *ὀπτιλέτιδος* κατὰ Πλούταρχον ἐν *Λυκούργῳ* 11, 7 ἀκέσεως χαριστήριον, ὅτι ὑπ' Ἀλκάνδρου πληγεὶς τὸν ὀφθαλμὸν ἰάθη.

Ἡ Ἀθηνᾶ φίλα φρονοῦσα Ὀδυσσεῖ *ἀχλὺν θεσπεσίαν* κατέχεεν, ἵν' ἀόρατος τοῖς Φαίαξιν εἴη η 41· αὐτὴ δ' αὖτη ἡ ἀχλύς, ἣν Ὀδυσσέως χάριν ἔχεε, λέγεται καὶ *ἀὴρ* η 15, 140, 143. Τί δ' ἂν εἴη ἡ ἀχλὺς αὕτη ἡ ἀόρατον τὸν Ὀδυσσέα ποιοῦσα; εἰ κατὰ τοὺς φυσικοὺς νόμους τοῦτό τις ἐξηγήσασθαι ἐθέλοι, ἡ ἀχλὺς ἂν εἴη ἢ *νύξ*, ὡς καὶ ἐν υ 357 καὶ ι 144, ἢ *πυκνὴ ὁμίχλη* ἢ *νέφος πυκνὸν* Ε 864. Ρ 649. λ 15· ταῦτα γὰρ μόνα τὸ ὁρώμενον ἀφανὲς ποιοῦσιν ἢ δυσόρατον. Ὁ ὑπὸ τοῦ θεσφάτου ἀέρος περιχεόμενος οὐ μόνον ἀόρατος ἢ δυσόρατος τοῖς ἄλλοις ἦν, ἀλλὰ καὶ αὐτὸς δυσόμματος ἦν οὐκ εὐκρινῶς ὁρῶν ν 189. Οὕτω σοφῶς Ὅμηρος τὰ ὀπτικὰ ταῦτα φαινόμενα οἶδε καὶ φυσικώτατα ὑποτυποῖ θαυμασίαις εἰκόσι. Πάντες δ' οἱ θεοὶ καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη Γ 381 καὶ Ἀπόλλων Υ 444 καὶ Ποσειδῶν Λ 752 καὶ Ζεὺς Ρ 645 καὶ ἄλλοι τοὺς ἥρωας, οὓς σῶσαι βούλονται, ἀέρι καλύπτουσιν, αὐτοὶ δὲ τὴν ἀχλὺν καὶ διασκεδαννῦσι Ρ 649. ν 352· καὶ αὐτοὶ δ' ἑαυτοὺς ἀέρι καλύπτουσιν, ἵν' ἀόρατοι ὦσιν, ὡς ὁ Ἀπόλλων Φ 549. Π 790 καὶ Ἥρα καὶ Ὕπνος Ξ 282.

Ποσειδῶν δὲ τῷ Πηλείδῃ Ἀχιλλεῖ, κατὰ Αἰνείου κρατερῶς πολεμοῦντι, ἀχλὺν κατέχεε κατὰ τῶν ὀφθαλμῶν Υ 321, ἵνα μὴ τὸν Αἰνείαν ὁρῴη, ὡς δ' οὗτος τοῦ κινδύνου ἐσώθη, ὁ Ποσειδῶν αὖθις αὖ ἀπ' ὀφθαλμῶν Ἀχιλλέως τὴν θεσπεσίαν ἀχλὺν ἐσκέδασεν, ἵν' αὖθις ὁρῴη· ὁ δ' Ἀχιλλεὺς διὰ τὸ πάθος ἐκπλαγείς, «*μέγ' ἔξιδεν ὀφθαλμοῖσιν*» Υ 341· οὕτω γὰρ ὁ ἐκπληττόμενος μεγάλως τοὺς

ὀφθαλμοὺς διανοίγει. Τί δ' ἂν εἴη ἐνταῦθα ἀχλύς; πάθος τι ὀφθαλμικόν, ἐξ οὗ ἀορασία, ἢ ὀμίχλη καὶ νύξ, ἐν ᾗ οὐχ οἷόν τ' εὐκρινῶς ὁρᾶν; λιποθυμία καὶ σκοτοδινία ἐκ τρώσεως ἢ λιποψυχία ἐκ δειλίας ἢ πάθος τι ὑπνωτικόν, ἐξ ὧν ἡ τῶν ὀφθαλμῶν ἀορασία γίγνοιτ' ἄν; Τοῦτο μὲν σαφῶς εἰπεῖν ἀδύνατον· ἀλλὰ βεβαίως ἡ κατ' ὀφθαλμῶν Ἀχιλλέως ὑπὸ Ποσειδῶνος ἐπιχυθεῖσα ἀχλὺς τυφλότης τίς ἐστι καὶ ἀορασία πρόσκαιρος· οὔτε γὰρ τὸ πρὸ τῶν ποδῶν αὐτοῦ ὑπὸ Ποσειδῶνος τεθὲν δόρυ ἑώρακεν οὔτε τὸν Αἰνείαν ἀναχωροῦντα, τῆς ἀχλύος τοὺς ὀφθαλμοὺς καλυπτούσης· ὅτε δὲ Ποσειδῶν τὴν ἀχλὺν τῶν ὀφθαλμῶν αὐτοῦ ἀφεῖλε, ἐξ ἐκπλήξεως μεγάλως τοὺς ὀφθαλμοὺς ἠνέῳξεν, εἶδε δὲ τὸ ἐπὶ γῆς κείμενον δόρυ, ἀλλ' οὐ καὶ τὸν Αἰνείαν, ὃς ὡς ἐκ θαύματος ἅφαντος ἐγένετο· στενάζων δὲ λέγει καθ' ἑαυτὸν Υ 344·

Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονός, οὐδέ τι φῶτα
λεύσσω τῷ ἐφέηκα κατακτάμεναι μενεαίνων.

Βεβαίως ἄρα προσκαίρως ὁ Ἀχιλλεὺς τοὺς ὀφθαλμοὺς ἠμαυρώθη καὶ αὖθις αὖ ἀνέβλεψεν, ἐξ ἐκπλήξεως μεγάλως ἀνοίξας τοὺς ὀφθαλμούς, δι' ὃ ἑώρα θαῦμα. Τὸ ἔκπληκτον τοῦτο τοῦ Ἀχιλλέως ἀναβλέποντος ἀναγκαίως ἀναφέρει τὸν νοῦν εἰς ἐπιληπτικήν τινα ἔκστασιν ἢ εἰς ὑπνωδίαν· ἐκ γὰρ τούτων εἴ τις συνέλθοι, ἐκστατικὸς «*μέγ' ἔξιδεν ὀφθαλμοῖσιν*». Καὶ φόβος δὲ πρὸς στιγμὴν Ἀχιλλέα κατέλαβεν, ὅτ' Αἰνείας τῷ δόρατι τὴν ἀσπίδα αὐτοῦ ἤλασεν 262, ἀλλ' οὐχ οἷόν τ' ἂν ἦν ἐκ φόβου δυσόμματον γενέσθαι τὸν Ἀχιλλέα· ἀνεθάρσησε γὰρ αὖθις καὶ κατὰ τὴν ἀσπίδα Αἰνείου δόρατι ἔβαλε καὶ διέρρηξεν αὐτὴν 273, τὸ ξίφος δ' αὐτοῦ ἐρυσάμενος δεινῶς ἀναβοῶν ὥρμησεν ἐπὶ τὸν Αἰνείαν 283. Ἐκ λιποθυμίας δ' ἂν ἐγίγνετο αὐτῷ ἡ πρόσκαιρος αὕτη ἀβλεψία, εἰ Αἰνείας λίθῳ αὐτὸν ἔβαλε κατὰ τὴν περικεφαλαίαν 288· διάσεισις γὰρ ἐγκεφάλου ἂν ἐπεγίγνετο. Πιθανὴ δ' ἂν εἴη καὶ πρόσκαιρος ἀορασία ἐκ πυκνοτάτης ὀμίχλης, ἀλλὰ δυσκόλως ἐξηγεῖται ἡ τοῦ Ἀχιλλέως ἔκπληξις ἅμα τῇ ἀναβλέψει. Ὑπνωτικῇ δ' ἢ ἐπιληπτικῇ τινι ἐκστάσει ὅμοιον παρίσταται καὶ τὸ τοῦ Ἀλκαθόου πάθος, ὑπ' Ἰδομενέως δόρατι κατὰ τὴν καρδίαν τρωθέντος· ὁ γὰρ Ποσειδῶν ὕπνωσε καὶ ἐθάμβησε τὰ ὄμματα αὐτοῦ, τὰ δὲ μέλη αὐτοῦ ἐπέδησεν· αὐτὸς δ' ἐκστατικὸς ὡς στήλη ἢ δένδρον ὑψιπέταλον ἀκίνητος ἵστατο N 435.

Καὶ ὅτι δ' αἱ ἀπὸ τῶν στιλβόντων μετάλλων ἀνταναϰλώμεναι αὐγαὶ αἱ ἀπὸ τῶν ϰορύθων ϰαὶ θωράϰων ϰαὶ ἀσπίδων τοῦ ὁρᾶν ϰωλύουσιν ἢ τοὺς ὀφθαλμοὺς θαμβοῦσι, ϰαὶ τοῦτο τὸ φαινόμενον εὖ οἶδεν Ὅμηρος Ν 340. Οὐ μόνον δ' ἐϰ τῆς ὑπερβαλούσης λάμψεως ἀλλὰ ϰαὶ πρὸς σϰότος βαθὺ προσβλέποντες ϰάμνουσιν οἱ ὀφθαλμοί· Ὀδυσσεὺς γὰρ πρὸς τὸν σϰόπελον Σϰύλλαν, ἣ μελαίνῃ νεφέλῃ περιεϰεϰάλυπτο, πάντοσε προσβλέπων ἐσϰοτώθη τοὺς ὀφθαλμοὺς μ 232 (74)·

οὐδέ πη ἀθρῆσαι δυνάμην· ἔϰαμον δέ μοι ὄσσε
πάντη παπταίνοντι πρὸς ἠεροειδέα πέτρην.

Ἡ δὲ τῆς Κίρϰης ῥάβδος, ἣ τὴν δύναμιν ἔσχε τοὺς Ὀδυσσέως ἑταίρους εἰς σῦς μεταβαλεῖν ϰ 238 ϰαὶ αὖθις αὖ ἐϰ συῶν ἄνδρας νεωτέρους ποιῆσαι ἢ τὸ πρὶν ϰ 389, ϰαὶ ἡ τῆς Ἀθηνᾶς ῥάβδος, ᾗ Ὀδυσσέα ἐπιψαύουσα Ἀθηνᾶ ἄλλοτε μὲν νέον ἐποίει π 172,209, ἄλλοτε δὲ πτωχὸν ϰαὶ γέροντα π 456, θαύματα ϰαὶ ὑπὲρ φύσιν φαινόμενα ἀπεργάζονται, οὐδόλως δ' αἱ εἰϰόνες αὗται ἐϰ τῆς παρατηρήσεως τῆς φύσεώς εἰσιν εἰλημμέναι, ἀλλὰ προϊόντα τῆς φαντασίας τοῦ ποιητοῦ, πλὴν εἴ τις ϰαὶ ἐνταῦθα ὑπνωδίας φαινόμενα ὑπολανθάνειν οἴοιτο. Ἡ δὲ τοῦ Ἑρμοῦ ῥάβδος τοὐναντίον ϰατὰ φύσιν φαινόμενα ἀπεργαζομένη παρίσταται Ω 343·

εἵλετο δὲ ῥάβδον, τῇτ' ἀνδρῶν ὄμματα θέλγει
ὧν ἐθέλει, τοὺς δ' αὖτε ϰαὶ ὑπνώοντας ἐγείρει.

Τί δ' ἂν εἴη ἡ ῥάβδος αὕτη ἡ Ἑρμαϊϰή, ἣ τὸ μὲν θέλγει ϰαὶ ὑπνοῖ τὰ ὄμματα τὸ δὲ ϰαὶ ὑπνώττοντας ἐγείρει; Οὐδὲν ἄλλ' ἔμοιγε δοϰεῖ, ἢ ὑπνωδία (ζωϊϰὸς μαγνητισμός). Ἐϰ τῶν φαινομένων τῆς ὑπνωδίας εἴληπται ἡ εἰϰὼν αὕτη τῆς μαγιϰῆς τῶν ὀφθαλμῶν θέλξεως ϰαὶ ὑπνώσεως διὰ τῆς ῥάβδου τοῦ Ἑρμοῦ.

Ὁ δὲ τελείως τῆς ὄψεως ἐστερημένος εἴρηται Ὁμήρῳ *τυφλός*, ὡς ὅτε Ζεὺς Λυϰοῦργον *τυφλὸν* ἔθηϰεν, ὅτι Διονύσῳ μάχεσθαι ἠθέλησε Ζ 139. Καὶ αὐτὸς δ' Ὅμηρος *τυφλὸς* λέγεται ἐν Ὕμνῳ εἰς Ἀπόλλωνα 172·

τυφλὸς ἀνήρ, οἰϰεῖ δὲ Χίῳ ἔνι παιπαλοέσσῃ.

Καὶ *πηρὸς* δὲ λέγεται ὁ τυφλὸς Β 594-600. Ὁ γὰρ θρᾷξ Θάμυρις ἀοιδὸς ἐπανιὼν ἐξ Οἰχαλίας παρ' Εὐρύτου τοῦ βασιλέως πηρὸς τοὺς ὀφθαλμοὺς παρὰ τὸ Δώριον ἐγένετο ὑπὸ τῶν Μουσῶν· ηὔχετο γὰρ

καὶ τὰς Μούσας τῇ ᾠδῇ νικῆσαι. Πῶς δ' αἱ τυφλώσεις αὗται ἐγένοντο, οὐ λέγει.

2 *Περὶ ὀφθαλμικῶν τραυμάτων*. Τὰ παρ' Ὁμήρῳ ὀφθαλμικὰ πάθη, ὡς καὶ τὰ ὠτικά, τραύματα κυρίως ἐστί· ταῦτα γὰρ τῷ ἔπει καὶ τοῖς ἥρωσι πρέπει· πῶς γὰρ οἷον τ' ἂν ἦν τὸν ποιητὴν ὀφθαλμιῶντας τοὺς ἥρωας καὶ λημῶντας καὶ ὠτορροοῦντας ποιῆσαι; Τραύματα ἄρα κυρίως εἰκὸς ἦν τὸν ποιητὴν περιγράψαι τῶν τοῦ σώματος μορίων. Ἑκατὸν καὶ τετταράκοντα καὶ δύω τραυμάτων μνημονεύει Ὅμηρος, ὧν τὴν χώραν τῆς τρώσεως λέγει, καὶ πολλῶν οὕτω λεπτομερῶς καὶ ἐπιστημόνως τὰ συμπτώματα ὑποτυποῖ, τά τε καίρια εὖ εἰδὼς καὶ τὰς ἐξ αἱμορραγιῶν λιποθυμίας καὶ τὰς ἐκ διασείσεων τοῦ ἐγκεφάλου σκοτοδινίας καὶ τὰς αἵματος ἐμέσεις ἐπὶ πλήξεως τοῦ θώρακος σὺν ἄσθματι καὶ ἱδρῶτι καὶ ἄλλα, ὥστε θαυμασμοῦ ὄντως ἄξιον εἶναι τὸν δαιμόνιον ἄνδρα, οὐκ ἰατρὸν ἀλλὰ μιμητὴν ἰατρικῆς κατὰ Πλάτωνα ὄντα. Καὶ ἄλλων δὲ πολλῶν τραυμάτων μέμνηται, ἀλλ' οὐ λέγει καὶ τὴν τῆς τρώσεως χώραν· οἷον ἐννέα ἐν Π 415, ὀκτὼ ἐν Ο 329, τέτταρα ἐν Λ 490, ἑπτὰ ἐν Ξ 511 καὶ ἄλλα. Ἐκ τῶν τραυμάτων τούτων ἑπτά εἰσι κατὰ τὸ μέτωπον, τρία κατὰ τὸν κρόταφον, ὀκτὼ περὶ τὰ ὦτα καὶ ἓν κατὰ τὸν ὀφθαλμικὸν κόγχον, ἃ ὡς ἐπὶ τὸ πολὺ θανατηφόρα ἐστί. Τούτων δ' ἃ τοὺς ὀφθαλμοὺς ἀδικεῖ ἐνταῦθα εἰρήσεται.

Ὁ Ἀτρεΐδης Μενέλαος ἐξελκύσας τὸ ἀργυρόηλον ξίφος ἐφώρμησεν ἐπὶ τὸν Πείσανδρον, ἤλασε δ' αὐτὸν προσιόντα τῷ ξίφει κατὰ τὸ μέτωπον ὕπερθεν τῆς ῥίζης τῆς ῥινός· κατεάγη δὲ τὰ ὀστᾶ, ἄμφω δ' οἱ ὀφθαλμοὶ ἔπεσον χαμαὶ ἐν τῇ κόνει παρὰ τοῖς ποσὶ τοῦ Πεισάνδρου Ν 615-619. Ἕτερον πάντῃ ὅμοιον τραῦμα περιγράφεται ἐν Π 740-743. Ὁ Πάτροκλος τὸν ἡνίοχον τοῦ Ἕκτορος Κεβριόνην λίθῳ ὀξεῖ κατὰ τὸ μέτωπον ἔβαλε, τὰς τ' ὀφρῦς δ' ἀμφοτέρας συνεῖλεν ὁ λίθος καὶ τὸ ὀστοῦν τὸ μετωπικὸν ἔθραυσεν, οἱ δ' ὀφθαλμοὶ αὐτοῦ χαμαὶ ἔπεσον ἐν τῇ κόνει πρὸ τῶν ποδῶν. Ἀμφότερα δὲ ταῦτα τὰ κατὰ τὸ μέτωπον τραύματα θανατηφόρα ἐστί. Ἀλλὰ πῶς ἄν τις ἐξηγήσαιτο τὴν εἰς τὴν κόνιν πτῶσιν τῶν ὀφθαλμῶν ἐκ τῶν κατὰ τὸ μέτωπον τούτων τραυμάτων; Φυσικῶς ἀδύνατον, ἔμοιγε δοκεῖ, τὸν βολβὸν ἐξορυχθῆναι καὶ χαμαὶ πρὸ τῶν ποδῶν πεσεῖν ἐκ τρώσεως κατὰ τὸ μέτωπον, πλὴν εἴ τις περόναις τοὺς ὀφθαλμοὺς ἐπὶ τούτῳ

ἐξορύξειε. Δοκεῖ ἄρα τὸ «*ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν | αὐτοῦ πρόσθε ποδῶν*», ὃ οὕτω διαρρήδην λέγεται, οὐδὲν ἄλλο σημαίνειν ἢ τὴν ἐκροὴν τῶν ὑγρῶν τῶν ἐκ τῆς τρώσεως ῥηχθέντων ὀφθαλμῶν· τῶν γὰρ διαφανῶν μέσων τελείως ἐκχυθέντων, γνωστὸν τόν τ' ὀφθαλμὸν ἀτροφεῖν καὶ τὴν τοῦ ὀφθαλμοῦ χώραν κενὴν ὑπολείπεσθαι. Διὰ τὸν αὐτὸν λόγον, ἔμοιγε δοκεῖ, καὶ νῦν ἔτι ἐπὶ ὅρκων καὶ καταρῶν καθωμίληται· *νὰ πέσουν τὰ μάτια μου, νὰ χυθοῦν τὰ μάτια μου, νὰ βγοῦν τὰ μάτια σου*· καὶ ἐπὶ ἀπειλῶν· *θὰ σὲ πετάξω τὰ μάτια σου*. Οὕτως ἄρ' εἶπεν Ὅμηρος, ἔμοιγε δοκεῖ, καὶ οὕτω λέγεται καὶ νῦν, διότι ἡ πεῖρα καὶ παρατήρησις ἐδίδαξεν, ὅτι τῶν ὀφθαλμικῶν ὑγρῶν ἐκχεομένων ἀτροφεῖ ὁ βολβός, κενὴ δ' ὑπολείπεται ἡ χώρα τῶν ὀφθαλμῶν.

Ἐν τραύματι κατὰ τὸ στόμα ἐνεπλήσθησαν ἄμφω οἱ ὀφθαλμοὶ αἵματος Π 345-350· τοῦτο δ' οὐκ ἂν εἴη, ἔμοιγε δοκεῖ, τῶν τοῦ ἐπιπεφυκότος ἀγγείων ἔνεσις καὶ δὴ ἐρυθρότης τῶν ὀφθαλμῶν· ἐν γὰρ πᾶσι τοῖς τραύμασιν ὁ ποιητὴς περὶ ἐκχύσεως καὶ ἐκροῆς αἵματος ἐκ τῶν ἀγγείων λέγει, ἀλλ' οὐδαμοῦ περὶ ἀγγείων ἐνέσεως. Καὶ ἐξ αὐτῆς δὲ τοῦ ποιητοῦ τῆς φράσεως φανερόν, ὅτι οὐ περὶ ἀγγείων ἐνέσεως πρόκειται· λέγει γὰρ Π 348 «*ἐνέπλησθεν δέ οἱ ἄμφω | αἵματος ὀφθαλμοί*», ὡς καὶ ἐν τραύματι καθ' ἧπαρ Υ 470 «*ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ | κόλπον ἐνέπλησεν*». Σαφέστατα ἄρα δῆλον, ὅτι ἡ φράσις τοῦ ποιητοῦ πλήρωσιν σημαίνει τῶν ὀφθαλμῶν αἵματος, ὃ τῶν ἀγγείων ῥαγέντων ἐξεχύθη, οὐκ ἔνεσιν καὶ ὑπερπλήρωσιν ἀρρήκτων ὀφθαλμικῶν ἀγγείων. Τὸ ὀφθαλμικὸν ἄρα τοῦτο πάθος ἤτοι ἐκχύμωμ' ἂν εἴη ἢ πλήρωσις τῶν ὀφθαλμῶν αἵματος, πρόσθεν τοῦ βολβοῦ ἐκχυθέντος καὶ ἐν ταῖς τῶν βλεφάρων πτυχαῖς, ἢ καὶ τὸ πιθανώτερον *ὕφαιμον* ὀφθαλμικόν, αἱμορραγία δῆλα δὴ ἐντὸς τοῦ βολβοῦ. Καὶ *ἐκχύμωμα* μὲν ἁπλοῦν οὐχ οἷόν τε δοκεῖ μοι τὸ πάθος τοῦτο εἶναι· *σωθεῖς* γὰρ Ὁμήρῳ ἡ ἐκχύμωσις εἴρηται Β 267. Ψ 716. Ἀλλ' οὔτ' ἔκχυσιν αἵματος ἐν τοῖς ἔμπροσθεν τῶν ὀφθαλμῶν καὶ ἐν ταῖς βλεφαρικαῖς πτυχαῖς τοῦτο εἶναι οἶμαι· οὐδεμία γὰρ τρῶσις οὔτε κατὰ τὰ ἄνωθεν τῶν ὀφθαλμῶν μόρια ἐγένετο, ἵνα τὸ αἷμα καταρρεύσῃ καὶ πληρώσῃ τοὺς ὀφθαλμούς, οὔτε κατὰ τοὺς ὀφθαλμοὺς αὐτούς. Ὕφαιμον ἄρα πιθανῶς ἂν εἴη καὶ ἤτοι ἔκχυσις αἵματος ἐν τῷ προσθίῳ θαλάμῳ ἢ καὶ ἐντὸς ὅλου τοῦ βολβοῦ. Πῶς δ' ἂν τοῦτο τὸ ὕφαιμον γίγνοιτο

ἐκ νύξεως κατὰ τὸ στόμα; Ὁ Ἰδομενεύς, φησὶν Ὅμηρος, τὸν Ἐρύμαντα κατὰ τὸ στόμα δόρατι ἔνυξε· τὸ δὲ χαλκοῦν δόρυ ἀντικρὺ εὐθὺ ἐξεπέρασεν ἀμέσως ὑποκάτωθεν τοῦ ἐγκεφάλου, διέσχισε δ' ἄρα τὰ λευκὰ ὀστᾶ· ἐκ δὲ τῆς τρώσεως ταύτης οἱ ὀδόντες ἐξετινάχθησαν, ἀμφότεροι δ' οἱ ὀφθαλμοὶ αἵματος ἐνεπλήσθησαν· χάσκων δ' ὁ Ἐρύμας ἔκ τε τοῦ στόματος καὶ τῆς ῥινὸς αἷμα ἐξέβαλε καὶ ἐξεφύσησεν, ἐλιποθύμησε δ' ἐξ ἐγκεφάλου ἴσως διασείσεως ἢ ἐξ ἑλαφρᾶς αὐτοῦ τρώσεως, «*θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν*» ἐν τῇ λιποθυμίᾳ αὐτόν. Φαίνεται δὲ λιποθυμίαν ἢ σκότωσιν ἐκ τοῦ ὑφαίμου τῶν ὀφθαλμῶν ἡ εἰκὼν αὕτη ἐνταῦθα παριστᾶσα, εἰ καὶ ἀλλαχοῦ θάνατον ὁμοία ἔκφρασις εἰκονίζει Π 333· ὕστερον γὰρ αὖθις πολεμῶν ἐφονεύθη ὑπὸ Πατρόκλου Π 415, πλὴν εἴ τις ἕτερος Ἐρύμας εἴη. Ἐκ δὲ τῆς Ὁμήρου κυριολεξίας, δι' ἧς τὰ τοῦ τραύματος τούτου ἐκτίθεισιν, καὶ ἐκ τῆς ἀνατομῆς τοῦ τρωθέντος τόπου καὶ ἐκ τῶν συμπτωμάτων τοῦ τραύματος εἰκάσαι οἷόν τ' ἂν εἴη, ὅτι τὸ ὀξὺ δόρυ, τῆς νύξεως κατὰ τὴν τῆς ὑπερῴας ῥαφὴν ἴσως γεγεννημένης, διέσχισεν ἀπ' ἀλλήλων τὰς δύο ἄνω σιαγόνας (*ὀστέα λευκά*), εὐθὺ δὲ ῥινὸς καὶ ἀνὰ μέσον τῶν δύο ὀφθαλμικῶν κογχῶν ἐξεπέρασε τὸ δόρυ μέχρις ἀμέσως ὑποκάτωθεν τοῦ ἐγκεφάλου τὸ ἠθμοειδὲς ὡς εἰκὸς ὀστοῦν διασχίσαν. Ἐκ τῶν κάτω δὲ πρὸς τὰ ἄνω ὅπως τοιοῦτον γένηται τραῦμα δεῖ τῷ δόρατι βάλλειν, ἢ εἰ ὁ Κρὴς πολεμιστὴς εὐθὺ κατὰ τὸ στόμα νύξειε, ἀναγκαῖον τὸν Εὐρύμαντα πρὸς τὰ ὀπίσω κλῖναι τὴν κεφαλὴν κατὰ τὴν νύξιν· ἄμφω δὲ δυνατά. Οὕτως, ἔμοιγε δοκεῖ, ἐξήγηται ἡ ἔκ τ' ἀμφοτέρων τῶν ῥωθώνων καὶ τοῦ στόματος καὶ ἡ ἐν ἀμφοτέροις ἅμα τοῖς ὀφθαλμοῖς αἱμορραγία· οὕτω γὰρ τῷ δόρατι τοῦ ἠθμοειδοῦς θλωμένου, ἀμφοτέρους ἅμα τοὺς ὀφθαλμοὺς δοκεῖ μοι ἀναγκαίως ἐν τῷ ἅμα συνθλασθῆναι καὶ συμπιεσθῆναι ἑκάτερον, ἐξ οὗ ἄμφω ἅμα αἵματος ἐμπλησθῆναι, τῶν ἔσω ἀγγείων ῥαγέντων. *Ὕφαιμον* ἄρ' εἶναι τὸ τῶν ὀφθαλμῶν πάθος δοκῶ μοι, πιθανώτατα δ' ὡς εἰκὸς καὶ σὺν ἐκχυμώματι· Ὅμηρος δὲ τὸ κύριον μόνον τῶν ὀφθαλμῶν πάθος τὸ *ὕφαιμον* εἴρηκε, τὸ τὴν ὄψιν ἀμαυροῦν καὶ τυφλοῦν.

Ἑτέρα τρῶσις παρὰ τὸν ὀφθαλμὸν κατὰ τὴν ῥῖνα ἐγένετο βέλει, ὃ Διομήδης κατὰ Πανδάρου προῆκε Ε 290-293. Ἐκ τῶν ἄνω δὲ πρὸς τὰ κάτω εὔθυνεν ἂν ἡ Ἀθηνᾶ τὸ βέλος, ὥστ' ἐπέρασε τοὺς

ὀδόντας, ἀπέταμε τὴν γλῶτταν κατὰ τὴν ῥίζαν, ἡ δ' αἰχμὴ ἐξῆλθε κατὰ τὸ ἔσχατον τῆς ὑπογενείου χώρας, ἀλλ' οὐκ ἠδίκησεν ὡς εἰκὸς τὸν ὀφθαλμὸν Πανδάρου.

Δύο δ' ἕτερα ὀφθαλμικὰ τραύματα ὑπολείπεται, ὧν τὸ μὲν κατὰ τὴν κόγχην τὸ δὲ κατ' αὐτὸν τὸν βολβὸν ἐγένετο, *ἡ ἔξωσις*, λέγω, *τοῦ βολβοῦ* τοῦ Ἰλιονέως ὑπὸ Πηνέλεω καὶ *ἡ καῦσις τοῦ ὀφθαλμοῦ* τοῦ Κύκλωπος ὑπ' Ὀδυσσέως.

Πηνέλεως βοιώτιος ἡγεμὼν δόρατι ἔτρωσεν ἐγγύθεν Ἰλιονέα τὸν Φόρβαντος ἀμέσως ὑποκάτωθεν τῆς ὀφρύος κατὰ τὴν ὀφθαλμοῦ χώραν ἤτοι κατὰ τὸν κόγχον, ἐξέωσε δ' ἔξω τοῦ κόγχου τὴν *γλήνην* ἤτοι τὸ ὀφθαλμικὸν λίπος σὺν τῷ σκληρωτικῷ καὶ δὴ καὶ τὸν βολβόν· τὸ δὲ δόρυ ἦλθε διὰ τοῦ ὀφθαλμοῦ κατὰ τὸ ἄνω τοῦ κόγχου ὀστῶδες στέγασμα, ὥς γέ μοι δοκεῖ, ὀλισθαῖνον (ἐξέωσε γὰρ κοὐκ ἔνυξε τὸν βολβόν), προῆλθε προσωτέρω τὸν πυθμένα τοῦ κόγχου διελάσαν καὶ τέλος ἦλθε διὰ τοῦ ἰνίου πρὸς τὰ ἔξω· ἔμενε δ' ἐν τῷ ὀφθαλμῷ ἡ λόγχη. Δοκεῖ δ' οὔτε τὸν ἐγκέφαλον οὔτε τὸν νωτιαῖον μυελὸν τρωθῆναι τῷ δόρατι· οὔτε γὰρ λιποθυμία οὔτε θάνατος ἐπεγένετο, ἀλλ' ἐκαθέζετο μόνον ἄμφω τὼ χεῖρε πετάσας· ὁ δὲ Πηνέλεως ξίφει τὴν κεφαλὴν ἀπέτεμε τοῦ Ἰλιονέως, ἵνα τὸν θάνατον ἐπαγάγῃ Ξ 493-499.

Ἡ δὲ τύφλωσις τοῦ Κύκλωπος ὑπ' Ὀδυσσέως καὶ τῶν αὐτοῦ ἑταίρων τῷ πεπυρακτωμένῳ καὶ διαφαινομένῳ ὀξεῖ μοχλῷ οὕτω θαυμασίως καὶ σοφῶς ἐν ὀλίγοις περιγέγραπται καὶ ἐν τόσῃ ἀνατομικῇ ἀκριβείᾳ καὶ λεπτομερείᾳ, ὥστε καὶ ἰατρὸν μηδέν τι πλέον εἰπεῖν ἔχειν ι 382-397. Τὴν ὑπ' Ὀδυσσέως τύφλωσιν τοῦ Κύκλωπος Πολυφήμου πρὸς ἐκδίκησιν διὰ τὴν ἀνθρωποφαγίαν ὁ μάντις Τήλεμος Εὐρυμίδης προὐμάντευσε, λέγει ὁ Κύκλωψ ι 512·

χειρῶν ἐξ Ὀδυσῆος ἁμαρτήσεσθαι ὀπωπῆς·

ὥστε γεγραμμένην καὶ πεπρωμένην τὴν τύφλωσιν αὐτοῦ εἶναι οἴεται· καὶ τὴν ἴασιν δὲ καὶ ἀνάβλεψιν αὐτοῦ μόνον ἐκ τοῦ ὀφθαλμικοῦ ὡς ἔπος εἰπεῖν Ποσειδῶνος ἀναμένει καὶ παρ' οὐδενὸς ἄλλου οὔτε θεῶν οὔτε θνητῶν ι 520. Ὁ Ὀδυσσεὺς οἴνῳ τὸν Κύκλωπα πρῶτον ἐμέθυσεν, εἶτα δὲ τὸν ὀξὺν ἐπ' ἄκρῳ ἐλάϊνον μοχλὸν μέχρι διαφανείας ἐπυράκτωσε. Τοῦτον δ' οἱ μὲν κλήρῳ λαχόντες τέτταρες ἑταῖροι ἐπ' *ἄκρῳ ὀφθαλμῷ* ἐνέρεισαν ἤτοι ἐπὶ τοῦ κερατοειδοῦς, ὁ δ' Ὀδυσσεὺς

ἐφύπερθεν ἀρθεὶς περιεδίνει τὸν πυρινκῆ μοχλὸν ἐν τῷ ὀφθαλμῷ τοῦ Κύκλωπος αὐτός τε καὶ οἱ αὐτοῦ ἑταῖροι· ἐν δὲ τῇ δινήσει αἷμα θερμὸν περιέρρει τὸν μοχλόν· ἀπτομένης δὲ τῆς γλήνης ἤτοι τοῦ ὀφθαλμικοῦ λίπους, ἡ φλὸξ τάς τε βλεφαρίδας καὶ τὰς ὀφρῦς περιέκαυσεν, ἔσιζον δὲ καιόμεναι αἱ τῶν ὀφθαλμῶν ῥίζαι ἤτοι τὰ ὀπτικὰ νεῦρα, ὡς καὶ ὅλος ὁ ὀφθαλμὸς περὶ τὸν ἐλάϊνον μοχλόν. Ὁ δὲ Κύκλωψ οἰμώξας τοῦ ὀφθαλμοῦ τὸν μοχλὸν ἐξείρυσεν, αἵματι πολλῷ πεφυρμένον. Μόνος δ' ὁ πατὴρ αὐτοῦ Ποσειδῶν, λέγει ὁ Κύκλωψ, ἰάσεται αὐτόν, ἂν θέλῃ, οὐδεὶς δ' ἄλλος οὔτε θεῶν οὔτ' ἀνθρώπων ι 520, τοῦτον τὸν μόνον ἀποφαίνων ὀφθαλμικόν. Ὀδυσσεὺς δ' εὖ εἰδώς, ὅτι οὕτω τῇ καύσει κατεστραμμένον ὀφθαλμὸν ἰάσασθαι ἀδύνατος οὐδὲ τῶν ὀφθαλμικῶν ὁ ἄριστος οὐδ' αὐτὸς ὁ θεός, λέγει ι 525·

ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων.

Ἡ δὲ Κύκλωπος τύφλωσις προσέτι δείκνυσιν, ὅτι ἀνέκαθεν δύο περὶ τῆς τῶν νόσων αἰτίας καὶ τῆς ἰάσεως αὐτῶν ἐπεκράτουν δόξαι. Οἱ μὲν ἐκ θεοῦ τὰς νόσους ἡγοῦνται προέρχεσθαι καὶ θεὸν αὖ ταύτας ἰᾶσθαι, ὡς ὁ Κύκλωψ ἐνταῦθα, οἱ δ' ἐπιστημόνως ἔχοντες, ὡς Ὀδυσσεύς, φυσικὰ τῶν νόσων αἴτια παρεδέχοντο καὶ φυσικὴν τὴν ἴασιν. Ἀπόλλων μὲν γὰρ ἐπήγαγε τοῖς Ἀχαιοῖς δεινὸν λοιμὸν χολωθείς, διότι Ἀγαμέμνων τὸν ἱερέα αὐτοῦ Χρύσην ἠτίμασεν οὐδ' ἀπέλυσε τὴν αἰχμάλωτον θυγατέρα αὐτοῦ Χρυσηίδα Α 9-100· Ἀπόλλων δ' αὖθις αὖ ἐξιλεωθεὶς διὰ τῆς ἀποδόσεως τῆς Χρυσηίδος καὶ δι' ἱερᾶς ἑκατόμβης ἀπέτρεψε τὴν κακὴν ταύτην νόσον, τοῦ ἱερέως αὐτοῦ εὐξαμένου Α 457. Οὐ μόνον δὲ λοιμὸν ἀλλὰ καὶ πᾶσαν νόσον καὶ *ὀφθαλμικὰ πάθη* θεοὶ ἐπάγουσι καὶ θεοὶ αὖθις ἰῶνται, ἂν θέλωσιν. Οὕτως οἱ Κύκλωπες λέγουσι τῷ Πολυφήμῳ, ὑπ' Ὀδυσσέως καὶ τῶν ἑταίρων αὐτοῦ τυφλωθέντι, τάδε ι 410·

εἰ μὲν δὴ μήτις σε βιάζεται, οἷον ἐόντα,
νοῦσόν γ' οὔπως ἔστι Διὸς μεγάλου ἀλέασθαι·
ἀλλὰ σύγ' εὔχεο πατρὶ Ποσειδάωνι ἄνακτι.

Καὶ ὁ Κύκλωψ δὲ Πολύφημος, ὡς ἔφθημεν εἰπόντες, ἐκ θεοῦ τὴν τύφλωσιν αὐτῷ πεπρωμένην εἶναι οἴεται· ὁ γὰρ μάντις Τήλεμος Εὐρυμίδης προὐμάντευσεν αὐτῷ, φησίν, ὑπ' Ὀδυσσέως τυφλωθῆναι ι 512. Καὶ τὴν ἴασιν δ' αὐτοῦ Κύκλωψ τυφλωθεὶς παρὰ Ποσειδῶνος

μόνου ἀπεκδέχεται πεποιθὼς τῇ τούτου θαυματουργίᾳ καὶ τοῦτον ὡς μόνον ὀφθαλμικὸν ἀποφαίνων ι 520·

αὐτὸς δ', αἴ κ' ἐθέλησ', ἰήσεται, οὐδέ τις ἄλλος
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων.

Τοὐναντίον δ' Ὀδυσσεὺς εὖ μὲν οἶδε ὅτι φυσικὴ ἡ αἰτία τῆς τοῦ Κύκλωπος τυφλώσεώς ἐστιν ἤτοι ἡ τοῦ ὀφθαλμοῦ καῦσις πεπυρακτωμένῳ μοχλῷ, εὖ δ' οἶδε καὶ ὅτι οὕτω κατακεκαυμένον καὶ ἐξερρυηκότα καὶ τελείως ἐφθαρμένον ὀφθαλμὸν οὐδὲ τὸν Ποσειδῶνα αὐτὸν ἰάσασθαι οἷόν τ' ἦν. Καὶ γὰρ «*ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' ἐνοσίχθων*» φησὶν Ὀδυσσεὺς ἐν πεποιθήσει ἀποφαινόμενος περὶ τοῦ ἀδυνάτου τῆς ἰάσεως ι 525. Ἀλλὰ τὴν ἀληθῆ ταύτην τοῦ Ὀδυσσέως ἀπόφανσιν ὀλιγωρίαν εἰς τὸν Ποσειδῶνα καὶ ἀσέβειαν οἴονται εἶναι οἱ θεοσεβεῖς Ἀντισθένης καὶ Ἀριστοτέλης καὶ δὴ Ὀδυσσέα δικαιῶσαι ἐπειράθησαν ὧδε Μουλαχ. II, 279. Ἀπ. 29. Σχολ. Ὀδ. ι 525· «Διὰ τί Ὀδυσσεὺς οὕτως ἀνοήτως εἰς τὸν Ποσειδῶνα ὠλι-» γώρησεν εἰπών, «ὡς οὐκ ὀφθαλμόν γ' ἰήσεται οὐδ' Ἐνοσίχθων»; » Ἀντισθένης μέν φησι διὰ τὸ εἰδέναι, ὅτι οὐκ ἦν ἰατρὸς ὁ Ποσει-» δῶν, ἀλλ' ὁ Ἀπόλλων· Ἀριστοτέλης δὲ οὐχ ὅτι οὐ δυνήσεται, » ἀλλ' ὅτι οὐ βουληθήσεται διὰ τὴν πονηρίαν τοῦ Κύκλωπος».

Καὶ ταῦτα μὲν οἱ φιλόσοφοι Ἀντισθένης καὶ Ἀριστοτέλης· τὴν δ' ἀληθῆ ταύτην τοῦ Ὀδυσσέως γνώμην, ὀφθαλμὸν τελείως φθαρέντα καὶ κενὸν οὐχ οἷόν τ' οὐδὲ θεὸν ἰάσασθαι, καὶ ὁ μάντις Φινεὺς ἀποφαίνεται, Ἰάσονος εὖ μάλα χαιρήσειν εἰπόντος «*εἰ δὲ καὶ ὀφθαλμοῖσι φόως πόροι [θεός]*», καθ' ἃ πεποίηκεν Ἀπολλώνιος Β 444·

Αἰσονίδη, τὸ μὲν οὐ παλινάγρετον, οὐδέ τι μῆχος
ἔστ' ὀπίσω· κενεαὶ γὰρ ὑποσμύχονται ὀπωπαί.

Καὶ Ὀδυσσεὺς ἄρα καὶ Φινεὺς εὖ ἴσασι πότε τὸ φῶς οὐ παλινάγρετον.

Καὶ τὸν στραβισμὸν δὲ ἢ τὸ στραβὸν τῶν ὀμμάτων ἢ βέλτιον εἰπεῖν τὴν *παραβλωπίαν* οἶδεν Ὅμηρος. Λιταὶ γὰρ αἱ Διὸς κόραι «*παραβλῶπες τὼ ὀφθαλμώ*» εἶναι λέγονται I 503.

Τὸ δὲ τοῦ Ὀδυσσέως ὀφθαλμικὸν πάθος, ἡ *κνύζωσις*, ὃ τῇ μαγικῇ ῥάβδῳ ἐπιψαύσασα αὐτὸν ἡ Ἀθηνᾶ ἐπήγαγεν, ἀπρεπεῖς καὶ δυσμόρφους ἐποίησε τοὺς ὀφθαλμοὺς αὐτοῦ πρότερον περικαλλεῖς ὄντας ν 401, 433·

κνυζώσω δέ τοι ὅσσε πάρος περικαλλέ' ἐόντε,
ὡς ἂν ἀεικέλιος πᾶσι μνηστῆρσι φανείης.

Κύριον ἄρα τοῦ *κνυζῶσαι* σύμπτωμα παρίστησιν Ὅμηρος τὴν ἀσχημοσύνην καὶ τὸ δυσειδὲς καὶ ἀπρεπὲς τῶν πρότερον περικαλλῶν ὀμμάτων. Ἕτερον δὲ σύμπτωμα τοῦ ὀφθαλμικοῦ τούτου πάθους κνησμός ἐστιν, ὃ ἐκ τοῦ *κνυζώσω* φανερόν· παρὰ γὰρ τὸ *κνύος*, ὃ ψώραν δηλοῖ, ἢ παρὰ τὸ *κνύω*, ὃ τὸ ξύω σημαίνει, γίνεται. Ἡ *κνύζωσις* δ' αὕτη οὐκ ἐποίησε τυφλὸν τὸν Ὀδυσσέα, ὃς ὁρῶν ἐν τοῖς μετέπειτα στίχοις παρίσταται. Ποῖον δ' ἂν εἴη τὸ πάθος τοῦτο τὸ δυσειδεῖς καὶ ἀσχήμονας τοὺς ὀφθαλμοὺς ποιοῦν κνησμὸν δ' ἐπιφέρον; Ἐκ τῶν ὀφθαλμικῶν παθῶν τὰ ἀσχημοσύνην ἢ δυσμορφίαν ποιοῦντά ἐστι κυρίως ἡ τελεία τῶν ὀφθαλμῶν κάκωσις, καθ' ἣν κενοὶ ὑπολείπονται οἱ κόγχοι, μεγάλα τοῦ κερατοειδοῦς λευκώματα, ἡ παραβλωπία, τὸ ἐκτρόπιον καὶ ὃ πιθανώτερον ἐνταῦθα τυγχάνει ὂν ἡ *μαδάρωσις* ἢ *μίλφωσις* ἢ *πτίλωσις* ἢ *πτίλα βλέφαρα ἐκ ψώρας* ἢ *ψωρωδῶν* ἐν τῇ τῶν βλεφάρων στεφάνῃ ἢ τοῖς κανθοῖς διαθέσεων (τοῦτο γὰρ τὸ πάθος ἀσχημοσύνην τ' οὐ σμικρὰν παρέχει καὶ ἡ τοῦ *κνυζώσω* ἐκ τοῦ *κνύος* ἢ *κνύω*, ξύω, παραγωγὴ συμφωνεῖ, διότι κνησμὸν ποιεῖ). Καὶ τελεία μὲν τῶν ὀφθαλμῶν καταστροφὴ καὶ ἀτροφία οὐκ ἂν εἴη ἡ *κνύζωσις*· ὁ γὰρ Ὀδυσσεὺς ὁρᾷ πρὸς τ' Εὔμαιον ὁμιλῶν καὶ Τηλέμαχον καὶ Ἀθηνᾶν δ' εἶδε πρὶν νέον αὖθις γενέσθαι π 162, οὐδεὶς δὲ κνησμὸς ἐπ' ἀτροφίας τῶν ὀφθαλμῶν ὑπάρχει. Διὰ τοὺς αὐτοὺς λόγους οὔτε δυσειδῆ λευκώματα ἂν εἴη τὸ διὰ τοῦ *ἐκνύζωσε* παριστάμενον ὀφθαλμικὸν πάθος· καὶ ταῦτα γὰρ τυφλότητα ἢ δυσορασίαν ἐπάγει οὐδένα δὲ κνησμόν. Εἰ δὲ *κνυζός*, ὡς Ἡσύχιος ἑρμηνεύει, ἀὴρ ἐπινέφελος καὶ πνευματώδης ἐστί, τὸ « *κνύζωσεν δέ οἱ ὄσσε* » οἷον τ' ἂν εἴη ἑρμηνεῦσαι ὅτι νεφελίοις καὶ λευκώμασι τοὺς Ὀδυσσέως ὀφθαλμοὺς ἐκάλυψεν ἡ Ἀθηνᾶ, λευκὰ καὶ δυσειδῆ ἐποίησεν· ἀλλ' ἀντίκειται τῇ ἑρμηνείᾳ ταύτῃ ἡ τυφλότης ἢ δυσορασία, ἣ ἀναγκαίως τοῖς μεγάλοις καὶ δυσειδέσι λευκώμασι συμπαρομαρτεῖ· ὁ γὰρ Ὀδυσσεὺς ἐν τοῖς μετέπειτα εὖ ὁρῶν παρίσταται. Οὔτε δ' ἡ ἀπρεπὴς παραβλωπία ἂν εἴη· ὁ γὰρ παραβλώψ ἐστι μὲν δύσμορφος, ὁρᾷ δέ, πλὴν ἀλλ' ὅμως οὐδένα κνησμὸν ἔχει. Διὰ τὸν αὐτὸν δὲ λόγον οὐκ ἂν εἴη καὶ *ἐκτρόπιον*· εἰ δὲ κατὰ τὴν Ἡσυχίου ἑρμηνείαν *κνυζοί* εἰσιν οἱ τὰ ὄμματα πονοῦντες, τότ' οἷον τ' ἂν εἴη εἰπεῖν ὅτι τὸ δυ-

σμορφίαν ποιῆσαν πάθος ἐκτρόπια ἂν εἴη τῶν κάτω βλεφάρων ἐξ ἐντόνου ὀφθαλμίας· ἀλλὰ καὶ τοῦτ' ἀπίθανον ἔμοιγε δοκεῖ· πᾶσα γὰρ ἔντονος ὀφθαλμία δυσορασίαν καὶ πόνους δεινοὺς ποιεῖ· ὁ δ' Ὀδυσσεὺς ὁρᾷ ἄτ' εὐθὺς πρὸς Εὔμαιον εἰς ὁμιλίαν ἐλθών. Ὥστ' ἔμοιγε δοκεῖ, ἵν' ἄγνωστον τὸν Ὀδυσσέα πᾶσι ποιήσῃ Ἀθηνᾶ, *ψώραν* ἤτοι ψωρώδη ἐν τῇ τῶν βλεφάρων στεφάνῃ ἢ τοῖς κανθοῖς διάθεσιν ἐπήγαγεν, ἐξ ἧς *μαδάρωσις* ἢ *μιλφωσις* ἢ *πτίλωσις* ἢ *πτίλα βλέφαρα* ἤτοι ἀπόπτωσις τῶν βλεφαρίδων. Τοῦτ' ἄρα τὸ πάθος τὴν *ψώραν* παρίστησι τὸ «*κνύζωσεν δέ οἱ ὄσσε*»· καὶ ἀσχημοσύνην γὰρ δεινὴν ἔχει ὁ ψωρώδης καὶ ὁ μιλφὸς ἢ μαδαρὸς τὰ βλέφαρα, καὶ κνησμὸν ἀφόρητον, οὐδὲν δ' αὐτὸν τοῦ ὁρᾶν κωλύει τὸ πάθος τοῦτο οὔτε πόνους καὶ δυσορασίαν ποιεῖ.

β'. Περὶ ὠτολογίας παρ' Ὁμήρῳ.

α'. Περὶ ὤτων ἀνατομῆς.

Τὸ τῆς ἀκοῆς αἰσθητήριον παρ' Ὁμήρῳ καλεῖται *οὖς* καὶ *οὔας*. Καὶ τοῦ μὲν τύπου *οὖς ὠτὸς* εὕρηται παρ' Ὁμήρῳ μόνον ἡ ἐνικὴ αἰτιατικὴ *οὖς* Λ 109. Υ 473 καὶ ἡ δοτικὴ πληθυντικὴ *ὠσὶν* μ 200, τοῦ δ' *οὔας οὔατος* ἀναγινώσκονται αἱ πτώσεις, *οὔατος*, *οὔασι*, *οὔατα*. Καὶ ὁτὲ μὲν αὐτὸ τὸ τῆς ἀκοῆς αἰσθητήριον σημαίνει τὸ *οὔας* καὶ *οὖς*· οἷον Χ 454 «*αἳ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος*» Κ 535. Μ 442. 6 365· ὁτὲ δὲ τὴν τοῦ ὠτὸς κόγχην σημαίνει Χ 475·

τοῦ δ' ἀπὸ μὲν ῥῖνάς τε καὶ οὔατα νηλεὲϊ χαλκῷ | τάμνον·

πρὸς δὲ Φ 455. σ86. φ300. Οὐδὲν δὲ τῶν τοῦ ὠτὸς μορίων ὀνομάζεται παρ' Ὁμήρῳ ἰδίῳ ὀνόματι. Τίς δ' ἂν εἴη ἡ πρώτη τῶν ὤτων ὀνομασία τοῦτο ἐν τῷ *Περὶ ὀνομασιῶν ὤτων* εἴρηταί μοι 34-38. *Ἀκουὴ* δὲ παρ' Ὁμήρῳ αὐτὴν τοῦ ἀκούειν τὴν ἐνέργειαν σημαίνει Π 633. δ 701.

6'. Περὶ ἀκουστικῆς καὶ φυσιολογίας ὤτων.

Ὡς τῆς ὁράσεως τοὺς ὀφθαλμούς, οὕτω καὶ τῶν ψόφων ἢ ἤχων ἢ φωνῶν ὄργανον ἀντιληπτικὸν τὰ ὦτα ἢ *οὔατα* εἶναι εὖ οἶδεν Ὅμηρος. Κύρια δ' αἰσθητήρια τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα λέγει υ 365.

Ἡ στοιχειώδης φυσιολογικὴ ἀλήθεια, ὅτι τοῖς μὲν ὀφθαλμοῖς ὁρῶμεν τοῖς δ' ὠσὶν ἀκούομεν, σαφέστατα Ὁμήρῳ εἴρηται ἐν τοῖςδε Υ 203·

ἴδμεν τ' ἀλλήλων γενεήν, ἴδμεν δὲ τοκῆας,
πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
ὄψει δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες οὔτ' ἄρ' ἐγὼ σούς.

Ἐκ τοῦ αὐτοῦ δὲ χωρίου φανερόν, ὅτι ἀκούειν καὶ εἰδέναι οὐ ταὐτὸν οἴεται Ὅμηρος, ἀλλὰ σαφῶς τὸ ἀκούειν, τὴν αἴσθησιν, καὶ τὸ εἰδέναι, τὴν γνῶσιν, διακρίνει καὶ ὅτι τῇ ἀκοῇ ἤχων ἀντιλαμβανόμεθα καὶ ὅτι πρῶτον γίνεται ἡ ἀκοὴ τῶν ἐπῶν εἶτα δ' ἐκ ταύτης ἡ γνῶσις. Ὅτι τοῖς ὠσὶν ἀκούομεν καὶ ὅτι ἄλλο τὸ ἀκούειν καὶ ἄλλο τὸ νοεῖν, φανερὸν καὶ ἐξ ὧν Ἀθηνᾶ τῷ Ἄρει ὀνειδίζει λέγουσ' ὅτι εἰς τὸ μάτην ἀκούειν ἐστὶν αὐτῷ ὦτα, ὁ δὲ νοῶν νοῦς ἀπόλωλε Ο 128·

Μαινόμενε, φρένας ἠλέ, διέφθορας· ἦ νύ τοι αὖτως
οὖατ' ἀκουέμεν ἐστί, νόος δ' ἀπόλωλε καὶ αἰδώς.

Καὶ οἱ Τρῶες δ' ἁ Ζεὺς ἐπεφώνησεν «οὔασι *πάντες ἄκουον*» Μ 442. Καὶ ὅτι δ' ἡ τῆς ἀκοῆς ὀξύτης διάφορος τοῖς διαφόροις ἀνθρώποις τυγχάνει οὖσα, καὶ τοῦτο δοκεῖ μοι Ὅμηρον εἰδέναι· Αἴαντα γὰρ τὸν Ὀιλέως οὐ μόνον ταχύν, ἀλλὰ καὶ ὀξυήκοον λέγει Ρ 256. Ὁ δὲ τῆς ἀκοῆς ὅλως ἐστερημένος *κωφὸς* λέγεται Ὕμνῳ Ἑρμοῦ 3,92.

Πῶς δὲ τὴν ἀκοὴν γίγνεσθαι Ὅμηρος ᾤετο, τοῦτο σαφῶς μὲν εἰπεῖν ἀδύνατον· εἰκάσαι δ' ἂν εἴη ἐκ τοῦδε τοῦ στίχου Κ 535,

ἵππων μ' ὠκυπόδων ἀμφὶ κτύπος οὔατα βάλλει,

ὅτι ὑλικαὶ ἐκ τοῦ ἀκουστοῦ ἠχητικαὶ ἀπόρροιαι τὰ ὦτα βάλλουσιν. οὕτω δὲ τὸ ἀκούειν γίγνεσθαι· ὡς γὰρ ὁ Ἥλιος ἀκτῖσι βάλλει τ 441 καὶ τὰ ὄμματα ταῖς ἀξ αὐτῶν βολαῖς ἢ ἀμαρυγαῖς ἢ αὐγαῖς ταῖς ἐπὶ τὰ ὁρώμενα βαλλομέναις ὁρῶσιν, οὕτω καὶ τὰ ὦτα τοὔμπαλιν βάλλει ὁ *ψόφος* ὁ μακρόθεν ἀπὸ τῶν ἀκουστῶν ἀπορρέων ἤτοι αἱ ὑλικαὶ ἠχητικαὶ ἀπορροαὶ αἱ ἀπὸ τῶν ἀκουστῶν βάλλουσι τὰ ὦτα· οὕτω δὲ τὸ ἀκούειν γίγνεσθαι δοκεῖ μοι Ὅμηρον οἴεσθαι· νύξιν δέ τινα καὶ τοῦ δι' οὗ ὅ τ' ἦχος καὶ τὸ φῶς διαδίδονται ποιήσασθαι, τὸν δ' *αἰθέρα* τὸ δι' οὗ γίγνεται ἡ τοῦ φωτὸς καὶ ἤχου ἢ ψόφου κίνησις οἴεσθαι. Καὶ αἰθὴρ μὲν καθ' Ἡσύχιον καὶ ἄλλους ἐστὶν ὁ ὑπὲρ τὰ νέφη τόπος, ἀλλ', ὡς γ' ἐμοὶ δοκεῖ, ὁ αἰθὴρ κατέχει πάντα τὸν μεταξὺ γῆς καὶ οὐρανοῦ τόπον, ἐστὶ δὲ *κίνεμος* Ο 556,

ἀτρύγετος Ρ 425, ἄσπετος Π 300, δῖος Π 365, ὅποι δὲ τοῦ αἰθέρος ὁμίχλη ἢ νέφη ἐστὶν εἴτε ἡ ὁμιχλώδης ἢ νεφελώδης τοῦ αἰθέρος κατάστασις ἀὴρ λέγεται. Τούτου οὕτως ἔχοντος, ὡς ἐν ἑτέρῳ τόπῳ δειχθήσεταί μοι, τότ' ὄντως τὸ δι' οὗ ὅτε ψόφος καὶ ἡ αἴγλη ἢ τὸ φῶς διικνοῦνται τὸν *αἰθέρα* εἶναι οἴεται Ὅμηρος· λέγει γὰρ Ρ 424·

σιδήρειος δ' ὀρυμαγδὸς
χάλκεον οὐρανὸν ἷκε δι' αἰθέρος ἀτρυγέτοιο·

καὶ Β 458·

αἴγλη παμφανόωσα δι' αἰθέρος οὐρανὸν ἷκεν.

Καὶ τὴν ἀκουστικὴν ἀλήθειαν, τὸ ὅσῳ ἰσχυρότερον ψόφον τινὰ τυγχάνειν τόσῳ πορρωτέρω ἀκούεσθαι καὶ εἰς τὰς ἐν τοῖς ὄρεσι κοίλας νάπας ἰσχυρότερον γίγνεσθαι, εἴρηκεν Ὅμηρος ἐν τοῖσδε Π 633·

τῶν δ', ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει
οὔρεος ἐν βήσσῃς· ἔκλυεν δέ τε γίγνετ' ἀκουή·

ὁ γὰρ τῆς δρυοτομίας κτύπος αὐτὸς καθ' αὑτὸν ἰσχυρὸς παρίσταται, διὸ καὶ ὀρυμαγδὸς εἴρηται· τὸν δὲ ψόφον τοῦτον, ὃς αὐτὸς καθ' αὑτὸν ἰσχυρὸς παρίσταται, ἐν κοίλῃ ὄρους νάπῃ ἔτι ἰσχυρότερον γίγνεσθαι παραστῆσαι βουλόμενος Ὅμηρος, τὸ «οὔρεος ἐν βήσσῃς» προσέθετο, κοὐκ εἰκῇ καὶ ὡς ἔτυχε· ὁ ἰσχυρὸς ἄρα φύσει τε καὶ θέσει κτύπος τῶν δρυοτόμων πόρρωθεν, λέγει, ἀκουστὸς γίγνεται.

Καὶ ἡ ἀκουστικὴ ἀλήθεια, ὅτι ὅσῳ πορρωτέρω μεταδίδοται ἦχός τις τόσῳ ἀσθενέστερος γίγνεται καὶ τέλος οὐκ ἀκουστός, σαφῶς ὑπεμφαίνεται ἐν τῇ τοῦ Πολυδάμαντος εὐχῇ, ἵνα τῆς ἀκοῆς αὐτοῦ πόρρω ἀποσταίη ὁ τῶν Τρώων ὑπ' Ἀχιλλέως ὄλεθρος, ὅπως μὴ ταῦτα ἀκούσῃ Σ 272· «*αἴ γὰρ δή μοι ἀπ' οὕατος ὧδε γένοιτο*». Πρὸς δὲ καὶ ἡ σύζυγος Ἕκτορος ηὔχετο, ἵνα μακρὰν τοῦ ὠτὸς αὐτῆς ἀπείη ἡ τῆς Ἑκάβης φωνή, ἥτις ἐτάραξεν αὐτὴν καὶ παρέλυσε τὰ μέλη, ὅπως μὴ ταύτης ἀκούσειε Χ 454· «*αἴ γὰρ ἀπ' οὕατος εἴη ἐμεῦ ἔπος*».

Καὶ ὅτι δὲ τῶν ἀκουστικῶν πόρων φραττομένων δυσηκοία ἐπιγίγνεται, κωλυομένης ὡς εἰπεῖν τῆς τῶν ἠχητικῶν κυμάτων εἰσβολῆς, καὶ τοῦτο γνωστὸν ἦν· Ὀδυσσεὺς γὰρ τῇ τῆς Κίρκης συμβουλῇ κηρὸν ταῖς χερσὶ μαλάξας καὶ τήξας ἐπήλειψε τὰ τῶν αὑτοῦ ἑταίρων ὦτα, ἵνα μή τις αὐτῶν τὴν λιγυρὰν τῶν Σειρήνων ᾠδὴν ἀκούσῃ μ 47, 177, 200.

Τὰς δὲ διαφόρους φωνὰς ἢ ἤχους ἢ ψόφους, ὧν τῇ ἀκοῇ ἀντιλαμ-

βανόμεθα, διαφόροις ὀνόμασιν ὀνομάζει· οἷον ἀκούειν *μῦθον* Γ 76, *ἔπος* λ 561. *ῥήσιος* φ 291, *δόσαν* (ἐκ Διὸς) α 282, φθόγγον μ 41, *ὄπα* Ἀγαμέμνονος Λ 137 ἢ θεῶν Η 53 ἢ ἀρνῶν Δ 435, *ἀϋτῆς* Δ 331, *φθογγῆς* Π 508 καὶ *ἀοιδῆς* μ 198, φωνῆς Ὕμ. Δημ. 23. Ο 686, *κωκυτοῦ* καὶ *οἰμωγῆς* Χ 447, *στοναχῆς ἠὲ κτύπου* φ 237, *στόνον* ψ 40, *ἐροπὴν* βροτῶν κ 147 ἢ αὐλῶν καὶ συρίγγων Κ 13, *μυκηθμοῦ* βοῶν καὶ οἰῶν *βληχὴν* μ 265, *ὀλαγμὸν* (κυνὸς) Φ 575, *κλάγξαντος* (ἐρωδιοῦ) Κ 276 καὶ *κλαγγὴν* Γ 3, *βοῆς* ἀίειν ρ 433, *ἰάχοντος* ἀίειν Λ 463 καὶ *ἰαχὴ* Ξ 1, *δοῦπον* Κ 354, *κτύπον* φ 237· πρὸς δὲ *αὐδὴν* κλύειν Ἕκτωρος Ν 757 καὶ θεοῦ Ο 270 καὶ *ἀγγελίην* Π 13, καὶ *ἔπος* καὶ *ὀπὸς* καὶ *μῦθον* καὶ δοῦπον· *κλαγγὴ* καὶ *κυδοιμὸς* ὦρτο Κ 523 καὶ *ὄμαδος* καὶ δοῦπος Ι 573 καὶ *ὀρυμαγδὸς* Β 810· πρὸς δὲ *βρόμος* πυρὸς Ξ 396 καὶ *πάταγος* ὀδόντων Ν 283 καὶ *καναχὴ* ὀδόντων Τ 365 καὶ *ἠχὴ* Ν 837 καὶ *ἠχὼ* Ὕμ. 19, 21 καὶ *ψόφος* Ὕμ. Ἑρμ. 285 καὶ ὀϊστῶν *ῥοίζος* Π 361 καὶ *γόος* π 144 καὶ *κλαυθμὸς* Χ 501 καὶ ἄλλα. Πλεῖστα δ' ἀναλόγως εἰσὶ καὶ τὰ ῥήματα τὰ ἦχον ἢ ψόφον ἢ φωνὴν δηλοῦντα· οἷον *ἰάχω*, *ἀΰω*, *αὔω*, *ἔβραχε*, *ἔκτυπε*, *ἐβρόντησας*, *βρέμει*, *ῥοχθεῖ*, *μύκον*, *πατάσσει*, *κλάζοντε*, *βοᾶν*, *ἔστενε*, *κώκυσεν*, *ἐφθέγξατο*, *ἄειδον*, *θρηνῶ*, *κλαίω*, *φωνέω*, *οἰμώζω*, *ὀλακτῶ*, *κλάζω*, *δουπεῖν*, *καναχίζειν* καὶ ἄλλα. Οὕτω ποικίλως Ὁμήρῳ τὰ ἀκουστὰ ὠνόμασται, πλῆθος δ' ἄπειρός ἐστι ῥημάτων ἦχου δηλωτικῶν καὶ εἰκότως· ἡ γὰρ μουσικὴ μεγίστην τοῖς Ἕλλησιν ἐπίδοσιν ἔλαβεν ἀπὸ Χείρωνος, ὃς πάντας τοὺς ἥρωας μουσικὴν ἐδίδαξε.

Καὶ τὸ τὸν κύνα δὲ τὰ ὦτα ἀνέχειν ἀκροώμενον, ἵνα ὀξὺ ἀκούσῃ, ἀκούσαντα δ' αὖθις τὰ ὦτα καταβάλλειν, καὶ ἡ ἀκουστικὴ αὕτη παρατήρησις οὐκ ἐξέφυγε τὴν τοῦ Ὁμήρου προσοχήν· Ἄργος γάρ, φησίν, ὁ Ὀδυσσέως κύων, ἐφ' ὅσον Ὀδυσσεὺς ἠγόρευεν, ἀνέσχε τήν τε κεφαλὴν καὶ τὰ ὦτα ἀκροώμενος, ὡς δ' ἐνόησεν Ὀδυσσέα ἐγγὺς ὄντα, τῇ μὲν οὐρῇ ἔσηνεν, ἄμφω δὲ τὰ ὦτα κατέβαλε ρ 291,302.

γ'. *Περὶ ὠτικῶν παθῶν.*

Καὶ τὰ τῶν ὤτων πάθη ὡς εἰκὸς τραύματα μόνον ἐστί· δώδεκα δ' εἰσὶν αἱ κατὰ τὴν χώραν τῶν ὤτων τρῶσεις, δύω παρὰ τὸ οὖς, τρεῖς ὑπὸ τὸ οὖς καὶ τρεῖς ὑποκάτωθεν τῆς τε γνάθου καὶ τοῦ

ὠτός, μία ὑπὲρ τὸ οὖς καὶ μία κατ' αὐτὸ τὸ οὖς, πρὸς δὲ δύο ἀποτομαὶ ὤτων ποινῆς χάριν, πᾶσαι δ' αἱ τρώσεις αὗται θανατηφόροι εἰσὶ πλὴν τῆς ἐκ πυγμαχίας καὶ τῆς τρώσεως τῆς Ἀρτέμιδος, θεᾶς οὔσης, καὶ τῶν ἀποτομῶν τῶν ὠτικῶν κογχῶν.

Καὶ πρῶτον *παρὰ τὸ οὖς* Ἀτρείδης Ἀγαμέμνων ξίφει ἤλασεν Ἄντιφον, γνήσιον Πριάμου υἱόν, φονεύσας δ' ἐξέβαλεν αὐτὸν τοῦ δίφρου Λ 109. Καὶ Ἥρα δὲ τὴν Ἄρτεμιν τόξοις ἔβαλε παρὰ τὰ ὦτα Φ 491.

Ὑπὸ δὲ τὸ οὖς Τεῦκρος ὁ Τελαμώνιος τὸν πολεμιστὴν Ἴμβριον τὸν Μέντορος υἱὸν δόρατι μακρῷ ἔνυξεν, ἐξέσπασε δὲ τὸ δόρυ· ὁ δὲ Τεῦκρος κατακταθεὶς κατέπεσεν ὡς μελία Ν 177. Καὶ Πηνέλεως Λύκονα Τρῶα ξίφει ἔπληξεν ὑποκάτω τοῦ ὠτὸς κατὰ τὸν αὐχένα, πᾶν δὲ τὸ ξίφος εἰσέδυ καὶ μόνον τὸ δέρμα ἀντέσχεν, ἐκρεμάσθη δ' ἐκ πλαγίου ἡ κεφαλὴ καὶ παρελύθησαν τὰ μέλη αὐτοῦ Π 339. Ὀδυσσεὺς δὲ Ἶρῳ τῷ ἐπαίτῃ πὺξ μαχόμενος τῷ γρόνθῳ ἔπληξεν αὐτὸν κατὰ τὸν αὐχένα *ὑπὸ τὸ οὖς*, εἰσέθλασε δὲ τὴν κάτω σιαγῶνα· παραυτίκα δ' αἷμα ἦλθε κατὰ τὸ στόμα καὶ ὁ Ἶρος κατέπεσεν ἐν τῇ κόνει συντρίψας καὶ τοὺς ὀδόντας σ 96.

Ὑπὸ τὴν γνάθον δὲ καὶ τὸ οὖς τρία τραύματα μνημονεύεται καὶ τὰ τρία θανατηφόρα. Πάρις βέλει ἔβαλεν ὑπὸ γνάθον καὶ οὖς Εὐχήνορα τὸν Κορίνθιον, Πολυείδου μάντεως υἱὸν Ν 671, Μηριόνης δ' αὖ Λαόγονον, Ὀνήτορος υἱόν, Τρῶα Π 606· παρ' ἀμφοῖν δὲ ταχέως ἡ ψυχὴ ὤχετ' ἀπὸ τῶν μελῶν, στυγερὸν δ' ἄρα σκότος ἑκάτερον εἷλεν. Ἕκτωρ δὲ δόρατι ἔβαλεν ὑπὸ γνάθον καὶ οὖς τὸν Μηριόνου ὑπασπιστὴν καὶ ἡνίοχον Κοίρανον, ἡ δὲ τοῦ δόρατος αἰχμὴ τούς τ' ὀδόντας ἐξέωσε καὶ μέσην διέτεμε τὴν γλῶτταν, ὁ δὲ φονευθεὶς ἐκ τῆς ἁμάξης ἀνετράπη Ρ 617.

Ὑπεράνω δὲ τοῦ ὠτὸς ὁ Ἕκτωρ ὀξεῖ δόρατι ἔβαλε κατὰ τὴν κεφαλὴν Λυκόφρονα, Αἴαντος θεράποντα Κυθήριον, ὃς ἐκπνεύσας ὕπτιος χαμαὶ ἐν τῇ κόνει ἀπὸ τῆς πρύμνης τῆς νεὼς κατέπεσε Ο 433.

Κατ' αὐτὸ δὲ τοῦτο τὸ οὖς ἓν μόνον τραῦμα μνημονεύεται Υ 472· Ἀχιλλεὺς παραστὰς δόρατι ἔτρωσε κατὰ τὸ οὖς Μούλιον Τρῶα· εὐθὺ δὲ διὰ τοῦ ἑτέρου ὠτὸς διῆλθεν ἡ τοῦ δόρατος αἰχμή. Καὶ οὐκ εἴρηται μὲν εἰ Μούλιος τὸν βίον ἐτελεύτησεν, ἀλλ' ἐξ αὐτῆς τῆς τοῦ τραύματος περιγραφῆς φανερόν, ὅτι θανατηφόρον ἦν.

Ὁ δὲ Λαομέδων, παρ' ᾧ Ποσειδῶν τε καὶ Ἀπόλλων ἐνιαυτὸν ἐπὶ ῥητῷ μισθῷ ἐθήτευσαν, ἠπείλησε καὶ ἦν ἕτοιμος ξίφει ἀμφοτέρων τὰ ὦτα ἀποκόψαι καὶ πελεκίσαι Φ 455. Καὶ Ἔχετος δ' ὁ Ἠπείρου βασιλεὺς πρὸς ποινὴν ῥῖνα καὶ ὦτα τέμνειν εἴωθε σ 86. Τούτῳ δ' Ἀντίνοος ἠπείλησε πέμψαι Ἶρόν τε, ἂν ἐν τῇ μετ' Ὀδυσσέως πυγμαχίᾳ νικηθῇ σ 86, καὶ Ὀδυσσέα φ 307, ἵνα τὰ ὦτα καὶ τὰς ῥῖνας αὐτῶν ἀποκόψῃ. Καὶ οἱ Λαπῖθαι δ' ἔθνος θετταλικόν, ξίφει τά τε ὦτα καὶ τὰς ῥῖνας τοῦ Κενταύρου Εὐρυτίωνος ἀπέκοψαν φ 300. Ὁ δὲ συβώτης Εὔμαιος καὶ ὁ Φιλοίτιος βουκόλος φίλα φρονοῦντες Ὀδυσσεῖ τὸν Μελάνθιον αἰγοβοσκὸν ἐν τῷ οἴκῳ τοῦ Ὀδυσσέως συλλαβόντες ἐξήγαγον ἀνὰ πρόθυρον καὶ αὐλήν, ξίφει δ' ἀπέτεμον ῥῖνάς τε καὶ ὦτα, τά τ' αἰδοῖα ἐξείρυσαν καὶ τὰς χεῖρας καὶ τοὺς πόδας ἀπέκοπτον χ 475. Ὥσθ' ἡ βάρβαρος ποινὴ ἡ μέχρι χθὲς ἔτι ὑπὸ τῶν βαρβάρων ἀσκουμένη καὶ παρ' Ἕλλησι δυστυχῶς ἐν τοῖς παλαιτάτοις ἐκείνοις χρόνοις ἐν χρήσει ἦν.

Εἰρήσθω δ' ἐνταῦθα ὅτι καὶ ἡ νῦν ἔτι ἐν χρήσει ποινὴ τοῦ τύπτειν τὰ ὦτα καὶ ἐν τοῖς Ὁμηρικοῖς ἔπεσι μνημονεύεται. Ἥρα Ἄρτεμιν τοῦ πολεμικοῦ μένους τιμωρήσασθαι βουλομένη τῇ μὲν ἀριστερᾷ αὐτῆς ἀμφοτέρων τῶν χειρῶν ἐπὶ καρπῷ αὐτὴν ἔλαβε, τῇ δὲ δεξιᾷ ἀπ' ὤμων τῆς Ἀρτέμιδος τὰ τόξα ἑλοῦσα τούτοις ἔτυπτεν αὐτὴν παρὰ τὰ ὦτα γελῶσα Φ 491.

Ζ.

ΠΕΡΙ ΟΦΘΑΛΜΟΛΟΓΙΑΣ ΚΑΙ ΩΤΟΛΟΓΙΑΣ ΑΠΟ ΟΜΗΡΟΥ ΜΕΧΡΙΣ ΙΠΠΟΚΡΑΤΟΥΣ 962-460 Π. Χ.

Ὡς ἔφθημεν εἰπόντες 109, ἡ τῶν ὀφθαλμῶν καὶ ὤτων ἀνατομὴ ἐπὶ πέντε ὅλους αἰῶνας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους οὐδεμίαν σπουδαίαν πως ἐπίδοσιν ἔλαβε. Τοῦτ' αὐτὸ δὲ λεκτέον καὶ περὶ τῆς ὅλης ὀφθαλμικῆς καὶ ὠτικῆς ἰατρικῆς, ὡς ἂν εἴη εἰκάσαι ἐκ τῶν περισωθέντων ἡμῖν λειψάνων τῶν ποιητῶν, ἱστορικῶν καὶ φιλοσόφων. Οὐδὲν γὰρ γραπτὸν μνημεῖον ἰατρικὸν περιεσώθη ἡμῖν, ὅπως ἀσφαλῶς κρίνωμεν περὶ τῆς ἐπιδόσεως τῆς τ' ἀνατομῆς καὶ τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας κατὰ τοὺς χρόνους τούτους. Πάντα ἀπώλετο

πλὴν ἀποσπασμάτων τινῶν καὶ τινων ὀνομάτων ἰατρῶν. Ὅτι δ' οὐδεμία ἰδία ἀνατομικὴ βίβλος ἐν τοῖς πρὸ τοῦ Ἱπποκράτους χρόνοις ὡς οὐδ' ἐπὶ Ἱπποκράτους αὐτοῦ ὑπῆρχε, τοῦτο σαφῶς πάνυ μαρτυρεῖ Γαληνὸς Διοκλέα τὸν Καρύστιον πρῶτον, ὃς εὐθὺς μεθ' Ἱπποκράτην καὶ πρὸ Ἀριστοτέλους ἐν Ἀθήναις ἐγένετο, συγγράψαι λέγων *ἀνατομάς*· οἱ γὰρ πρὸ αὐτοῦ, φησίν, ἐν αὐτοῖς τοῖς ἰατρικοῖς βιβλίοις ἀναμὶξ καὶ τὴν ἀνατομικὴν θεωρίαν αὐτῶν ἐνέγραφον πάνυ συντόμως, καθ' ἅπερ καὶ Ἱπποκράτης αὐτὸς ποιεῖ. Καὶ *ἀνατομικὰς δ' ἐγχειρήσεις* πρῶτον Μαρῖνον συγγράψαι φησί· τοὺς γὰρ παλαιοὺς ὥςπερ ἀναγινώσκειν καὶ γράφειν οὕτω καὶ ἀνατέμνειν ἐκ παίδων παρὰ τοῖς γονεῦσιν ἀσκεῖσθαι, ὥστε τούτῳ τῷ τρόπῳ ὑπομνημάτων οὐκ ἦν αὐτοῖς χρεία· ἱκανῶς δ' ἐσπουδάκασι, φησὶ Γαληνός, οἱ παλαιοὶ τὴν ἀνατομὴν οὐ μόνον ἰατροὶ ἀλλὰ καὶ φιλόσοφοι 2,282. Ὥστε πρὸ Διοκλέους τοῦ Καρυστίου καὶ Μαρίνου οὔτε περὶ ἀνατομῶν οὔτε περὶ ἀνατομικῶν ἐγχειρήσεων συγγράμματα ἐγέγραπτο. Οὔτε δὲ περὶ ὀφθαλμῶν οὔτε περὶ ὤτων βιβλίον τι ἴδιον συγγέγραπται πρὸ Ἱπποκράτους, ὡς οὔτ' ὀφθαλμικοὶ οὔτ' ὠτικοὶ ἴδιοι οὔπω ὑπῆρχον· οἱ γὰρ Ἕλληνες καὶ Ἱπποκράτους πολλῷ ὕστερον περὶ πᾶσαν τὴν ἰατρικὴν ἐσπούδαζον, ὥστ' εἰκότως καὶ τὰ ὀφθαλμικὰ καὶ ὠτικὰ πάθη ἐν ταῖς ἰατρικαῖς συγγραφαῖς συμπεριειλῆφθαι· ἀλλὰ καὶ τούτων οὐδὲν σώζεται ἴχνος πλὴν εἴ τις τὰς *Κωακὰς προγνώσεις* πολλῷ πρότερον Ἱπποκράτους συγγεγράφθαι οἴοιτο. Εἴ τι οὖν καὶ περὶ ὀφθαλμῶν καὶ ὤτων ἀνατομῆς ἢ περὶ ὀφθαλμικῆς καὶ ὠτικῆς ἰατρικῆς ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους εἴρηται, τοῦτο ζητητέον παρὰ τοῖς ποιηταῖς, φιλοσόφοις καὶ ἱστορικοῖς, ἐπεὶ ἰατρικὴ βίβλος οὐδεμία τῶν πρὸ τοῦ Ἱπποκράτους χρόνων ἡμῖν περιγέγονε. Ἀλλὰ καὶ αὐτῶν τῶν ποιητῶν, τῶν φιλοσόφων καὶ ἱστορικῶν αἱ συγγραφαὶ ὡς ἐπὶ τὸ πολὺ σὺν τῷ χρόνῳ ἠκρωτηριάσθησαν. Ἀπὸ τῶν θαυμασίων ἄρα Ὁμηρικῶν ἐπῶν, ἃ περί τε τοῦ οἰκιακοῦ καὶ κοινωνικοῦ βίου καὶ περὶ ἄλλων τῶν Ὁμηρικῶν χρόνων λεπτομερῶς ἡμᾶς διδάσκουσι καὶ ἐξ ὧν περί τε τῆς τότε ἰατρικῆς καὶ τῆς τῶν ὀφθαλμῶν καὶ ὤτων ἀνατομῆς τε καὶ ἐπιστήμης ἔστι πως γνῶναι, ἀπὸ Ὁμήρου, λέγω, μέχρι τῆς ἀκμῆς τῶν ἰατρικῶν σχολῶν τῆς Κνίδου καὶ Κῶ ἐπὶ πέντε ὅλους αἰῶνας τὸ μὲν ἐκ τῶν τῇδε κακεῖσε διεσπαρμένων ἀποσπασμάτων τῶν φιλοσόφων τῶν περὶ φύσεως ἢ κοσμο-

γονίας γραψάντων τὸ δ' ἐκ τῶν ποιητῶν τὸ δ' ἐκ τῶν ἱστορικῶν τῶν πρὸ τοῦ Ἱπποκράτους ἢ ὁμοχρόνων αὐτῷ πειράσομαι ἰδέαν τινὰ ἀναπαραστῆσαι περὶ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἰατρικῆς καὶ τῆς ἀνατομῆς.

Ἀπὸ δὲ Θαλοῦ (640) τοῦ πρώτου φιλοσοφήσαντος καὶ Σόλωνος (594) μέχρις Ἱπποκράτους (460) ἐπίδοσίς τις εἴς τε τὴν ἰατρικὴν καὶ τὴν ἀνατομὴν καὶ τὴν περὶ ὀφθαλμῶν καὶ ὤτων ἐπιστήμην γίνεται. Θεωρίαι δ', εἰ καὶ ἐν νηπιότητι, πρὸς ἐξήγησιν φυσιολογικῶν τε παθολογικῶν τε φαινομένων καὶ πῶς ἡ ὄψις καὶ ἀκοὴ καὶ αἱ ἄλλαι αἰσθήσεις γίγνονται τὸ μὲν ὑπὸ ἰατρῶν τὸ δὲ ὑπὸ φιλοσόφων ἢ φυσικῶν ἐπινενόηνται. Σπουδὴ δέ τίς πως περὶ ἐπιστημονικὴν ἔρευναν τῶν τῆς ἰατρικῆς καὶ δὴ καὶ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἐπιστήμης φαίνεται. Καὶ οἱ μὲν φιλόσοφοι, ἔστιν εἰπεῖν, μικρὸν πάνυ τὰ τῆς πρακτικῆς ἰατρικῆς προήγαγον· ἔνιοι δὲ μάλιστα ἐπῳδαῖς ὡς ἐπὶ τὸ πολὺ καὶ μαγείαις καὶ θεουργικῶς οὕτως εἰπεῖν αὐτὴν ἤσκουν· ἀλλὰ μὴν αὖθις αὖ οἷόν τ' ἂν εἴη ἰσχυρίσασθαι, δοκῶ μοι, ὅτι τῶν φιλοσόφων τινές, οἷον Ἀλκμέων ὁ Κροτωνιάτης καὶ Ἀναξαγόρας καὶ Δημόκριτος ὁ Ἀβδηρίτης καὶ Ἐμπεδοκλῆς καὶ Παρμενίδης, περί τε τὴν τῶν ὀφθαλμῶν καὶ ὤτων ἀνατομὴν καὶ ἐν γένει περὶ τὰς ἀνατομὰς διατρίβειν ἐπεχείρησαν καὶ ὀπτικὰς καὶ ἀκουστικὰς θεωρίας ἰδίας ἐπινενοήκασι καὶ *τί μετὰ τί γίνεται τῶν μορίων* ἤτοι περὶ γενέσεως καὶ βιολογίας ἐπειράθησαν λέγειν, ὡς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ ζῴων γενέσεως Β, ς. 3,360,13· « τῶν δ' ἀρχαίων τινὲς φυσιολόγων τί μετὰ τί γίνεται » τῶν μορίων ἐπειράθησαν λέγειν, οὐ λίαν ἐμπειρικῶς ἔχοντες τῶν » συμβαινόντων ».

Ἡ πρώτη καὶ παλαιτάτη πρὸ Ὁμήρου ἀρχὴ τῆς τῶν ἐντὸς μορίων ἀνατομῆς τοῖς Ἕλλησιν ἐκ τῶν θυσιῶν εἶναι δοκεῖ μοι, ἐκ τῶν *σπλαγχνοτομιῶν*, αἳ οὐκ ἀνατομικῆς χάριν θεωρίας ἀλλὰ μαντικῆς ἕνεκεν ἐγίγνοντο, ὡς ἄνω μοι εἴρηται 38. Οἱ μάντεις ὡς ἔπος εἰπεῖν οἱ πρῶτοι γεγόνασιν ἀνατομικοί. Οὔτε δὲ πρὸ Ὁμήρου οὔτ' ἐπ' αὐτοῦ οὔτε μετ' αὐτὸν ἴσμεν ἀνατομὰς ζῴων ἢ ἀνθρώπων ἀνατομικῆς θεωρίας χάριν γεγονέναι, Ἀλκμέωνα δὲ πρῶτον ἀνατομὰς ζῴων ποιήσασθαί φησι Χαλκίδιος, καὶ Θεόφραστος δὲ καὶ Πλούταρχος ὑπεμφαίνουσιν, ὡς ἔοικε· οἱ δὲ περὶ Ἀναξαγόραν καὶ ἀνθρώπων πτώματα ἀνέτεμνον πρὸς θεωρίαν τῆς τε κατὰ φύσιν καὶ τῆς παθολογι-

κῆς ἀνατομῆς, ὡς ἄνω μοι δέδεικται σελίδι 7. Ἀλλὰ μὴν εἰ καὶ Ἀλκμέων ἱστορικῶς ὡς πρῶτος ἀνατομικὸς νομίζεται, πολλῷ πρότερον Ὁμήρου δοκῶ μοι ὑπάρχειν τοὺς περὶ τὰς ἀνατομὰς διατρίβοντας· Ὅμηρός τε γὰρ ἄριστα τὴν ἀνατομὴν εἰδὼς ἐν ταῖς τῶν τραυμάτων περιγραφαῖς φαίνεται καὶ Ἡσίοδος Προμηθέα εὖ εἰδότα τὰ τῆς ἀνατομῆς παρίστησιν ἐν τῇ τοῦ βοὸς διαιρέσει, Αἰσχύλος δ' ὡς πρῶτον σπλαγχνοτόμον καὶ σπλαγχνοσκόπον καὶ ἰατρικῆς διδάσκαλον Προμηθέα ἐποίησεν, ὡς ἄνω μοι εἴρηται 18. 40. 59.

Τὴν περὶ τὰς ἀνατομὰς ἐπίδοσιν κατὰ τοὺς χρόνους τούτους φανερῶς δεικνῦσι καὶ οὐκ ὀλίγαι νέαι ὀνομασίαι πολλῶν μορίων καὶ νέαι ὅλως ἀνατομικαὶ γνώσεις, ἔστι δ' αἳ καὶ τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ἀνατομῆς, αἳ παρὰ τοῖς ποιηταῖς εὑρηνται καὶ ἰδίᾳ παρὰ τοῖς τραγῳδοῖς καὶ κωμῳδοῖς, ὅσῳ πλησιαίτερον πρὸς Ἱπποκράτη χωροῦμεν.

Ἀρχίλοχος γὰρ καὶ ἄλλοις μέν τισιν ὀνομασίαις μορίων πρῶτος χρῆται· πρῶτος δὲ καὶ τὴν χολὴν ἐν τῷ ἥπατι οὖσαν γιγνώσκει 131, ὃ μετὰ δύο περίπου αἰῶνας αὖθις Αἰσχύλος ἐπαναλαμβάνει καὶ τοῦ λοβοῦ μνημονεύων ἐν Προμηθεῖ 495· «*χολῆς λοβοῦ τε ποικίλην εὐμορφίαν*». Εὐριπίδης δὲ καὶ τοῦ λοβοῦ τοῦ ἥπατος καὶ τῶν πυλῶν καὶ τῆς χοληδόχου κύστεως μέμνηται ἐν Ἠλέκτρᾳ 827· «*πύλαι δὲ καὶ δοχαὶ χολῆς*». Καὶ Ἀριστοφάνης δὲ δοκεῖ Ἀπ. 454 «*πυλαγόρους*» λέγων τοὺς τὰς πύλας τοῦ ἥπατος ἐπισκοποῦντας μάντεις ὑπαινίττεσθαι· μαρτύριον δὲ καὶ τοῦτο ἔστω τῶν εἰρημένων μοι 39 πρώτους γενέσθαι ἀνατομικοὺς τοὺς μάντεις. Πρῶτος δ' Ἀρχίλοχος τὸ ἀνδρικὸν αἰδοῖον ἀπαλὸν κέρας 172 καὶ *μύκητα* ὠνόμασε καὶ τοὺς τὴν στῆσιν ἐνεργοῦντας μῦς «*μύκεω τένοντας*» 47, ὡς φησι Χοιροβοσκὸς I, 139, τὸ δὲ τῆς γυναικὸς *ἀηδόνα* 156. *Τράμις* δ' Ἀρχιλόχῳ ὠνόμασται τὸ περίναιον ἢ μᾶλλον εἰπεῖν ἡ μέση αὐτοῦ ῥαφὴ ἢ τὸ ὀρροπύγιον, ἤτοι ὁ ὄρρος Ἀπ. 195, ὅσπερ καὶ ἱππόταυρος καλεῖται κατ' Ἐρωτιανὸν 360· *τράμιν* δὲ τὸ περίναιον ἢ τὸ ὀρροπύγιον λέγει καὶ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις 246 καὶ Ἱππῶναξ 84. *Μυλακρὶς* δ' εἴρηται Ἱππώνακτι ἡ ἐπιγονατὶς ἢ μύλη ἢ ἡ καθ' Ἱπποκράτην *ἐπιμυλίς*, ὡς φησι Πολυδεύκης 2,189.

Ὅμηρος ὡς ἔκ τινων χωρίων εἰκάσαι ἂν εἴη, τὸ αἷμα ἐν ἰδίοις ἀγγείοις ᾤετο, ἀλλὰ μὴν Αἰσχύλος πρῶτος σαφῶς ἐν Απ. 240 «*αἱμορρύτους φλέβας*» λέγει, τὰ αἱμοφόρα ἀγγεῖα εὖ εἰδώς, ὡς καὶ Σο-

φοκλῆς ἐν Φιλοκτήτῃ 825 *αἱμορραγοῦς φλεβὸς* καὶ Εὐριπίδης *κοίλης φλεβὸς* μέμνηται ἐν Ἴωνι 1011. Πρῶτος δ' Ἀριστοφάνης τῶν τοῦ ἐγκεφάλου ἡμισφαιρίων μέμνηται, ἃ συκῆς φύλλοις ἐοικότα *θρίῳ* λέγει Βατράχοις 134·

ἀλλ' ἀπολέσαιμ' ἂν ἐγκεφάλου *θρίω* δύο.

Τὸ δ' ἐπίπλοον ἀρσενικῶς *ὁ ἐπίπλοος* ἢ *ἐπίπλους* εὕρηται παρ' Ἐπιχάρμῳ Βάκχαις 1 «*καὶ τὸν ἄρτον ἐπικαλύψας ἐπιπλόῳ*» καὶ Θεαροῖς 1 «*ὀσφύος τε πέρι καὶ ἐπίπλου*» καὶ Ἴωνι «*τῷ ἐπίπλῳ ἐπικαλύψας*», ὃ ἐπὶ τοῦ λίπους καὶ τοῦ ὑμένος εἴρηται, ὡς Ἀθήναιός φησι 3,69.106f· καὶ Ἡρόδοτος δὲ «τὸν σπλῆνα καὶ τὸν ἐπίπλοον συνθεὶς ὁμοῦ» φησι Β,47,4. Ἔτι δὲ παρ' Ἀριστοφάνει εὕρηται *πρωκτός*· *ὄρχις* δὲ κεῖται παρά τε Σοφοκλεῖ ἐν Ἀπ. 80 καὶ παρ' Ἡροδότῳ Δ, 109. *Σκάφιον* Ἀριστοφάνης τὸ κρανίον λέγει ἐν Ἀπ. 502. Ἡρόδοτος δὲ τῶν *ῥαφῶν* τοῦ κρανίου μνείαν ποιεῖται Θ, 83. Εὕρηνται δὲ καὶ *σιαγὼν* παρ' Ἀριστοφάνει Ἀπ. 278 καὶ Κρατίνῳ Ἀπ. 4 καὶ Σοφοκλεῖ Ἀπ. 670 καὶ *γομφίος* παρ' Ἐπιχάρμῳ καὶ Ἡροδότῳ Θ, 83 καὶ Ἀριστοφάνει Βατράχοις 573 καὶ *κυνόδους* παρ' Ἐπιχάρμῳ Βουσίριδι 1 καὶ *κίβιτον* Β,93, ὃ τὸ ὠλέκρανον σημαίνει καὶ ὃ τοῖς Δωριεῦσι τῆς Σικελίας ἰδιάζει κατὰ Πολυδεύκη 2,141· πρὸς δὲ *ὠλέκρανον* παρ' Ἀριστοφάνει Εἰρήνῃ 443, καὶ *ἐπωμὶς* παρ' Ἀχαιῷ ἐν Ἀπ. 5 καὶ Εὐριπίδῃ ἐν Ἑκάβῃ 558 καὶ *ἀντικνήμιον* παρ' Ἀριστοφάνει ἐν Βατράχοις 126. Καὶ τὸ αἰδοῖον δὲ τοῦ τ' ἀνδρὸς καὶ τῆς γυναικὸς Ἀριστοφάνει ποικίλαις ὠνόμασται ὀνομασίαις καὶ ὑπαινιγμοῖς· οἷον τὸ μὲν τοῦ ἀνδρὸς λέγεται *τόσθη*, *πόσθιον*, *κωλῆ* Νεφέλαις 1019, *κριθή*, *σῦκον*, *ἐρέβινθος*, *ψηγός*, *κέρκος*, τὸ καθωμιλημένον *ψωλὴ* ἐν Ὄρνισι 560, *πέος*, καὶ παρ' ἄλλοις, *νεῦρον*, *ἄγκυρα*, *κόντιλος*. Τὸ δὲ γυναικεῖον αἰδοῖον λέγεται, *θόριλλος*, *κύσθος*, *χοῖρος*, *σάκανδρος*, ἡ δὲ κλειτωρὶς *μύρτον* καὶ *ὕσσακος*.

Ἄγε δὴ νῦν ἴδωμεν εἴ τι νέον ὀφθαλμικὸν καὶ ὠτικὸν ἔστιν εὕρημα ἐν τοῖς μεταξὺ Ὁμήρου καὶ Ἱπποκράτους χρόνοις καὶ τίνα ἐπίδοσιν ἥ τ' ὀφθαλμολογία καὶ ὠτολογία ἔλαβε κατὰ τοὺς χρόνους τούτους. Ἔσται δ' ἡμῖν ἐν τοῖς ἑξῆς ὁ λόγος· α' **Περὶ ὀφθαλμολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους**, ἣν ὡς καὶ τὴν παρ' Ὁμήρῳ ὀφθαλμολογίαν τριχῇ διείλομεν, ὧδε· α'. *Περὶ ἀνατομῆς ὀφθαλμῶν*, β'. *Περὶ ὀπτικῆς καὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιο-*

γνωμοσύνας, γ'. Περὶ ὀφθαλμικῶν παθῶν· **β'. Περὶ ὠτολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους,** ἡ αὖθις αὖ τριχῇ διήρηται· *α'. Περὶ ἀνατομῆς ὤτων, β'. Περὶ φυσιολογίας ὤτων καὶ ἀκουστικῆς, γ'. Περὶ ὠτικῶν παθῶν.*

α'. Περὶ ὀφθαλμολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

α'. Περὶ ἀνατομῆς ὀφθαλμῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

Εἰρήσθω δὲ νῦν εἴ τις νέα ὀνομασία τῶν ὀμμάτων ὑπάρχει παρὰ τοῖς μεθ' Ὅμηρον καὶ εἴ τι νέον ἀνατομικὸν Ἀλκμέων τε καὶ ἄλλοι εὑρήκασιν. Αἱ αὐταὶ δ' ὡς ἐπὶ τὸ πολὺ τῶν ὀμμάτων ὥσπερ καὶ τῶν ὤτων ὀνομασίαι εὕρηνται παρὰ τοῖς μετέπειτα ἄλλαι παρ' ἄλλοις αἱ καὶ παρ' Ὁμήρῳ ἤτοι *ὀφθαλμός, ὄμματα, ὄσσε, ὤψ, φάεα, ὀπωπή, γλήνη*· πρὸς δὲ καὶ τὰ προστατικὰ τῶν ὀφθαλμῶν μόρια *βλέφαρα, ὀφρύες, ἐπισκύνιον, μέτωπον.*

1. **Ἡσίοδος.** Παρ' *Ἡσιόδῳ* (850), ὃς ἕνα περίπου μεθ' Ὅμηρον αἰῶνα ἤκμασε, καθ' Ἡρόδοτον δὲ σύγχρονος Ὁμήρου (884) Β, 53, ἐν μὲν Ἔργοις καὶ Ἡμέραις 267 ἅπαξ μόνον *ὀφθαλμὸς* ἀναγινώσκεται οὐδεμία δ' ἄλλη τῶν ὀμμάτων ὀνομασία οὐδ' ἄλλου ὀφθαλμικοῦ μορίου· ὤψ δ' οὐκ ὀφθαλμὸν ἀλλὰ πρόσωπον σημαίνει 62. Ἐν δὲ τῇ Θεογονίᾳ καὶ Ἀσπίδι πολλάκις οἱ συνήθεις καὶ παρ' Ὁμήρῳ ἀνατομικοὶ ὅροι εὑρηνται, οἷον *μέτωπον, ὀφρύες, βλέφαρα, ὀφθαλμός, ὄμματα, ὄσσε*· ἐν συνθέσεσι δὲ τὰ καὶ παρ' Ὁμήρῳ ὡς ἐπὶ τὸ πολὺ συνήθη *ἑλικῶπις, γλαυκῶπις, βοῶπις, εὐρύοπα, Κύκλωπες, ἑλικοβλέφαρος*· ἐν οἷς *ὤψ* ὀφθαλμὸν σημαίνει, καθ' ἅπερ αὐτὸς οὗτος Ἡσίοδος διδάσκει ἡμᾶς τοὺς *Κύκλωπας* ἐτυμολογῶν Θεογονίᾳ 144·

> Κύκλωπες δ' ὄνομ' ἦσαν ἐπώνυμον, οὕνεκ' ἄρα σφέων
> κυκλοτερὴς ὀφθαλμὸς ἓεις ἐνέκειτο μετώπῳ·

Οὐδόλως δ' ἀναγινώσκεται παρ' Ἡσιόδῳ τὰ ἐπὶ τῇ δυνάμει ὀφθαλμοῦ ἢ ὄψεως κείμενα παρ' Ὁμήρῳ, *ὤψ* ἁπλοῦν, *ὀπωπή, γλήνη, φάεα.* Τοὐναντίον δ' Ἡσίοδος τοῦ ἀκλίτου μόνου παρ' Ὁμήρῳ *ὄσσε* καὶ τῶνδε τῶν παθῶν χρῆσιν ποιεῖται· *ὄσσε, ὄσσοις* ἢ *ὄσσοισι, ὄσσων.* Ἀναγινώσκεται δὲ καὶ ἡ γενικὴ πληθυντικὴ τοῦ ἀκλίτου ὄσσε, *τῶν ὄσσε,* ὃ ἐστιν ὀνοματοποιηθεῖσα προστακτικὴ τοῦ *ὄσσω,* ὡς εἴρηταί

μοι 22. Πιθανώτατα δ', ὡς γέ μοι δοκεῖ, γενικῆς πληθυντικῆς πτώσεώς ἐστι τὸ ἄκλιτον *δσσε* ἐν Θεογονίᾳ 698·

ὅσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε·

ἤτοι *αὐγὴ ἄμερδε Τιτῆνας τῶν ὅσσε καὶ ἰφθίμων περ ἐόντων*. Καὶ τοῦτο ἀκριβῶς ὁ ποιητὴς εἰπεῖν βούλεται, δοκῶ μοι, ὅτι ἡ τοῦ κεραυνοῦ καὶ τῆς ἀστραπῆς αὐγὴ ἦν οὕτως ἔντονος, ὥστ' ἐστέρει τοὺς Τιτᾶνας τῶν ὀφθαλμῶν, καίπερ ἰσχυρῶν ὄντων. Οὐχ οἷόν τ' ἂν ἦν τὸν ποιητήν, δοκεῖ μοι, εἰπεῖν, *αὐγὴ ἄμερδε τὰ ὅσσε τῶν καὶ ἰφθίμων περ ἐόντων Τιτάνων*· τίς γὰρ οὐκ οἶδε καὶ τὸν ῥωμαλεώτατον τὸ σῶμα ἀμβλεῖαν ἔστιν ὅτε καὶ ἀσθενῆ ὄψιν ἔχειν πεφυκότα; Εἰκὸς δὲ τὴν τοῦ κεραυνοῦ καὶ τῆς ἀστραπῆς αὐγὴν μᾶλλον τὴν ἀσθενῆ ἢ τὴν ἰσχυρὰν ὄψιν ἀδικεῖν, ὥςπερ καὶ Πλούταρχος ἐν τοῖς Ἠθικοῖς φησι 88d· « ἀλλ' ἔοικε καὶ τοῦ φωτὸς τὸ ἀνακλώμενον μᾶλλον ἐνοχλεῖν » τὰς ἀσθενεῖς ὁράσεις ». *Βλέφαρα δ' ἀντ' ὀφθαλμῶν* πρῶτον παρ' Ἡσιόδῳ κεῖται Ἀσπίδι 7.

2. **Ἐπικὸς κύκλος.** Ἐν δὲ τοῖς ὀλίγοις λειψάνοις τοῦ *ἐπικοῦ κύκλου* μόνον ὁ ὅρος *ὀφθαλμὸς* κεῖται ἐν *Οἰχαλίας ἁλώσει* Κρεοφύλου 8,2 καὶ ἐν *Τοῖς κυπρίοις* Στασίνου 9, 8, ὃς τὴν δεινὴν ὀξυδορκίαν Λυγκέως ἐποίησε, διὰ λίθων καὶ διὰ γῆς καὶ διὰ δρυὸς τὰ γιγνόμενα βλέποντος τοῖς δεινοῖς αὐτοῦ ὀφθαλμοῖς. Ἀρκτῖνος δὲ (775) ἐν Τιτανομαχίᾳ ἥ ὁστισδήποτ' ἐστὶν ὁ ποιήσας τὸ ἔπος τοῦτο *χρυσώπιδας* λέγει τοὺς ἰχθῦς ἀλλὰ διὰ τὸ χρυσοειδὲς τοῦ χρώματος αὐτῶν, δοκῶ μοι, κοὐ διὰ τοὺς χρυσοειδεῖς αὐτῶν ὀφθαλμούς.

3. **Λυρικοὶ ποιηταί.** Ἐν τοῖς τῶν λυρικῶν ποιητῶν λειψάνοις Ἀρχιλόχου (719-663), Ἀλκαίου (περὶ τὸ 603), Σαπφοῦς (περὶ τὸ 596), Σόλωνος τοῦ καὶ νομοθέτου (594), Ἱππώνακτος (περὶ τὸ 546) καὶ ἄλλων καὶ παρὰ Πινδάρῳ (520) εὑρηταί τινα τῶν τῆς ἰατρικῆς καὶ διαιτητικῆς πρὸς δὲ καὶ ὀφθαλμικὰ καὶ ὠτικὰ καὶ ἀνατομικά.

Καὶ *Ἀρχίλοχος* μὲν τὸ τῆς ὄψεως αἰσθητήριον ταῖς κοιναῖς ὀνομασίαις *ὄμματα* καὶ *ὀφθαλμοὺς* ὀνομάζει 103. 25.

Σιμωνίδης δ' ὁ Ἀμοργῖνος ποιητὴς (664) τῶν ὀφθαλμῶν μόνον μνημονεύει 7, 31, Σιμωνίδης δ' ὁ μελοποιὸς (554) *βλεφάροις ἀντ'* ὀφθαλμῶν χρῆται 58. *Ἀλκαῖος* δ' ὁ Λέσβιος (603) οὐδαμοῦ μὲν τοῦ τῆς ὄψεως αἰσθητηρίου μνημονεύει, ἀλλ' ὡς κατωτέρω ἔσται ἡμῖν ὁ

λόγος, ἐκ τοῦ ἀποσπάσματος αὐτοῦ 53 «*οἶνος γὰρ ἀνθρώποις δίοπτρον*» καὶ ἐξ ἄλλων τεκμηρίων εἴη ἂν εἰκάσαι ὅτι ἐπ' Ἀλκαίου τὰ δίοπτρα γνωστὰ ἦν.

Σαπφὼ δ' ἡ Λεσβία (596) τοὺς ὀφθαλμοὺς *ὄππατα* λέγει 2,11. 28,3, ὡς εἴρηταί μοι καὶ ἐν σελίδι 22. Ἔστι δ' Αἰολέων ἰδίωμα, ὡς φησι Γρηγόριος ὁ Κορίνθου ἐν τῷ Περὶ Αἰολίδος 4. Οὐ μόνον δ' *ὄππατα* τὰ τῆς ὄψεως ὄργανα ὀνομάζει Σαπφὼ ἀλλὰ καὶ *ὄσσε* 29 καὶ *ὀφθάλμους* 57, ἀμφότερα ἐν δοτικῇ πληθυντικῇ, «*ὄσσοις, ὀφθάλμοις*». Οὐδαμοῦ δ' ἐν τοῖς περισωθεῖσιν ἡμῖν ἀποσπάσμασι τῆς Σαπφοῦς εὑρηται ἡ συνήθης τῆς ὄψεως ὀνομασία *ὄμματα*.

Σόλων δὲ (594) οὐδὲν τῇ τῶν ὀφθαλμῶν ἀνατομῇ προσέθηκε μόνῳ τῷ ὅρῳ *ὀφθαλμοῖς* χρώμενος 34, ὥσπερ καὶ *Ἱππῶναξ* (546) «*κόψω Βουπάλου τὸν ὀφθαλμόν*» 83. Ἴβυκος δ' ὁ μελοποιὸς (550) τοῖς κοινοῖς μόνοις ὅροις *βλεφάροις* καὶ *ὄμμασι* χρῆται Ἀπ. 2· *ἀγαυοβλέφαρον* δὲ τὴν Πειθὼ λέγει ἤτοι χαρίεσσαν καὶ θελκτικὴν τοὺς ὀφθαλμοὺς Ἀπ. 5· ὥστε βλέφαρον ἀντ' ὀφθαλμοῦ κεῖται ἐν τῇ συνθέσει ταύτῃ, ὡς εἰ ἔλεγεν *ἀγανόμματον*. Καὶ παρὰ τοῖς ἄλλοις δὲ λυρικοῖς ποιηταῖς οἱ αὐτοὶ ὀφθαλμικοὶ ὅροι ἀναγινώσκονται· οἷον παρὰ *Θεόγνιδι* (500) ὀφθαλμοὶ 85 καὶ *βλέφαρα* 207· παρὰ δὲ Κριτίᾳ ὄμματα Ἀπ. 2,11.

Καὶ παρ' *Ἀνακρέοντι* (560) οἱ συνήθεις εὑρηνται ὅροι *ὄμματα*, *ὀφρύες*, ἐν συνθέσει δὲ *κυανώπιδες*, ἐν δὲ τοῖς Ἀνακρεοντείοις 15 καὶ *μέτωπον* καὶ *μεσόφρυον* καὶ βλέμμα ἀναγινώσκονται· τὸ *σύνοφρυ* δὲ λέγεται τὸ τὰς ὀφρύας ἐν τῷ μεσοφρύῳ συνέχεσθαι. *Κλειτοφρύδης* δὲ καὶ *κλειτοφρύδα* πάνυ εὐφυῶς ὑπὸ τοῦ λαοῦ λέγεται ὁ συνηνωμένας ἐν μέσῳ ἔχων τὰς ὀφρῦς, ὁ *σύνοφρυς*. Ἡ δὲ τῶν βλεφάρων στεφάνη ἢ οἱ ταρσοὶ ἢ ἄμφω τὰ βλεφαρικὰ χείλη, ἐν οἷς αἱ βλεφαρίδες φύονται, ἡ *βλεφάρων ἴτυς* λέγεται. Οἱ στίχοι δ' οὗτοι, ἐν οἷς ὁ ποιητὴς τοῦ Εἰς κόρην ἄσματος ἄδει πῶς ζωγράφων ἀρίστῳ ἐκ κηροῦ τὴν αὐτοῦ ἑταίραν γράφειν πρέπει, ὧδέ μοι διορθωτέοι δοκοῦσι 15.

τὸ *μεσόφρυον* δὲ μή μοι
διάκοπτε, μήτε μίσγε·
ἐχέτω δ' ὅπως ἐκείνη
τὸ λελιθότως σύνοφρυ(ν,)
βλεφάρων [δ'] ἴτυν κελαινήν.

ἤτοι ἀφαιρετέον μὲν τὸ *r* ἐκ τοῦ *σύροφρυr*, προσθετέον δὲ τὸ *δ'* μετὰ τὸ *βλεφάρωr*· οὕτω γὰρ ἥ τ' ἔννοια εὐοδοῦται καὶ ἡ σύνταξις, καὶ τὸ μέτρον οὐδὲν κωλύει.

Καὶ *Πίνδαρος* δὲ (520-450) τὸ τῆς ὄψεως αἰσθητήριον ἀεὶ *ὀφθαλμὸν* καὶ *ὄμμα* λέγει. Τὰ δὲ βλέφαρα ἀείποτε Δωρικῷ τύπῳ *γλέφαρα* λέγει ὡς ἐν Ὀλυμπιονίκαις Γ 12, οὐχὶ δὲ καὶ ἐν συνθέσεσιν, ὡς ἐν Πυθιονίκαις Δ 304 τὴν Ἀλκμήνην *ἑλικοβλέφαρον* λέγει καὶ ἀλλαχοῦ τὴν Ἀφροδίτην· πρὸς δὲ εὑρηνται παρὰ Πινδάρῳ οἱ ὀφθαλμικοὶ ὅροι οἱ καὶ παρ' Ὁμήρῳ, *ὀφρὺς* Πυθίοις Θ 38, *ὄσσε* ἄπαξ, εἰ ὀρθῶς ἔχει τὸ παρ' Ἀθηναίῳ ἀπόσπασμα 60e

τὰς δὲ Θιοξένου ἀκτῖνας προσώπου μαρμαριζούσας δρακεῖς,

ὄσσων ἀντὶ *προσώπου* τιθεμένου, ὃ ὀρθότερον δοκεῖ· ἐκ γὰρ ὀμμάτων μόνον ἐκπέμπονται ἀκτῖνες οὐκ ἐκ τοῦ προσώπου.

4. **Τραγῳδοὶ καὶ κωμῳδοί.** Παρὰ μὲν *Αἰσχύλῳ* ὀφθαλμικοὶ ὅροι (525) ἀναγινώσκονται *ὀφθαλμὸς* καὶ *ὄμμα* πολλάκις, *ὄσσε-ὄσσων ὄσσοις*, *ὀφρὺς* ἐπὶ τῇ ἐννοίᾳ ὀφθαλμοῦ Χοηφόροις 285, *δέργμα*, οὗ πρῶτος δοκεῖ Αἰσχύλος χρῆσιν ποιήσασθαι καὶ ὃ βλέμμα, ὄψιν ἢ πιθανότερον ὀφθαλμὸν σημαίνει Πέρσαις 82, πρὸς δὲ βλέφαρον. Παρὰ δὲ *Σοφοκλεῖ* (495) κεῖνται *ὀφθαλμὸς* καὶ *ὄμμα* πολλάκις, *ὄσσοις* καὶ *ὄσσοισι*, *ὄψεις*, ᾧ ἐπὶ τῇ ἐννοίᾳ ὀφθαλμοῦ πρῶτος Σοφοκλῆς χρῆται Ἀντιγόνῃ 52 καὶ Οἰδίποδι τυράννῳ 1328, *γλῆναι*, ὃ τὸν ὀφθαλμικὸν βολβὸν σημαίνει Οἰδίποδι τυράννῳ 1277 «*Φοίνιαι δ' ὁμοῦ γλῆναι γένει' ἔτεγγον*»· πρὸς δὲ τὰ προστατικὰ τοῦ ὀφθαλμοῦ μόρια *ὀφρὺς* καὶ *βλέφαρον*, ὃ καὶ ἀντ' ὀφθαλμοῦ εὑρηται Αἴαντι 85· «*ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα*». Παρ' *Εὐριπίδῃ* (480) εὑρηνται *ὀφθαλμὸς* καὶ *ὄμμα* συνήθως, *ὄσσε-ὄσσων-ὄσσοις* ἢ *ὄσσοισι* ἧττον συχνῶς, *δέργματα* Φοινίσσαις 870 «*αἱ θ' αἱματωποὶ δεργμάτων διαφθοραί*»· *ὄψις*, ἡ ὀφθαλμὸν σημαίνει Φοινίσσαις 764 καὶ Κύκλωπι 463, ἀλλαχοῦ δὲ σαφῶς φαίνεται τὸ διαφανὲς μέρος τοῦ βολβοῦ, τὸ μέλαν, τὸν κερατοειδῆ σημαίνουσα 459. 486 «*λαμπρὰν ὄψιν διακναίσει*»· πρὸς δὲ καὶ *αὐγαὶ* ἀντ' ὀφθαλμῶν κεῖνται Ῥήσῳ 737, «*ἀμβλῶπες αὐγαί*», καὶ *βλέφαρον* Κύκλωπι 617. 673, «*Οὔτίς με τυφλοῖ βλέφαρον*», καὶ *ὀφρὺς* 657, «*ἐκκαίετε τὰν ὀφρύν*», καὶ φῶς καὶ *κόραι*· περὶ ὧν ἱκανὰ εἴρηταί μοι 30-32. Καὶ κυριολεκτικῶς δ' ἀναγινώσκεται τὰ προστατικὰ τοῦ ὀφθαλμοῦ μόρια *μέτωπον*, *ὀφρύς*, *βλέφαρον*· κόραι δὲ πολ-

λάκις τὸ τῆς ἴριδος κεντρικὸν τρῆμα σημαίνει Ὀρέστῃ 469 «*γέροντος ὀμμάτων φεύγων κόρας*» Ὑπώπιον δ' ἅπαξ εὕρηται ἐν Εὐρυσθεῖ σατυρικῷ ἀποσπάσματι 373 τῷ παρὰ Πολυδεύκει 10, 108·

ἢ κύαθον ἢ χαλκήλατον
ἠθμὸν προσίσχων τοῖσδε τοῖς ὑπωπίοις.

Δοκεῖ δέ μοι *ὑπώπια* αὐτὰ τὰ ὑποφθάλμια κοῖλα εἶναι ἤ, ὡς εἴωθεν Εὐριπίδης ἐκ τοῦ μέρους τὸ ὅλον ὀνομάζειν, ὁ ὀφθαλμὸς ἢ τὰ ὑποφθάλμια μόρια, ἤτοι τὰ *μῆλα* ἢ αἱ *παρειαί*. Ἐπεὶ γὰρ *κύαθός* τε καὶ *ἠθμὸς* πρὸς τοῖς ἄλλοις καὶ οἴνου σκεύη ἐστίν, ἐκ δὲ τῆς οἰνοποσίας οἵ τ' ὀφθαλμοὶ καὶ τὰ μῆλα ἐρυθραίνονται, διὰ ταῦθ' ἡγοῦμαι τὸν στίχον τοῦτον τοιάνδε τινὰ διάνοιαν ἔχειν· *κύαθον ἢ ἠθμὸν πλήρη οἴνου προσίσχειν τοῖς ὀφθαλμοῖς ἢ τοῖς μήλοις τοῖς ἐξ οἰνοποσίας ἐρυθραινομένοις*· καὶ μέχρι νῦν ἔτι ἐν πολλοῖς τόποις οἱ ἐν μεγάλῃ μέθῃ διατελοῦντες εἰώθασι πρὶν ἂν πίωσι προσίσχειν τὸ ποτήριον τοῖς μήλοις καὶ τοῖς ὑπωπίοις· ἢ ἄλλως εἰπεῖν, *πιεῖν ἐκ τοῦ κυάθου ἢ ἠθμοῦ οἶνον, ὃς τά τ' ὄμματα καὶ τὰς παρειὰς ἐρυθραίνει*. Αὕτη δοκῶ μοι ἡ τοῦ ποιητοῦ ἰδέα· *ὑπώπιον* ἄρα ἐκ τοῦ μέρους τὸ ὅλον ἤτοι ὀφθαλμὸν σημαίνει, ὥςπερ καὶ βλέφαρον καὶ ὀφρῦς καὶ κόρη, ἢ τὰ ὑποφθάλμια μόρια ἢ ἄμφω ἅμα. Πρῶτος δ' Εὐριπίδης δοκεῖ καὶ *ὄμματος ἕδραν* εἰπεῖν τὴν τῶν ὀφθαλμῶν χώραν ἤτοι τὸν κόγχον Ῥήσῳ 554. Παρ' *Ἀριστοφάνει* δὲ (450), ὃς δέκα ἔτεσιν Ἱπποκράτους ὕστερον ἐγένετο καὶ δὴ πιθανῶς καὶ ἀπὸ τούτου ἀνατομικοὺς ὅρους παρειληφὼς τυγχάνει, ἀναγινώσκονται οἱ ὀφθαλμικοὶ ὅροι οἵδε· *ὀφθαλμὸς* καὶ *ὄμμα*, *κόρη*, ὃ τὴν τῆς ἴριδος ὀπὴν σημαίνει Πλούτῳ 635 καὶ ὀφθαλμὸν Θεσμοφοριαζούσαις 902 «*στρέψον ἀνταυγεῖς κόρας*», Εὐριπίδου τοῦτο λέγοντος· πρὸς δὲ *βλέφαρον*, καὶ πρῶτον παρ' αὐτῷ *βλεφαρὶς* Ἱππεῦσι 372 «*τὰς βλεφαρίδας σου παρατιλῶ*» καὶ Ἐκκλησιαζούσαις 402 «*ὃς αὐτὸς αὑτῷ βλεφαρίδ' οὐκ ἐσώσατο*»· ἔτι δὲ *ὀφρύς*, *ἐπισκύνιον* Βατράχοις 823 καὶ *ὑπώπιον* Ἀχαρνεῦσι 551 καὶ Σφηξὶ 1386, ὃ τὰ ὑπὸ τὰ ὄμματα πελιδνώματα καὶ ὀγκώματα σημαίνει κοὐ τὰ ὑποφθάλμια κοῖλα.

5. **Ἱστορικοί.** Παρ' *Ἡροδότῳ* (484) μόνον *ὀφθαλμὸς* καὶ *ὀφρὺη ψάμμου* εἴρηται οὐδεὶς δ' ἄλλος ὀφθαλμικὸς ὅρος. *Θουκυδίδης* δὲ (471) τοῖς ὅροις *ὀφθαλμῷ* καὶ *ὄμματι* μόνοις χρῆται, οὐδὲν δ' ἄλλ' ὀφθαλμικὸν μόριον παρ' αὐτῷ ἀναγινώσκεται. *Ξενοφῶν* δὲ (445-355)

δέκα καὶ πέντε ἔτη ὕστερον Ἱπποκράτους γενόμενος πιθανῶς καὶ ἐκ τῶν Ἱπποκράτους διδαγμάτων ἔλαβέ τι. Εὕρηνται δὲ παρ' αὐτῷ οὐκ ὀλίγα περὶ ὀφθαλμῶν ἀνατομῆς, κυρίως δὲ φυσιολογικά· καὶ *ὀφθαλμὸς* μὲν καὶ *ὄμμα* εἴρηται τὸ τῆς ὄψεως αἰσθητήριον πρὸς δὲ *ὄψις* Ἀπ. 1,4,6· ἀναγινώσκεται δὲ καὶ τὰ προστατικὰ μόρια *ὀφρύς*, *βλέφαρον*, *βλεφαρίδες*.

6. **Φιλόσοφοι** Οὔτε παρ' Ὁμήρῳ οὔτε παρὰ τοῖς μετέπειτα ποιηταῖς, Ἡσιόδῳ τε καὶ ἐπικῷ κύκλῳ καὶ λυρικοῖς καὶ τραγῳδοῖς καὶ κωμῳδοῖς, οὔτε παρὰ τοῖς ἱστορικοῖς μνημονεύεταί τι τῶν ἔσω μορίων τῶν ὀφθαλμῶν, πλὴν εἴ τις τὸ παρ' Ὁμήρῳ *γλήνη* κόρην ἑρμηνεύσειεν, ὃ τὸ κογχικὸν λίπος καὶ τὸν βολβὸν σημαίνει, ὡς εἴρηταί μοι 31, καὶ εἴ τις τὸ «*θνητοῖς γὰρ θνηταὶ κόραι εἰσὶν ἐν ὄσσοις*» τοῦ παλαιοῦ Ὀρφέως εἶναι οἴοιτο· ἀλλὰ μὴν καὶ τούτων οὕτως ἐχόντων, εἰ ἡ κεντρικὴ τῆς ἴριδος ὀπὴ Ὀρφεῖ μὲν *κόρη* ὠνόμασται, Ὁμήρῳ δὲ *γλήνη*, οὐκ ἂν εἴη εἰκάσαι, ὡς καὶ ἐπ' Ὀρφέως καὶ ἐφ' Ὁμήρου τῶν ἔσω ὀφθαλμικῶν μορίων ἀνατομαὶ γίγνοιντο· ὁρατὸν γὰρ καὶ ἄνευ ἀνατομῆς τό τ' ἐν τῇ κόρῃ εἴδωλον καὶ αὐτὸ τῆς ἴριδος τὸ τρῆμα. Πρῶτοι δ' οἱ φιλόσοφοι δοκοῦσιν ὀφθαλμοὺς καθ' ἅπερ καὶ ὦτα ἀνατεμεῖν, ἵνα τὰ ἔσω αὐτῶν μόρια σπουδάσωσι, τά τ' *ὀπτικὰ νεῦρα* καὶ τοὺς *ὑμένας* καὶ τὰ *διαφανῆ* τῶν ὀφθαλμῶν ὄργανα. Ἄγε δὴ νῦν ἴδωμεν τίνες τῶν φιλοσόφων καὶ τί ἕκαστος τῇ τῶν ὀφθαλμῶν ἀνατομῇ συνενηνόχασι.

Ἀλκμέων. Οἱ μὲν Πυθαγόρειοι Μέτωπος καὶ Φίντυς *ὀπτίλους* ἐκάλουν τὰ ὄμματα δωρικῶς, ὡς εἴρηταί μοι 23. Ἀλκμέων δὲ πρὸς ἔρευναν τῆς τῶν αἰσθήσεων φύσεως καὶ περὶ τὰς ἀνατομὰς αὐτῶν διέτριβεν, ὃ φανερὸν ἐξ ὧν Θεοφράστῳ εἴρηται ἐν τῷ Περὶ αἰσθησεως καὶ αἰσθητῶν 25· ἁπάσας γὰρ τὰς αἰσθήσεις *πόροις* συνηρτῆσθαι πρὸς τὸν ἐγκέφαλον εἴρηκε, καὶ *κενὸν* ἢ *κοῖλον* ἐν τοῖς ὠσὶν ἐνυπάρχειν, καὶ τὸ *στίλβον* καὶ τὸ *διαφανὲς* καὶ τὸ *ὕδωρ* ἐν τοῖς ὀφθαλμοῖς εἶναι, οὔτε δὲ τοὺς αἰσθητικοὺς πόρους οὔτε τὸ ἐν τοῖς ὠσὶ κοῖλον οὔτε τὸ ἐν τοῖς ὀφθαλμοῖς στίλβον καὶ τὸ διαφανὲς καὶ τὸ ὕδωρ εἰδὼς ἂν εἴη Ἀλκμέων, εἰ μὴ ἀνατομὰς τῶν αἰσθητηρίων ἐποίει. Πρῶτος δέ φησι Χαλκίδιος εἰς Τίμαιον 246, ὀφθαλμῶν ἀνατομὴν ποιήσασθαι ἐπεχείρησε, πολλὰ δὲ καὶ ἐξαίρετα Ἀλκμέωνί τε καὶ ἄλλοις εὑρημένα ἐστὶν ἐν τῇ τῶν ὀφθαλμῶν ἀνατομῇ. Διογένης δὲ

Λαέρτιός φησι φυσικὸν λόγον πρῶτον Ἀλκμέωνα συγγεγραφέναι καὶ τὰ πλεῖστά γ' ἰατρικὰ λέγειν Η, ε, ὥστ' εἰκότως ἄν τις εἰκάσειε καὶ περὶ τὰς ἀνατομὰς αὐτὸν ἔμπειρον γεγονέναι. Ἀλκμέων ἀνατομικῆς θεωρίας χάριν ζῷα ἀνατεμεῖν ὑποδείκνυταί πως καὶ Πλουτάρχῳ ἐν τοῖς Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις Δ, ις-ιη.

Ἐμπεδοκλῆς. Οὗτος τοῖς ὅροις *ὀφθαλμοῖς* καὶ ὄμμασι χρῆται· τὴν δὲ τῶν ὀφθαλμῶν ἀνατομὴν φαίνεται προαγαγών· πρῶτος γὰρ δοκεῖ τοὺς τοῦ ὀφθαλμοῦ χιτῶνας εἰδέναι, ὃ φανερὸν ἐκ τοῦ παρ' Ἀριστοτέλει χωρίου αὐτοῦ ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 6'. 3,478,21·

ὡς δὲ τότ' ἐν μήνιγξιν ἐεργμένον ὠγύγιον πῦρ
λεπτῇς εἰν ὀθόνῃσι λοχάζετο κύκλοπα κούρην.

Μήνιγγας δ' αὐτοὺς ὀνομάζει, ἐξ οὗ δοκεῖ μοι καὶ Ἱπποκράτη τὸν ὅρον παραλαβεῖν. *Λεπτὰς δ' ὀθόνας*, ἔμοιγε δοκεῖ, τὴν ἶριδα λέγειν ἢ μόνην αὐτὴν ἢ καὶ τὸν χοριοειδῆ καὶ ἀμφιβληστροειδῆ· ἀδύνατον γὰρ καὶ τὸν σκληρὸν λεπτὴν ὀθόνην εἰπεῖν. Ὡς δ' Ἀλέξανδρος ὁ Ἀφροδισιεύς φησιν Εἰς τὸ Ἀριστοτέλους περὶ αἰσθήσεως καὶ αἰσθητῶν 97, α, πρὸς τὸ ὄνομα τῆς κόρης ποιητικῶς ταῖς ὀθόναις ἀντὶ τῶν ὑμένων ἐχρήσατο. Οἶδε δὲ καὶ τὸ κυκλοτερὲς τῆς κόρης *κύκλοπα κούρην* λέγων· ἴσως δὲ καὶ πρῶτος *κόρην* τὸ ἐν μέσῃ ἶριδι τρῆμα εἰρηκὼς εἴη· ἔτεσι γὰρ πεντεκαίδεκα Ἐμπεδοκλῆς (495) πρεσβύτερος ἐγένετο Εὐριπίδου (480), ὃς συχνῶς *κόρας* καὶ ἀντὶ ὀφθαλμῶν λέγει, ὡς ἐν Ἴωνι 876· «*κόραι στάζουσι δακρύοις*». Ἐμπεδοκλῆς δὲ διδάσκει πυρὸς μὲν ἔσωθεν τοὺς ὀφθαλμοὺς γεγονέναι, ὕδατος δ' ἔξωθεν καὶ γῆς 226, ὡς καὶ Θεόφραστος λέγει ἐν τῷ Περὶ αἰσθήσεως 7.

Δημόκριτος. Καὶ Δημόκριτος περὶ τὰς ἀνατομὰς ζῴων ἐπιστημόνως διέτριβε· καὶ ὀφθαλμοὺς δὲ καὶ ὦτα δοκεῖ ἀνατεμεῖν· τό τε γὰρ ἐν τοῖς ὠσὶ κενὸν γιγνώσκει καὶ τὸ τύμπανον, ὃ *ἔξω χιτῶνα* ὀνομάζει, καὶ τὸν ἀκουστικὸν πόρον. Καὶ τοῦ ὀφθαλμοῦ δ' *ἔξω χιτῶνα* ὀνομάζει τὸν κερατοειδῆ, ἔμοιγε δοκεῖ, τῶν δ' ἐντὸς τοῦ ὀφθαλμοῦ μορίων τὰ μὲν ἐκ *σαρκὸς πυκνῆς καὶ ἰσχυρᾶς* σπογγοειδῆ δὲ ὁ χοριοειδὴς καὶ ἡ ἶρις καὶ ὁ ἀμφιβληστροειδὴς ἂν εἴη, τὰ δ' ἐξ *ἰκμάδος παχείας καὶ λιπαρᾶς* μόρια τὸ ὑδατοειδὲς τὸ φακοειδὲς καὶ τὸ ὑαλοειδὲς ἂν εἴη, καθ' ἃ Θεοφράστῳ εἴρηται ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 50.

Ἀναξαγόρας. Ἀνατομὰς ὅτι Ἀναξαγόρας ἐποιεῖτο οὐ μόνον ζῴων ἀλλὰ καὶ ἀνθρωπίνων πτωμάτων παθολογικῆς χάριν θεωρίας δέδεικταί μοι ἐν τοῖς ἔμπροσθεν 7· φανερῶς γὰρ λέγει τοῦτο Ἀριστοτέλης ἐν τῷ *περὶ Ζῴων μορίων* Δ, 6. Καὶ κριὸν δὲ μονοκέρατον διὰ τὸ παρὰ φύσιν καὶ σπάνιον ἀνέτεμεν, ἵνα τὴν ἀνατομικὴν ἀνεύρῃ αἰτίαν, ἐξ ἧς τὸ παρὰ φύσιν μονοκέρατον, ὡς φησι Πλούταρχος ἐν Περικλεῖ 6. Εὗρε δ' ἐν τῇ ἀνατομῇ τοῦ κρανίου ὅτι ὁ ἐγκέφαλος οὐ προσηκόντως τὴν τοῦ κρανίου βάσιν καὶ κοιλότητα ἐπλήρου, ἀλλ' ἐξ οὗ τόπου τὸ κέρας ἐφύετο ὀξὺς ὡς ᾠὸν ἐκρέματο ἠτροφηκώς· ἐκ τοῦ φυσικοῦ δὲ τούτου λόγου, ἐκ τῆς τοῦ ἐγκεφάλου ἀτροφίας τὸ τερατικὸν ἐξηγήσατο, ἐπιδείξας τὸν ἐγκέφαλον τῷ τε Περικλεῖ καὶ τοῖς συμπαροῦσι καὶ θαυμασθεὶς ὑπ' αὐτῶν. Ἐκ δὲ τῶν ὀφθαλμικῶν μορίων Ἀναξαγόρας δοκεῖ τὴν *κόρην* εἰδέναι καὶ τὰ ποικίλα τῆς ἴριδος χρώματα καὶ τὰ ποικίλα τῶν ὀφθαλμῶν μεγέθη, καθ' ἃ εἴρηται Θεοφράστῳ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 29-35. Τὰς αὐτὰς δὲ περίπου ἀνατομικὰς γνώσεις τῶν ὀφθαλμῶν ἔχει καὶ Διογένης ὁ Ἀπολλωνιάτης, ἐξ ὧν Θεόφραστος λέγει ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 40. Καὶ περὶ τὴν τῶν αἱμορρύτων ἀγγείων ἀνατομὴν οὐ σμικρὰς ἐποιήσατο σπουδάς· αἱ γὰρ φλεβῶν ὀνομασίαι, ἡ σπληνῖτις, ἡ ἡπατῖτις, αἱ σπερματίτιδες, ὡς φαίνεται, ὑπ' αὐτοῦ πρώτου τέθεινται, καθ' ἃ Ἀριστοτέλης λέγει ἐν ταῖς Περὶ τὰ ζῶα ἱστορίαις Γ, 6.

Ἐν κεφαλαίῳ ἀρ' οὖν εἰπεῖν, ἡ τῶν ὀφθαλμῶν ὡς καὶ ἡ τῶν ὤτων ἀνατομὴ ἔσχεν ἐπίδοσίν τινα ἐν τῷ μεταξὺ Ὁμήρου καὶ Ἱπποκράτους χρόνῳ καὶ ἰδίᾳ παρὰ τοῖς φιλοσόφοις. Καὶ αἱ μὲν ὀνομασίαι *ὀφθαλμοὶ* καὶ *ὄμματα* ἐν κοινῇ εἰσι χρήσει παρά τε Ὁμήρῳ καὶ τοῖς μετέπειτα ποιηταῖς τε καὶ πεζοῖς, εἰ καὶ ἐν διαφόροις συνέγραψαν διαλέκτοις, πλὴν Ἡροδότου, ὃς ὀφθαλμοῖς μόνον χρῆται οὐδαμοῦ δ' ὄμμασι, καὶ ὧν τινων ὀλίγα πάνυ λείψανα σώζεται. Τὸ δ' *ὄσσε* τοῖς ποιηταῖς κυρίως ἰδιάζει, ἀκλίτου δὲ παρ' Ὁμήρῳ παρὰ τοῖς μετέπειτα ἀναγινώσκεται καὶ τὰ πάθη *ὄσσων* ἢ *ὀσσέων*, *ὄσσοις* ἢ *ὄσσοισι*, ὡς ἄνω εἴρηταί μοι 21. *Ὤψ* δὲ ἢ τὸ *ὦπον*, ὃ παρ' Ὁμήρῳ ὀφθαλμὸν ἢ πρόσοψιν σημαίνει, παρ' Ἡσιόδῳ ἁπλοῦν μὲν πρόσωπον, ἐν συνθέσεσι δ' ὀφθαλμὸν σημαίνει παρά τε Ἡσιόδῳ καὶ παρά τισι τῶν μετέπειτα· παρά τισι δὲ τῶν μεθ' Ἱπποκράτην ὤψ καὶ ἁπλοῦν ἀντ' ὀφθαλμοῦ κεῖται σ. 27. *Ὀπωπὴ* δέ, ἢ παρ' Ὁμήρῳ ὀφθαλμόν

τε καὶ ὄψιν σημαίνει, καὶ παρὰ τοῖς πολλῷ Ἱπποκράτους μεταγενεστέροις Ἀπολλωνίῳ, Μουσαίῳ καὶ ἄλλοις ἀναγινώσκεται σ. 24. *Γλήνη* δέ, ἡ παρ' Ὁμήρῳ τὸ λευκὸν τοῦ ὄμματος καὶ δὴ καὶ τὸν βολβὸν ἢ ὀφθαλμὸν σημαίνει, ἀναγινώσκεται αὖθις ἐπὶ ταύτῃ τῇ δυνάμει παρά τε Σοφοκλεῖ καὶ παρ' Εὐριπίδῃ σ. 31. 152. *Φάεα* δὲ παρ' Ὁμήρῳ ὀφθαλμὸν σημαῖνον ἀναγινώσκεται αὖθις ἐπὶ ταύτῃ τῇ διανοίᾳ παρ' Εὐριπίδῃ καὶ Ἀριστοφάνει οὐ μὴν ἀλλὰ καὶ παρὰ τοῖς μεθ' Ἱπποκράτην Ἀπολλωνίῳ, Μόσχῳ καὶ ἄλλοις καὶ νῦν δ' ἔτι καθωμίληται σ. 30. 154. Καὶ τὰ προστατικὰ δὲ τῶν ὀφθαλμῶν μόρια τὰ παρ' Ὁμήρῳ, *μέτωπον*, *ὀφρύες*, *βλέφαρα*, *ἐπισκύνιον*, *ὑπώπια*, τὰ μὲν τρία πρῶτα παρ' ἅπασί που τοῖς μετέπειτα φέρονται, *ἐπισκύνιον* δ' αὖθις παρ' Ἀριστοφάνει ἀναγινώσκεται, ὑπώπιον δὲ παρ' Εὐριπίδῃ καὶ Ἀριστοφάνει σ. 153. Ῥοπὴν δέ τινα οἱ μεθ' Ὅμηρον ποιηταὶ ἔσχον μορίῳ τινὶ ὀφθαλμικῷ ἀντὶ τοῦ ὅλου ὀφθαλμοῦ χρῆσθαι, ὃ καὶ Ὅμηρος ἐν ἄλλοις ποιεῖ. Καὶ *βλέφαρον* μὲν ἀντ' ὀφθαλμοῦ κεῖται κατὰ πρῶτον παρ' Ἡσιόδῳ εἶτα δὲ παρὰ Σιμωνίδῃ σ. 150 καὶ παρὰ Σοφοκλεῖ καὶ Εὐριπίδῃ σ. 33. 153 καὶ ἐν συνθέσει παρ' Ἰβύκῳ σ. 150. *Ὀφρὺς* δέ, ἡ *ὀφρύη* Ἡροδότῳ εἴρηται, ἀντ' ὀφθαλμοῦ εὕρηται πρῶτον μὲν παρ' Αἰσχύλῳ, εἶτα δὲ παρ' Εὐριπίδῃ, ὃς κατάχρησιν ποιεῖται τοῦ μέρους ἀντὶ τοῦ ὅλου σ. 33. 153. Ὅροι δ' ὀφθαλμικοὶ μὴ ἀναγινωσκόμενοι παρ' Ὁμήρῳ ἀλλὰ παρὰ τοῖς μετέπειτα κείμενοί εἰσιν οἵδε· *ὄπατα* παρὰ Σαπφοῖ σ. 22, *αὐγαὶ* ἐπὶ τῇ ἐννοίᾳ ὀφθαλμοῦ παρὰ Πινδάρῳ πρῶτον σ. 151 εἶτα δὲ καὶ παρ' Εὐριπίδῃ καὶ ἄλλοις σ. 30, *δέργμα* ἀντ' ὀφθαλμοῦ παρ' Αἰσχύλῳ πρῶτον εἶτα δὲ καὶ παρ' Εὐριπίδῃ σ. 153. 33, *ὄψεις* ἐπὶ τῷ νῷ ὀφθαλμοῦ πρῶτον παρὰ Σοφοκλεῖ εἶτα δὲ παρ' Εὐριπίδῃ, οὐ μὴν ἀλλὰ καὶ παρ' Ἱπποκράτει καὶ Ξενοφῶντι καὶ παρ' ἄλλοις σ. 27. 153, *κόραι* ἀντ' ὀφθαλμῶν καὶ ἐπὶ τῇ κυρίᾳ ἐννοίᾳ τῆς κόρης τῶν ὀμμάτων κεῖται παρ' Εὐριπίδῃ σ. 32 καὶ Ἀριστοφάνει σ. 154, πρῶτον δὲ κόρη ὀφθαλμικόν τι μόριον σημαίνουσα παρὰ τῷ ἀρχαίῳ Ὀρφεῖ ἀναγινώσκεται, εἶτα δὲ παρὰ τοῖς φιλοσόφοις σ. 154· πρὸς δὲ *ὀπτίλους* δωρικῶς καλοῦσι τὰ ὄμματα Μέτωπος καὶ Φίντυς ἡ Πυθαγορεία σ. 23. *Μεσόφρυον* δὲ καὶ *σύνοφρυς* καὶ ἡ *βλεφάρων ἴτυς* ἤτοι οἱ ταρσοὶ ἢ ἡ τῶν βλεφάρων στεφάνη ἀναγινώσκονται ἐν τοῖς Ἀνακρεοντείοις 15. *Γλέφαρα* δὲ ἀντὶ βλεφάρων κεῖται παρὰ Πινδάρῳ Ολ. Γ 12. *Βλεφαρίδες* δὲ παρ'

Ἀριστοφάνει καὶ Ξενοφῶντι πρῶτον ἀναγινώσκονται σ. 154. Τὸν δ' ὀφθαλμικὸν κόγχον, ὃν Ὅμηρος «*ὀφθαλμοῖο θέμεθλα*» λέγει Ξ 493, Εὐριπίδης *ὄμματος ἕδραν* ὀνομάζει Ῥήσῳ 554. Τὰ δ' ὀπτικὰ νεῦρα, ἃ Ὁμήρῳ *ῥίζαι ὀφθαλμῶν* ὠνόμασται σ. 111, πρῶτος Ἀλκμέων *πόρους* εἴρηκεν εἶτα δὲ καὶ ἄλλοι φιλόσοφοι καὶ ἰατροὶ σ. 154. Ἀπὸ Ἀλκμέωνος ἄρα ἱστορικῶς ἄρχεται ἡ κυρίως τῶν ὀφθαλμῶν ἀνατομὴ ὡς καὶ τῶν ὤτων καὶ τῶν ἄλλων αἰσθητηρίων. Ἀλκμέων φυσικῆς θεωρίας χάριν τὰ ἔσω τῶν ὀφθαλμῶν μόρια ἀνατομῇ ἠρεύνησεν, εὗρε δὲ τὰ ὀπτικὰ νεῦρα ἤτοι *πόρους* καὶ τὸ ὑαλοειδὲς φακοειδὲς καὶ ὑδατοειδὲς ἤτοι τὸ *στιλβον* καὶ τὸ *διαφανὲς* καὶ τὸ *ὕδωρ*. Καὶ Ἐμπεδοκλῆς δὲ περὶ τὴν τῶν ἔσω μορίων ἀνατομὴν τῶν ὀφθαλμῶν οὐκ ἄπειρος δοκεῖ γεγονέναι· τοὺς γὰρ τοῦ ὀφθαλμοῦ ὑμένας *μήνιγγας* ὀνομάζει, ᾧ ὅρῳ καὶ Ἱπποκράτης χρῆται, *λεπτὰς δ' ὀθόνας* τὴν ἶριδα ἢ καὶ τὸν χοριοειδῆ καὶ ἀμφιβληστροειδῆ, τῆς δὲ κόρης καὶ τὸ κυκλικὸν σχῆμα ὁρίζει «*κύκλοπα κούρην*» λέγων. Δημόκριτος δὲ τὸν κερατοειδῆ *ἔξω χιτῶνα* ὀνομάζει, τὸν δὲ χοριοειδῆ καὶ τὴν ἶριδα καὶ τὸν ἀμφιβληστροειδῆ ἐκ *σαρκὸς πυκνῆς καὶ ἰσχυρᾶς* συνίστασθαι, *σπογγοειδεῖς* δὲ γεγονέναι οἴεται, τὸ δ' ὑδατοειδές, φακοειδὲς καὶ ὑαλοειδὲς ἐξ *ἰκμάδος παχείας καὶ λιπαρᾶς* εἶναι. Καὶ Ἀναξαγόρας δὲ ζῷά τε καὶ ἀνθρώπους ἀνατέμνων, ὡς εἴρηταί μοι 156, πιθανῶς καὶ περὶ τὴν τῶν ὀφθαλμῶν ἀνατομὴν τὰς διατριβὰς ἐποιεῖτο. Ὅτι δ' ἡ τῶν ὀφθαλμῶν ὡς καὶ ἡ ἐν γένει ἀνατομὴ οὐ μόνον παρὰ πᾶσι τοῖς μεταξὺ Ὁμήρου καὶ Ἱπποκράτους ποιηταῖς τε καὶ πεζοῖς ἀλλὰ καὶ παρὰ τοῖς φιλοσόφοις αὐτοῖς ἐπίδοσιν οὐ πολλὴν ἔσχε, τοῦτο φωτὸς φανότερον, ἀλλὰ μὴν ἡ ἀρχὴ τῆς τῶν ὀφθαλμῶν ἀνατομῆς ὑπὸ τῶν φιλοσόφων, δοκεῖ μοι, ἐτέθη, *ἀρχὴ δὲ τὸ ἥμισυ τοῦ παντός*.

β'. Περὶ ὀπτικῆς καὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

1. Περὶ ὀπτικῆς.

Ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους καὶ πολλῷ ἔτι ὕστερον ἡ πρώτη ὀπτικὴ θεωρία καὶ πᾶσαι αἱ ὀπτικαὶ γνώσεις Ὁμήρου σχεδόν που κρατοῦσι πῇ μὲν ἐπὶ τὸ εὐκρινέστερον ὑποτυπούμεναι, πῇ δ' ἐπὶ τὸ τελειότερον ἀναπτυσσόμεναι ὑπὸ τῶν φιλοσόφων ἰδίᾳ, ὧν τινες καὶ

ἰδίας ὀπτικὰς θεωρίας προσέθηκαν, μὴ ἰσχυσάσας ὅμως τὴν πρώτην ὀπτικὴν θεωρίαν ἀπώσασθαι. Αἱ παρ' Ὁμήρῳ ὀπτικαὶ ἀλήθειαι, ὅτι *τὸ τῆς ὄψεως αἰσθητήριον οἱ ὀφθαλμοί εἰσι καὶ αὐτοῖς μόνοις ὁρῶμεν*, ὅτι *τὸ πρῶτον καὶ κύριον τῶν αἰσθητηρίων τὸ τῆς ὄψεώς ἐστι*, ὅτι *φῶς κυρίως καὶ χρῶμά ἐστι τὸ ὁρατὸν* καὶ ὅτι *πρῶτον μὲν γίνεται ἡ τῶν ὀφθαλμῶν ἐνέργεια, ἡ ὄψις, ἐκ ταύτης δὲ προϋπαρχούσης ἡ τῶν φρενῶν καὶ τοῦ θυμοῦ ἐνέργεια, ἡ γνῶσις καὶ νόησις, προκύπτει*, αἱ τέτταρες, λέγω, αὗται ὀπτικαὶ ἀλήθειαι μέχρις ἡμῶν ἐν πλήρει εἰσὶν ἰσχύει, εὐκρινέστερον δὲ καὶ ἀκριβέστερον ὑπὸ τῶν μεθ' Ὁμηρον διετυπώθησαν, κτῆμα δ' ἐς ἀεὶ τῇ ὀφθαλμικῇ ἐπιστήμῃ γεγόνασι. Καὶ ἡ πρώτη δ' ὀπτικὴ θεωρία, ἡ ἔμφυτος ὡς εἰπεῖν, ἣν Ὅμηρος ἐν τοῖς ἑαυτοῦ ἔπεσιν ὑπολαμβάνειν δοκεῖ, ἤτοι *πυρὸς μὲν τοὺς ὀφθαλμοὺς εἶναι, γίγνεσθαι δὲ τὸ ὁρᾶν πυρὸς ἢ φωτὸς ἐκ τῶν ὀμμάτων ἐξιόντος καὶ ἐπὶ τὸ ὁρώμενον πηγνυμένου, τῷ ὁμοίῳ δὲ τὴν ὄψιν γίγνεσθαι*, καὶ ἡ ὀπτικὴ αὕτη, λέγω, θεωρία ὑπό τινων φιλοσόφων ἐπὶ τὸ τελειότερον ἀναπτυχθεῖσα καὶ Ἱπποκράτους πολλῷ ὕστερον ἡ ἐπικρατεστέρα ἦν σ. 113-117. Καὶ αἱ ἄλλαι δὲ φυσιολογικαὶ καὶ φυσιογνωμονικαὶ Ὁμήρου γνώσεις αἱ περὶ τῶν ὀφθαλμῶν τὸ μὲν εὐκρινέστερον τὸ δὲ ταῖς αὐταῖς εἰκόσι τὸ δὲ διαφόροις ἐκφράσεσιν ὑπὸ τῶν μετέπειτα παρίστανται· οἷον *αἱ τῶν ὀφθαλμῶν ποικίλαι κινήσεις καὶ τῶν βλεφάρων καὶ τῶν ὀφρύων πρὸς φυσιογνωμονικὴν παράστασιν τοῦ ὀξέως καὶ εὐκρινῶς ὁρᾶν, ἀκηδίας καὶ περιφρονήσεως καὶ ἐπιχαιρεκακίας, μερίμνης, φόβου καὶ τρόμου, αἰδοῦς καὶ σεβασμοῦ, ἀναιδείας, ἔρωτος, ὀργῆς καὶ ἀφροσύνης, πρὸς δὲ ἐκστάσεως, σκυθρωπότητος, μειδιάματος, ὕπνου, ἀϋπνίας, πέρθους, τοῦ ἀναγεύειν καὶ ἐπιγεύειν.*

α. Περὶ ὀπτικῆς παρὰ τοῖς ποιηταῖς.

Ἡ *πρώτη ὀπτικὴ θεωρία*, πυρὸς τοὺς ὀφθαλμοὺς εἶναι ἐξιόντος δ' ἐκ τῶν ὀμμάτων τοῦ πυρὸς καὶ ἐπὶ τὰ ὁρατὰ πεπηγότος τὸ ὁρᾶν γίγνεσθαι, φανερὰ καὶ ἐκ πολλῶν Ἡσιόδου στίχων· ἐκ τῶν ὀφθαλμῶν τοῦ Τυφωέως ὄφεος ἑκατὸν ἔχοντος κεφαλὰς πῦρ ἀπελάμπετο Θεογονίᾳ 826·

ἐν δέ οἱ ὄσσων
θεσπεσίῃς κεφαλῇσιν ὑπ' ὀφρύσι πῦρ ἀμάρυσσε.

Φανερώτατα δ' ἐκφράζει ὅτι πυρὸς ἡ ὄψις διὰ τοῦ ἐν Ἀσπίδι Ἡρα-

κλέους 72 «πῦρ δ' ὡς ὀφθαλμῶν ἀπελάμπετο» καὶ τὸ ὁρᾶν ἡμᾶς πυρὸς τῶν ὀμμάτων ἐξιόντος διὰ τοῦ 145

ἔμπαλιν ὅσσοισιν πυρὶ λαμπομένοισι δεδορκὼς [δράκων]·

Καὶ τοῦ κάπρου τοὺς ὀφθαλμοὺς τοῦ ἐπὶ τῆς ἀσπίδος Ἡρακλέους πυρὶ λαμπρῷ παρομοιάζει 390· «ὅσσε δέ οἱ πυρὶ λαμπετόωντι ἐίκτην». Καὶ τὴν Ἠὼ δ' Ἡσίοδος πολυδερκῆ λέγει Θεογονίᾳ 451 καὶ τὸ φῶς τῆς Ἡμέρας 755 διὰ τὰς πολλὰς ἀπ' αὐτῶν ἐκπεμπομένας φωτεινὰς ἀκτῖνας, δι' ὧν τοὺς θνητοὺς φαίνουσι. Οὐ μὴν ἀλλά, ὥσπερ καὶ παρ' Ὁμήρῳ εἴρηται, καὶ ὁ Ἥλιος ὁρᾷ τοῖς ἀπὸ τῶν ὀμμάτων αὐτοῦ ἐκπεμπομέναις ἀκτῖσιν 760·

Ἥλιος φαέθων ἐπιδέρκεται ἀκτίνεσσιν.

Καὶ ὅτι δὲ φῶς τοῖς ὀφθαλμοῖς ὁρῶμεν καὶ τοῦτο Ἡσιόδῳ εἴρηται Θεογονίᾳ 451, πρὸς δὲ ὅτι οἱ ὀφθαλμοὶ τῆς ὄψεως αἰσθητήριον τὰ δ' ὦτα τῆς ἀκοῆς 701. Τοῦτ' αὐτὸ δὲ καὶ Σαπφὼ ὑποδηλοῖ λέγουσα 2· «ὀππάτεσσι δ' οὐδὲν ὄρημ', ἐπιρρόμβεισι δ' ἄκουαι». Καὶ ὅτι δὲ μεγάλη ἡ τοῦ φωτὸς ταχύτης καὶ τοῦτο Ἡσίοδος ἀποφαίνει Ἀσπίδι 275. Καὶ ὅτι δὲ πρῶτον τὸ ὁρᾶν εἶτα δὲ τὸ νοεῖν γίγνεται καὶ τοῦτο ὧδε ἐκφράζει Ἔργοις καὶ Ἡμέραις 267·

Πάντα ἰδὼν Διὸς ὀφθαλμὸς καὶ πάντα νοήσας.

Τοῦ δὲ φωτὸς ἀγωγὸν τὸν ἀέρα οἴεται· πυροφόρον γὰρ τὸν ἀέρα λέγει Ἔργοις καὶ Ἡμέραις 549.

Ἡ πρώτη ὀπτικὴ θεωρία, πυρὸς μὲν τὴν ὄψιν εἶναι, ἐξιόντος δὲ τοῦ πυρὸς ὁρᾶν ἡμᾶς καὶ ἐν πολλαῖς Αἰσχύλου ἐκφράσεσι φανερῶς παρίσταται· οἷον ἐν Τοξότισιν Ἀπ. 134 ταῖς μὲν ἀγναῖς παρθένοις λέγει «κάτω-βλεμμάτων ᾗπερ βολή», νέας δ' ὑπάνδρου γυναικὸς φλέγων ἐστὶν ὁ ὀφθαλμός· ἐκ δὲ τῶν ὀμμάτων τοῦ ἑκατογκαρήνου Τυφῶνος «ἤστραπτε γοργωπὸν σέλας», φησὶν ἐν Προμηθεῖ 356, ὥσπερ καὶ Ἡσίοδος πεποίηκε. Ἐπεὶ δ' ἡ ὀπτικὴ δόξα ἐκράτει, πῦρ ἐκ τοῦ ὄμματος ἐξιέναι πρὸς ὄψιν, διὰ τοῦτο ἡγοῦμαι Αἰσχύλον καὶ τὸν κεραυνὸν ποιῆσαι ἐκ τῶν Διὸς ὀμμάτων βάλλεσθαι, Ἀγαμέμνονι 470· «βάλλεται γὰρ ὅσσοις διὰ θερ κεραυνός». Διὰ τὸν αὐτὸν δὲ λόγον ἡγοῦμαι καὶ τὴν σελήνην νυκτὸς ὀφθαλμὸν ὠνομάσθαι ἐν Ἑπτὰ ἐπὶ Θήβας 390· ἥ τε γὰρ σελήνη φῶς ἀκτινοβολοῦσα φαίνει τὴν νύκτα καὶ ὁ ὀφθαλμὸς φῶς ἐπὶ τὸ ὁρώμενον ἐκπέμπων ὁρᾷ· ὅτι δὲ καὶ τὸ ὁρώμενον φῶς ἐστι καὶ τοῦτο ποικιλοτρόπως εἴρηται Πέρσαις 261.

299, «*βλέπω φάος*», ὃ τὸ ζῆν παρίστησι· πρὸς δὲ ἡ Κλυταιμήστρα οὐδὲν «*φέγγος ἥδιον δρακεῖν*» λέγει ἢ τὸ τὰς πύλας τῷ ἑαυτῆς συζύγῳ ἀνοῖξαι ἀπὸ στρατείας σώου ἐπανακάμπτοντι ἐν Ἀγαμέμνονι 602. Ὡς δ' Ἡσίοδος *τηλέσκοπον* λέγει τὸ φῶς, ὡς μακρόθεν ὁρώμενον, οὕτω καὶ Αἰσχύλος *τηλέπομπον* καλεῖ ἐν Ἀγαμέμνονι 300, ὡς μακρὰν ἀκτινοβολούμενον. Ἐν ἀμφοτέροις δ' ἡγοῦμαι ἰδέαν τῆς μεγάλης τοῦ φωτὸς ταχύτητος ὑπολανθάνειν. Καὶ Πίνδαρος τὴν ὀπτικὴν ἀλήθειαν ὅτι φῶς ἐστι τὸ τοῖς ὀφθαλμοῖς ὁρώμενον σαφῶς ἡμῖν λέγει ἐν Νεμεονικῶν Γ 84. Θ 41. Ζ 3 καὶ Πυθίοις Δ 111. Δοκεῖ δὲ Πίνδαρος τὴν τῆς ἀπορροῆς ὀπτικὴν θεωρίαν παραδέχεσθαι· τὴν γὰρ Ἡλίου ἀκτῖνα, ἤτοι τὸ ἔξω φῶς, μητέρα τῶν ἑαυτοῦ ὀμμάτων λέγει Ἀπ. 107 (74)· ἤτοι φῶς ἀπὸ τῶν ὁρωμένων ἀπορρέον καὶ εἰς τὸν ὀφθαλμὸν ἀφικνούμενον τὴν ὄψιν γεννᾶν· μὴ ὑπάρχοντος δὲ τοῦ ἔξω φωτὸς ἤτοι ἐν σκότει οὐκ ἔστιν ὁρᾶν· φησὶ δὲ Ἀπ. 142·

> Θεῷ δὲ δυνατὸν ἐκ μελαίνας
> νυκτὸς ἀμίαντον ὄρσαι φάος,
> κελαινεφεῖ δὲ σκότει καλύψαι καθαρὸν
> ἁμέρας σέλας.

Ὥσθ' ἡ ὀπτικὴ Πινδάρου δόξα ἥδ', ἔμοιγε δοκεῖ· τῇ τοῦ ἔξω φωτὸς ἐπιδράσει ἐπὶ τὸν ὀφθαλμὸν γεννᾶται ἡ ὄψις· φῶς δ' ἀπολύτως ἀναγκαῖον πρὸς ὄψιν. Τὸ δ' ὁρᾶν ἡμᾶς θεοῦ βουλήσει γίγνεται· εἰ γὰρ θεὸς θέλει, ἐκ μελαίνης νυκτὸς φῶς προφαίνει, ὥστε ὁρᾶν ἡμᾶς, καὶ αὖθις τοὐναντίον τὸ καθαρὸν τῆς ἡμέρας φῶς, δι' οὗ ὁρῶμεν, σκότει κατακαλύπτει, ὥσθ' ὁρᾶν μὴ δύνασθαι. Καὶ τὴν ὑπέροχον δ' ὀξυωπίαν Λυγκέως ὑμνεῖ Νεμέοις Ι 63· μακρόθεν τε γὰρ καὶ διὰ δρυὸς καὶ δι' ἄλλων σωμάτων ἀδιαφανῶν ὁρᾶν δύναται.

Εὐριπίδης δ' αὖ ἐξιόντος τοῦ πυρὸς τὸ ὁρᾶν γίγνεσθαι οἴεται· λέγει γὰρ ὡς Ὠρίων ἢ Σείριος «*πυρὸς φλογέας ἀφίησιν ὅσσων αὐγὰς*» Ἑκάβῃ 1102 καὶ «*εἰς τίνα δὴ φίλον αὐγὰς βάλλων τέρψομαι;*» Ἀνδρομάχῃ 1180· φῶς δὲ τὸ ὁρώμενον εἶναι, «*βλέπειν φάος*» Ἰφ. Ταυρ. 675 καὶ «*ἕως φῶς ἡλίου τόδ' ἔβλεπεν*» Ἑλένῃ 60· πυρὸς δὲ τὸ ὄμμα «*πυρσ' ἔχουσα δέργματα*» Ἑκάβῃ 1247 καὶ «*φωσφόρους ὀλεῖ κόρας*» Κύκλωπι 606.

Ἀλκαῖος δὲ «*οἶνος γὰρ ἀνθρώποις δίοπτρόν*» φησιν Ἀπ. 53 κατὰ Τζέτζην Σχολίοις εἰς Λυκόφρονα 212. Ἡ δὲ τοῦ Ἀλκαίου

διάνοια, τοῦτ' ἀποφαίνοντος, οὐδὲν ἄλλ' ἂν εἴη, ἔμοιγε δοκεῖ, ἢ ὅτι *ὁ οἶνος ὄργανόν ἐστιν, οἱονεὶ διόπτρα τις, δι' ἧς διορᾶται τῶν μεθυόντων ἀνθρώπων ὁ νοῦς ἢ ἡ γνώμη*. Ὡς εἰ ἔλεγεν· ὥςπερ διὰ διόπτρου ἢ διόπτρας εὐκρινέστερον ἢ γυμνοῖς τοῖς ὄμμασιν ὁρῶμεν τὰ ὁρατά, οὕτω καὶ τοῦ οἴνῳ μεθύοντος τὴν γνώμην εὐκρινέστερον διαγιγνώσκομεν ἢ εἰ νήφων ἐστίν. *Διόπτρον* ἄρα ἤτοι ὄργανόν τι ὀπτικόν, δι' οὗ εὐκρινέστερον καὶ ὀξύτερον ἢ γυμνοῖς τοῖς ὄμμασιν ὁρᾶν οἷόν τ' ἂν ἦν, ἀπὸ τῶν χρόνων Ἀλκαίου (603) δοκῶ μοι ἐν χρήσει τυγχάνειν· οὐ γὰρ οἶνον ἂν ἔλεγεν ἀνθρώποις διόπτρον εἶναι, εἰ μὴ ἐν κοινῇ χρήσει διοπτρικόν τι ὄργανον ὑπῆρχεν. Εὖ μὲν οἶδα ὅτι καὶ ἄλλως τὴν Ἀλκαίου ταύτην γνώμην ἐξηγήσασθαι οἷόν τ' εἴη καὶ ἄνευ τοῦ παραδεχθῆναι ἡμᾶς τὴν κατὰ τοὺς χρόνους τούτους χρῆσιν τῶν διόπτρων· ἀλλὰ μὴν Αἰσχύλος (525) ἕνα σχεδὸν αἰῶνα Ἀλκαίου νεώτερος τὴν αὐτὴν γνώμην ὧδε ὑποτυποῖ κατὰ Στοβαῖον IH, 13. Ἀπ. 327·

κάτοπτρον εἶδους χαλκός ἐστ', οἶνος δὲ νοῦ.

Διαφέρει δ' ἕτερον ἑτέρου, ὅτι Αἰσχύλος μὲν οἶνον *κατόπτρῳ* παρομοιάζει, ἐν ᾧ τὸν τοῦ ἀνθρώπου νοῦν εἰσιδεῖν ἂν εἴη, Ἀλκαῖος δὲ *διόπτρῳ*, δι' οὗ τὸν ἔσω ἄνθρωπον διασκοπῆσαι. Εἰ δ' οἶνος κατ' Αἰσχύλον κάτοπτρον νοῦ ἐστι, σύνηθες δὲ καὶ γνωστὸν καὶ ἐν κοινῇ χρήσει τὸ ἐκ χαλκοῦ κάτοπτρον ἢ εἴσοπτρον ἢ ἔνοπτρον, πρὸς ὃ ὁ οἶνος παραβέβληται, πῶς οὐχ οἷόν τ' ἂν εἴη τεκμήρασθαι, ὅτι καὶ τὰ *διόπτρα* συνήθη γνωστὰ καὶ ἐν κοινῇ χρήσει ὡς εἰκὸς ἦν, εἰ Ἀλκαῖος οἶνος ἀνθρώποις *διόπτρον* εἶναι εἴρηκε, τὸν οἶνον *διόπτρῳ* παραβάλλων; Ὅτι δ' αἱ κυρταὶ ὕαλοι αἱ μεγαλύνουσαι τὰ ὁρατὰ καὶ πῦρ ἅπτουσαι γνωσταὶ τοῖς παλαιοῖς ἐτύγχανον, σαφῶς πάνυ διδάσκει Ἀριστοφάνης, ὃς γνωρίζει ἡμῖν καὶ ὅτι ἡ καλὴ καὶ διαφανὴς αὕτη λίθος παρὰ τοῖς φαρμακοπώλαις ἐπωλεῖτο Νεφέλαις 766·

Ἤδη παρὰ τοῖσι φαρμακοπώλαις τὴν λίθον
ταύτην ἑόρακας, τὴν καλήν, τὴν διαφανῆ,
ἀφ' ἧς τὸ πῦρ ἅπτουσι;
Τὴν ὕαλον λέγεις;

Ὅτι δ' οἱ ἀρχαῖοι τὴν ὕαλον πυρὶ τηκτήν τε καὶ χυτὴν εἶναι ᾔσαν, τοῦτο σαφῶς Πλάτων διδάσκει ἐν Τιμαίῳ 61b. Καὶ αὐτὸς δ' Ἀριστοφάνης τὴν τῶν ἀρχαίων ὑαλουργικὴν σαφῶς ἡμῖν γνωρίζει « *ὑαλί-*

ων ἐκπωμάτων » μνημονεύων ἐν Ἀχαρνεῦσιν 74. Καὶ Ἡρόδοτος δ' «*ἀρτήματα λίθινα χυτὰ*» ἐκ χυτῆς ὑάλου ἐνώτια, ἔμοιγε δοκεῖ, λέγει Β,69· *ὕαλον* δὲ λέγει λίθον διαφανῆ ἤτοι τὴν ὀρυκτὴν ὕαλον ἐν Γ,24. Πλίνιος δὲ Φοίνικας πρώτους τὴν ὕαλον εὑρηκέναι φησὶ 36,45. Ἡ ὑαλουργικὴ ἄρα μεγάλην ἐν τοῖς ἀρχαιοτάτοις τούτοις χρόνοις ἐπίδοσιν ἔσχεν· ὥστ' ἐξεῖη ἂν ἡμῖν εἰκάσαι ὅτι εἴτ' ἐξ ὀρυκτῆς εἴτ' ἐκ χυτῆς ὑάλου αἱ κυρταὶ ἐγίγνοντο ὕαλοι, ἀφ' ὧν τὸ πῦρ ἥπτον. Τοῦτο δὲ τὸ Ἀριστοφάνους χωρίον τῷ τοῦ Ἀλκαίου «*οἶνος γὰρ ἀνθρώποις δίοπτρον*» συνδυαζόμενον, ὡς ἄνω μοι εἴρηται, τὴν τοῦ ἐμοῦ διδασκάλου Ἀναγνωστάκη δόξαν δικαιοῖ, διόπτροις τοὺς ἀρχαίους πρὸς ὀξυωπίαν χρῆσθαι, τοὺς δὲ φαρμακοπώλας καὶ ὀπτικοὺς ὡς ἔπος εἰπεῖν τῶν ἀρχαίων γεγονέναι. Μαρτύριον δὲ τῶν εἰρημένων μοι ἔστω καὶ ὁ ἐν τοῖς ἐρειπίοις τῆς ἐν Φοινίκῃ Τύρου τῆς ὑπ' Ἀλεξάνδρου καταστραφείσης ἀνευρεθεὶς ἐπιπεδόκυρτος φακός, ὃς οὐχὶ μικροτέραν τῶν δύο καὶ εἴκοσιν αἰώνων ἡλικίαν ἔχει, ὡς φησιν Ἀναγνωστάκης ἐν *Μελέταις περὶ τῆς ὀπτικῆς τῶν ἀρχαίων* 11.

Ἐξ Ἀριστοφάνους μὲν οὖν σαφέστατα μανθάνομεν ὅτι αἱ κυρτα ὕαλοι ἢ φακοὶ ἐπ' αὐτοῦ γνωσταὶ ἦσαν· μόναι γὰρ αἱ κυρταὶ ὕαλοι διαφανεῖς τε ἅμα καὶ τὸ πῦρ ἅπτειν οἷαί τ' εἰσί· ἔστι γὰρ καὶ τοῖς κοίλοις κατόπτροις τὸ πῦρ ἅπτειν, ἀλλ' οὐ διαφανῆ ταῦτα· οὐδ' οἷός τ' ἂν ἦν τὸ κάτοπτρον εἰπεῖν *τὴν λίθον τὴν καλὴν τὴν διαφανῆ*· τὰ γὰρ κάτοπτρα, ὡς ἔοικεν, οὔπω ἐξ ὑάλου ἦν ἀλλ' ἐκ μετάλλου. Ἡ διαφανὴς ἄρα λίθος ἦν κυρτὴ ὕαλος ὀρυκτὴ ἢ χυτή, ἣ Στρεψιάδης εὐθέτως πρὸς τὸν ἥλιον στὰς τὰ γράμματα τῆς αὐτοῦ δίκης μακρόθεν ἐκτῆξαι ἐβούλετο. Εἰ δὲ μία τῶν κυρτῶν φακῶν ἰδιότης, *τὸ πῦρ ἅπτειν*, γνωστὴ ἦν, εἰκὸς ἂν εἴη εἰκάσαι ὅτι καὶ ἡ ἑτέρα αὐτῶν ἰδιότης, τὸ μεγεθύνεσθαι τὰ δι' αὐτῶν ὁρώμενα καὶ δὴ εὐκρινέστερον δι' αὐτῶν ὁρᾶν γνωστὴ ἦν. Σαφῶς δ' ἡμᾶς περὶ τούτου διδάσκει καὶ ὁ ἐν Τύρῳ ἀνακαλυφθεὶς παλαίτατος ἐπιπεδόκυρτος φακός. Τὴν δὲ χρῆσιν αὐτῶν πρὸς ὀξυωπίαν καὶ τὸ τοῦ Ἀλκαίου «οἶνος γὰρ ἀνθρώποις δίοπτρον» σαφῶς, ἔμοιγε δοκεῖ, διδάσκει.

6'. Περὶ ὀπτικῆς τῶν φιλοσόφων.

Εὖ μὲν ἴσμεν ὅτι ὑπὸ τῶν πρὸ τοῦ Σωκράτους φιλοσόφων τὸ τῶν

αἰσθήσεων πιστὸν ἀρνουμένων οὐκ ἂν ἔχοι τις μέγα τι χρῆμα περὶ ὀφθαλμῶν καὶ ὤτων διδαχθῆναι· ἀλλὰ μὴν καὶ τὸ γνῶναι, ὅπως τῶν φιλοσόφων ἕκαστος κατὰ τὴν ἰδίαν καὶ ἀναλλοίωτον τῶν ὄντων ἀρχήν, ἣν ἐδογμάτιζε, τὴν φύσιν καὶ κατασκευὴν ᾠήθη τῶν ὀφθαλμῶν καὶ τῶν ὤτων καὶ ὅπως ἑκάστῳ τὴν ὄψιν καὶ ἀκοὴν γίγνεσθαι ἐδόκει, τὸ γνῶναι ὡς ἔπος εἰπεῖν τὴν ὀπτικὴν καὶ ἀκουστικὴν τῶν πρώτων φιλοσοφησάντων καὶ πάντων τῶν πρὸ Ἱπποκράτους φιλοσόφων καὶ εἴ τι καλὸν καὶ ἀληθὲς ἔστω καὶ σμικρὸν ἐν αὐτοῖς ὑπάρχει, τοῦτο δοκῶ μοι οὐκ ἀνάξιον τῆς ὀφθαλμικῆς καὶ ὠτικῆς ταύτης ἱστορίας εἶναι.

Καὶ περὶ αἰσθήσεως μὲν ἐν γένει αἱ πολλαὶ καὶ καθόλου δόξαι τῶν φιλοσόφων δύο εἰσίν· οἱ μὲν γὰρ τῷ ὁμοίῳ, οἱ δὲ τῷ ἐναντίῳ ποιοῦσι τὴν αἴσθησιν. Καὶ τὴν ὅρασιν ἄρα, ὡς καὶ τὴν ἀκοήν, ἤτοι τὴν *ὀπτικὴν* καὶ *ἀκουστικήν*, Παρμενίδης μὲν καὶ Ἐμπεδοκλῆς καὶ Δημόκριτος καὶ Πλάτων τῷ ὁμοίῳ ποιοῦσιν, οἱ δὲ περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον τῷ ἐναντίῳ. Ἐκ τῆς παρατηρήσεως δὲ τῆς φύσεως ἑκάτεροι ἠρύσαντο τὰ τεκμήρια καὶ τὴν ὑπόθεσιν τῆς αὐτῶν ὀπτικῆς καὶ ἀκουστικῆς θεωρίας, ὥς φησι Θεόφραστος ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 1· « Τὸ δὲ πιθανὸν ἔλαβον οἱ μὲν ὅτι » τῶν ἄλλων τε τὰ πλεῖστα τῇ ὁμοιότητι θεωρεῖται καὶ ὅτι σύμφυ- » τόν ἐστι πᾶσι τοῖς ζῴοις τὰ συγγενῆ γνωρίζειν, ἔτι δ' ὡς τὸ μὲν » αἰσθάνεσθαι τῇ ἀπορροίᾳ γίνεται, τὸ δ' ὅμοιον φέρεται πρὸς τὸ » ὅμοιον. Οἱ δὲ τὴν αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει γίνεσθαι » καὶ τὸ μὲν ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου τὸ δ' ἐναντίον παθητι- » κόν, τούτῳ προσέθεσαν τὴν γνώμην· ἐπιμαρτυρεῖν δ' οἴονται καὶ » τὸ περὶ τὴν ἁφὴν συμβαῖνον· τὸ γὰρ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ » ψυχρὸν (οὐ) ποιεῖν αἴσθησιν ». Οἱ μὲν οὖν δοξάζοντες τῷ ὁμοίῳ τὴν ὅρασιν καὶ πᾶσαν αἴσθησιν γίγνεσθαι ὁρμῶνται ἐκ τοῦ « *ἀεὶ κολοιὸς παρὰ κολοιὸν* » καὶ « *τὸ ὅμοιον τοῦ ὁμοίου ἐφίεσθαι* »· οἱ δὲ τῷ ἐναντίῳ τὴν ὄψιν ποιοῦντες ὁρμῶνται ἐκ τοῦ « *τὸ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ ψυχρὸν οὐ ποιεῖν αἴσθησιν* ». Φυσικὸς ἄρα λόγος καὶ παρατήρησις τὴν γένεσιν ἀμφοτέρων τῶν ὀπτικῶν θεωριῶν ἐπήνεγκε. Καὶ περὶ τοῦ πῶς ἡ ὄψις γίγνεται δύο καθόλου ὑπάρχουσι δόξαι· οἱ μὲν γὰρ οἴονται ἐξιοῦσαν ἐκ τῶν ὀμμάτων τὴν ὄψιν ἐπὶ τὸ ὁρατὸν προσπίπτειν καὶ ἐκεῖ ἐκτὸς τοῦ ὀφθαλμοῦ συμφύεσθαι τὸ ὅμοιον τῷ

ὁμοίῳ ἢ τῷ ἐναντίῳ καὶ οὕτως ὁρᾶν ἡμᾶς, οἱ δὲ ἀπορροῆς ἀπὸ τῶν ὁρατῶν γιγνομένης καὶ πρὸς τὸ ὄμμα φερομένης ἐντὸς αὐτοῦ γίγνεσθαι τὴν ὄψιν τῷ ὁμοίῳ ἢ τῷ ἐναντίῳ· ἐς τὸ μέσον δὲ τούτων ἔθετο τὴν ἑαυτοῦ δόξαν Πλάτων φάσκων τὴν μὲν ὄψιν ἐκ τοῦ ὄμματος ἐξιοῦσαν μέχρι τινὸς τὴν δ' ἀπὸ τῶν σωμάτων ἀπορροὴν πρὸς αὐτὴν φερομένην συμφύεσθαι ἀλλήλαις ἐν τῷ μεταξὺ ὁρῶντος καὶ ὁρατοῦ καὶ οὕτως ὁρᾶν. Καλὸν δ' ἡγοῦμαι ἰδίᾳ τὴν ὀπτικὴν θεωρίαν ἑκάστου τῶν φιλοσόφων πραγματευθῆναι, προτάττων ἐν συντόμῳ τὰς περὶ φύσεως καὶ τῆς ἀρχῆς τῶν ὄντων δόξας ἑκάστου, ἵνα σαφὴς γένηται ἡ ὀπτικὴ ἑκάστου θεωρία.

1. *Περὶ ἀρχαίας τῶν Ἰώνων σχολῆς.*

Αὕτη ἡ πρώτη ἐστὶ φιλοσοφικὴ σχολή, ἣ ἀρχὰς ὑλικάς, ἀγενήτους καὶ ἀιδίους πάντων ᾤετο εἶναι τῶν ὄντων. Καὶ *Θαλῆς* μὲν ὁ Μιλήσιος (640 ἢ 624-548) ὁ πρῶτος φιλοσοφήσας καὶ ἀρχηγὸς τῆς τοιαύτης φιλοσοφίας ὑπερήνεγκε πάντων τῶν προγεγονότων φιλοσόφων, ὡς Θεοφράστῳ δοκεῖ Ἀπ. 40, ἀρχὴν δὲ τὸ *ὕδωρ* εἶναι πάντων ἐνόμιζε· Ἀναξίμανδρος δὲ (611-547) τὸ ἄπειρον ἤτοι τὴν ἄπειρον ὕλην· Ἀναξιμένης δὲ (588-524) τὸν *ἀέρα*, ὡς Πλούταρχος λέγει Ἀπ.σ.746 Τὰς τῆς τοιαύτης δὲ φιλοσοφίας δοξασίας συντόμως μὲν σαφῶς δ' Ἀριστοτέλης λέγει ἐν *τοῖς Μετὰ τὰ φυσικὰ* Α, γ, 2· «τῶν δὴ πρώτων φιλο» σοφησάντων οἱ πλεῖστοι τὰς ἐν ὕλης εἴδει μόνας ὠήθησαν ἀρχὰς εἶναι » πάντων· ἐξ οὗ γὰρ ἔστιν ἅπαντα τὰ ὄντα, καὶ ἐξ οὗ γίγνεται πρώ» του καὶ εἰς ὃ φθείρεται τελευταῖον, τῆς μὲν οὐσίας ὑπομενούσης, τοῖς » δὲ πάθεσι μεταβαλλούσης, τοῦτο στοιχεῖον καὶ ταύτην ἀρχήν φασιν » εἶναι τῶν ὄντων· καὶ διὰ τοῦτο οὔτε γίγνεσθαι οὐθὲν οἴονται οὔτε » ἀπόλλυσθαι, ὡς τῆς τοιαύτης φύσεως ἀεὶ σωζομένης, ὥσπερ οὐδὲ τὸν » Σωκράτην φαμὲν οὔτε γίγνεσθαι ἁπλῶς, ὅταν γίγνηται καλὸς ἢ μου» σικός, οὔτε ἀπόλλυσθαι, ὅταν ἀποβάλλῃ ταύτας τὰς ἕξεις, διὰ τὸ » ὑπομένειν τὸ ὑποκείμενον τὸν Σωκράτην αὐτόν· οὕτως οὐδὲ τῶν ἄλ» λων οὐδέν· δεῖ γὰρ εἶναί τινα φύσιν ἢ μίαν ἢ πλείους μιᾶς, ἐξ ὧν » γίγνεται τἆλλα σωζομένης ἐκείνης». Εἰ οὖν οὔτε γίγνεσθαι ἁπλῶς οὐδὲν οὔτε ἀπόλλυσθαι οἴονται, ἐπεὶ ἡ *οὐσία* ἢ ἡ *ἀρχὴ* ἢ τὸ *στοιχεῖον*, ἐξ οὗ πρώτου πάντα τὰ ὄντα γίγνεται καὶ εἰς ὃ φθείρεται τελευταῖον, ἀεὶ ὑπομένει καὶ σώζεται ἀίδιος καὶ ἄφθαρτος, τότε τὸ ὕδωρ μόνον

ἢ ἡ ἄπειρος ὕλη ἢ ὁ ἀὴρ ἡ μόνη ἂν εἴη ἀλήθεια, ἡ δὲ πολλαπλότης τῶν ὁρωμένων καὶ ἀκουστῶν καὶ ἐν γένει τῶν αἰσθητῶν διάφοροι ἂν εἶεν ἐμφανίσεις τῆς πρώτης ἀρχῆς, ἀεὶ μὲν σωζομένης, τοῖς δὲ πάθεσι μεταβαλλούσης. Ἀπάτη ἄρα τῆς ὁράσεως καὶ τῆς ἀκοῆς καὶ τῶν ἄλλων αἰσθήσεων δοκεῖ αὐτοῖς τὰ πολλὰ εἶναι αἰσθητὰ ὄντα, ἓν δὲ μόνον τὸ ἀληθὲς καὶ βέβαιον ἡ δογματικὴ ὑλικὴ ἀρχή. Εἰ οὖν ἄρα καὶ μηδὲν τῶν ὁρωμένων μηδ' ἀκουστῶν, οἷον ὁρᾶται καὶ ἀκούεται, ἀληθὲς εἴη, εἰκὸς ἂν εἴη εἰκάσαι ὡς οἱ πρῶτοι φιλοσοφήσαντες μήτ' ὀπτικὴν μήτ' ἀκουστικὴν μηδεμίαν θεωρίαν μήδ' ὅπως αἱ ἄλλαι γίγνοιντο αἰσθήσεις εἰρηκότες εἶεν. Ἀλλὰ μὴν Ἀναξιμένης μὲν δοκεῖ πρῶτος ὅπως ἡ ἶρις γίγνεται εἰρηκέναι, ὥς φησι Γαληνὸς 19,291· « Ἀναξιμένης δὲ ἶριν γίνεσθαι νομίζει κατ' αὐγασμὸν ἡλίου πρὸς » νέφει πυκνῷ καὶ παχεῖ καὶ μέλανι παρὰ τὸ μὴ δύνασθαι τὰς ἀκτῖ- » νας εἰς τὸ πέρας διακύπτειν ἐπισυνισταμένας αὐτῷ ». Δοκεῖ δέ μοι ἡ περὶ ἶριδος θεωρία αὕτη ἐν τῇ αὐτῆς νηπιότητι οὐ πολλῷ ἀπέχειν τοῦ ἀληθοῦς. Ἀναξίμανδρος δὲ τὴν σελήνην ψευδοφανῆ καὶ ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι ἔφη κατὰ Διογένη Β, α. Ὃ δὲ θαυμασμοῦ ἄξιόν ἐστιν Ἀναξίμανδρος πρῶτος εἰρηκε τὴν καὶ νῦν μάλα κρατοῦσαν δόξαν, *κατ' ἀρχὰς ἐξ ἀλλοειδῶν ζώων γενέσθαι τὸν ἄνθρωπον*, ὥς φησι Πλούταρχος Ἀπ. σ. 747· « Ἔτι φησὶν ὅτι κατ' ἀρχὰς ἐξ ἀλλοει- » δῶν ζώων ὁ ἄνθρωπος ἐγεννήθη, ἐκ τοῦ τὰ μὲν ἄλλα ζῷα δι' ἑαυτῶν » ταχὺ νέμεσθαι, μόνον δὲ τὸν ἄνθρωπον πολυχρονίου δεῖσθαι τιθη- » νήσεως· διὸ καὶ κατ' ἀρχὰς οὐκ ἂν ποτε τοιοῦτον ὄντα διασωθῆναι».

Περὶ Διογένους τοῦ Ἀπολλωνιάτου (468, ἤκμασε 440-425). Μεταγενέστεροι ὀπαδοὶ τῆς παλαιᾶς Ἰωνικῆς Σχολῆς κατὰ τὸν πέμπτον αἰῶνα ἐγένοντο *Ἵππων*, ὅς τὸ ὕδωρ ἢ τὸ *ὑγρόν*, ὡς ὁ Θαλῆς, ἀρχὴν ὤετο τῶν ὄντων, καὶ οἱ Ἀναξιμένους ὀπαδοὶ *Ἰδαῖος* καὶ *Διογένης*. Διογένης ὁ Ἀπολλωνιάτης, Κρής, ὥςπερ Ἀναξιμένης καὶ ἕτεροί τινες, *ἀέρα* ἀρχὴν ὑπέλαβε τῶν ὄντων· τὸν δ' ἀέρα τοῦτον, τὸ ὑλικὸν ὂν ὥςπερ ὁ Ἀναξαγόρου νοῦς, μέγαν καὶ ἰσχυρὸν καὶ ἀίδιον καὶ ἀθάνατον εἶναι καὶ πολλὰ εἰδότα καὶ πανταχοῦ παρόντα ὑπέθετο Ἀπ.3· τοῦτον δὲ μόνον καὶ λογικὴν καὶ ὑλικὴν εἶναι ἀρχήν, αἴτιον δὲ πάντων τε τῶν ὄντων καὶ τῆς ζωῆς καὶ τοῦ αἰσθάνεσθαι καὶ τοῦ φρονεῖν· ἐκ τοῦ ἀέρος πάντα τε καὶ τὸν ἄνθρωπον γίγνεσθαι δι' ἀπείρων ἑτεροιώσεων τήν τ' αἴσθησιν αὐτοῦ καὶ τὴν ψυχὴν καὶ τὸν νοῦν ἀέρος

εἶναι Απ. 2.6. Πάντα ταῦτα, λέγει, ἐκ τοῦ αὐτοῦ ὄντος, τοῦ ἀέρος, ἑτεροιούμενα ἄλλοτε ἀλλοῖα γίνεται καὶ εἰς τὸ αὐτὸ ὂν τὸν ἀέρα ἀναχωρεῖ, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ γενέσεως καὶ φθορᾶς Α, ς,3. Τὸ δὲ τῆς ψυχῆς ἡγεμονικὸν ἐν τῇ ἀρτηριακῇ τῆς καρδίας κοιλίᾳ, πνεῦμα περιεχούσῃ, ᾧετο εἶναι, καθ' ἃ Πλούταρχός φησιν ἐν τῷ Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις Δ, ε, 7. Πλείονα δὲ περὶ τῶν Διογένους δοξῶν ἔστιν εὑρεῖν τῷ βουλομένῳ ἐν τοῖς Ἀποσπασματίοις αὐτοῦ Μουλλαχίῳ Ι, 254, παρ' Ἀριστοτέλει ἐν τῷ *Περὶ ψυχῆς* Α, 6, 15 καὶ *Περὶ ἀναπνοῆς* 6 καὶ παρὰ Θεοφράστῳ ἐν τῷ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 39-48 καὶ παρ' Ἀλεξάνδρῳ ἐν *Φυσικαῖς καὶ ἠθικαῖς ἀπορίαις καὶ λύσεσι* Β, κγ καὶ παρὰ Σιμπλικίῳ ἐν *Φυσικ.* 33, α καὶ παρὰ Πλουτάρχῳ Ἀποσπάσμασι σ. 754.

Ὡς δὲ πάντα τὰ ὄντα καὶ πᾶσαν αἴσθησιν οὕτω καὶ τὸ ὁρᾶν καὶ ἀκούειν ἀέρος γίγνεσθαι οἴεται, ὡς Θεόφραστος λέγει ἐν τῷ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 40-42. Εἰ δὲ πάντα ἐξ ἀέρος γίγνεσθαι καὶ εἰς ἀέρα ἀναχωρεῖν οἴεται, εἰκὸς ἂν εἴη καὶ τὴν ὀπτικὴν καὶ ἀκουστικὴν αὐτοῦ θεωρίαν τῷ ἀέρι ποιεῖν.

Ὁρᾶν μὲν οὖν φησι τῇ τῶν ὁρωμένων ἐμφάσει ἐν τῇ κόρῃ, δι' ἧς τὰς τῶν πραγμάτων ἐμφάσεις τῷ ἐντὸς ἀέρι, τῷ περὶ τὸν ἐγκέφαλον, μιγνυμένας ποιεῖν τὴν ὅρασιν καὶ δὴ κυρίως τῷ ἐντὸς ἀέρι ὁρᾶν· τούτου δὲ μαρτύριον· φλεγμονῆς γὰρ τῶν πόρων γιγνομένης, οὐχ ὁρᾶν καίπερ τῆς ἐν τῇ κόρῃ ἐμφάσεως ὁμοίως ὑπαρχούσης διὰ τὸ μὴ μίγνυσθαι τὰς ἐμφάσεις τῷ ἐντὸς ἀέρι. Ὅτι δ' ὁ ἐντὸς τοῦ ἐγκεφάλου ἀὴρ ὁρᾷ καὶ ἀκούει καὶ καθόλου αἰσθάνεται καὶ νοεῖ μικρὸν ὢν τοῦ θεοῦ μόριον σημεῖον ὅτι πολλάκις πρὸς ἄλλα τὸν νοῦν ἔχοντες οὐθ' ὁρῶμεν οὔτ' ἀκούομεν. Πάντα δὲ τῷ ἐντὸς θερμοτέρῳ ἀέρι καὶ *ζῇ καὶ ὁρᾷ καὶ ἀκούει*, φησὶ Διογένης, καὶ τὴν ἄλλην *νόησιν* ἔχει ὑπὸ τοῦ αὐτοῦ πάντα Ἀπ. 6. Ὀξύτατα δ' ὁρᾶν ὅσα τόν τ' ἀέρα καὶ τοὺς πόρους λεπτοὺς ἔχει καὶ ὅσα τὸν ὀφθαλμὸν λαμπρότατον. Ἐμφαίνεσθαι δ', ὡς παρ' Ἀναξαγόρᾳ, οὐ τὸ ὅμοιον, ἀλλὰ τὸ ἐναντίον χρῶμα· δι' ὃ καὶ τοὺς μελανοφθάλμους ὁρᾶν μεθ' ἡμέραν μᾶλλον καὶ τὰ λαμπρά, τοὺς δὲ γλαυκοφθάλμους νύκτωρ μᾶλλον καὶ τὰ μέλανα.

2. *Περὶ ἐλεατικῆς σχολῆς.*

Ταύτης ἱδρυτὴς *Ξενοφάνης* ὁ Κολοφώνιος (576-480), ὁ Ἀναξι-

μάνδρου τοῦ Μιλησίου μαθητής, ἐγένετο. Ἀρχὴν δὲ τῶν ὄντων οὐχ ὑλικήν, ὡς οἱ πρῶτοι φιλοσοφήσαντες, ἀλλὰ θεολογικὴν μεταφυσικὴν τὸ «*ἓν καὶ πᾶν*» οἴεται εἶναι, *θεὸν ἢ θεῖον ἐν τῷ κόσμῳ νοῦν*, ὥσπερ Ἀριστοτέλης φησὶν ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, ε, 9· ὁ θεὸς δ' οὗτος, Ξενοφάνης φησὶ Λειψάνοις 2,

Οὖλος ὁρᾷ, οὖλος δὲ νοεῖ, οὖλος δὲ τ' ἀκούει.

Οὐδείς δ' ἀνὴρ οἶδέ τι ἐπισταμένως 14· «*δόκος δ' ἐπὶ πᾶσι τέτυκται*». Ἐκ *γῆς* δὲ καὶ *ὕδατος* Ξενοφάνης γίγνεσθαι ᾤετο πάντας τοὺς ἀνθρώπους καὶ πανθ' ὅσα γίγνεται καὶ φύεται 9. 10. Τὴν δ' *Ἶριν* νέφος εἶναι ἡγεῖται πορφυροῦν καὶ φοινικοῦν καὶ χλωρὸν 13·

Ἦν τ' Ἶριν καλέουσι, νέφος καὶ τοῦτο πέφυκε
πορφύρεον καὶ φοινίκεον καὶ χλωρὸν ἰδέσθαι.

Παρμενίδης δὲ (544) ὁ Ξενοφάνους μαθητὴς ὁ *μέγας* κατὰ Πλάτωνα, καθαρῶς μεταφυσικὴν ἀρχὴν τίθησι, τὴν ἔννοιαν *ἐνὸς ἀιδίου ὄντος καὶ ἀναλλοιώτου*. Οὗτος δὲ καὶ τὴν ἀρχὴν τῆς ταὐτότητος καὶ τῆς ἀντιφάσεως τίθησι λέγων *τὸ μὲν ὂν εἶναι τὸ δὲ μὴ ὂν μὴ εἶναι* 43. Τὸ *ἓν ἀίδιον ὄν* ἐστιν ἡ μόνη ἀληθὴς γνῶσις· τὸ *ὄν*, ὁ νοῦς, ὁ λόγος γιγνώσκει, τὸ δὲ μὴ ὂν οὐκ ἂν εἴη γνῶναι 40 (94)·

τὸ γὰρ αὐτὸ νοεῖν ἐστίν τε καὶ εἶναι.

Τοὺς δ' ἀνθρώπους φησὶν ἐξ ἰλύος τὸ πρῶτον γεγονέναι κατὰ Διογένη Θ, γ. Καὶ Παρμενίδης δ' ὡς ὁ Ἀναξίμανδρος περὶ τῆς σελήνης ἀπεφήνατο ἀπὸ τοῦ ἡλίου φωτίζεσθαι λέγων περὶ αὐτῆς κατὰ Πλούταρχον Ἠθικοῖς σ. 282c. 929b·

αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο.

καὶ 1116a·

νυκτιφαὲς περὶ γαῖαν ἀλώμενον, ἀλλότριον φῶς.

Σφοδρῶς δὲ ταῖς αἰσθήσεσι πολεμεῖ, ὡς διδασκούσαις τὸ μὴ ὂν ἤτοι τὸ ψεῦδος τὴν πολλαπλότητα καὶ μεταβολὴν ὧδε λέγων 53·

ἀλλὰ σὺ τῆσδ' ἀφ' ὁδοῦ διζήσιος εἶργε νόημα
μηδὲ σ' ἔθος πολύπειρον ὁδὸν κατὰ τήνδε βιάσθω,
νωμᾶν ἄσκοπον ὄμμα καὶ ἠχήεσσαν ἀκουὴν
καὶ γλῶσσαν· κρῖναι δὲ λόγῳ πολύδηριν ἔλεγχον
ἐξ ἐμέθεν βηθέντα.

Οἱ ταῖς αἰσθήσεσι πειθόμενοι βροτοὶ δεινῶς πλανῶνται, φησί, ἀμη-

χανία τὸν πεπλανημένον νοῦν διευθύνει αὐτῶν τῶν ἀκρίτων, οἷς τὸ εἶναί τε καὶ μὴ εἶναι ταὐτὸν νενόμισται κοὐ ταὐτὸν 48·

οἱ δὲ φορεῦνται
κωφοὶ ὁμῶς τυφλοί τε, τεθηπότες, ἄκριτα φῦλα.

Εἰ οὖν τοιοῦτον Παρμενίδης κατὰ τῶν αἰσθήσεων δεινὸν ἐγείρει πόλεμον καὶ πᾶσα ἡ Ἐλεατικὴ σχολή, δεινότερον δ' ἔτι οἱ μαθηταὶ αὐτοῦ Ζήνων καὶ Μέλισσος, εἰ ταῦτ' οὕτως ἔχει, φανερόν, ὅτι περὶ τῶν ἀπίστων αἰσθήσεων αὐτοῖς οὐ μέλει· οὔτ' ἄρα περὶ ὀφθαλμῶν καὶ ὤτων ἀνατομῆς οὔτε περὶ ὀπτικῆς οὔτε περὶ ἀκουστικῆς φροντὶς ἦν αὐτοῖς. Ἐπεὶ δὲ τὸ αἰσθάνεσθαι καὶ φρονεῖν ταὐτὸ λέγει Παρμενίδης κατά τε Θεόφραστον Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 3 καὶ Ἀριστοτέλη ἐν τοῖς Μετὰ τὰ φυσικὰ Γ, ε, 7, ἀναγκαζόμενος δὲ τοῖς φαινομένοις ἀκολουθεῖν δύο παραδέχεται στοιχεῖα, ἐξ ὧν τὰ πάντα γίγνεται, τὸ *φῶς ἢ πῦρ* καὶ τὴν *νύκτα* 122, ἢ τὸ *θερμὸν* καὶ τὸ *ψυχρόν*, ἃ *πῦρ* καὶ *γῆν* προσαγορεύει κατ' Ἀριστοτέλη Φυσικῆς ἀκροάσεως Α, ε, 1, καὶ ἐπεὶ τὸ ὅμοιον τῷ ὁμοίῳ γιγνώσκεται· ᾧ γὰρ τὸ φῶς ἢ πῦρ ἢ θερμὸν ἐν τῇ τῶν μορίων κράσει ὑπερέχει, τούτῳ καὶ τὸ φρονεῖν καὶ ὁ νοῦς καὶ τὸ ἀληθὲς ὑπεραίρει, ᾧ δ' ἡ νὺξ ἢ ἡ γῆ ἢ τὸ ψυχρὸν ὑπερέχει, τούτου τῇ διανοίᾳ ψεῦδος καὶ πλάνη καὶ ἀπάτη ἔνεστιν· εἰ ταῦτ' οὕτως ἔχει, εἰκὸς ἂν εἴη εἰκάσαι, ὅτι ἐν τῇ τῶν αἰσθητηρίων κράσει, τῶν ψεύδη καὶ πλάνας καὶ πολλαπλότητα διδασκόντων, τὴν *νύκτα* ἢ τὸ *ψυχρὸν* στοιχεῖον ἢ τὴν *γῆν* Παρμενίδης ὑπερέχειν ᾤετο, ὡς καὶ ἐν τῇ ὅλῃ σωματικῇ κράσει τῶν ταῖς αἰσθήσεσι πειθομένων, ἐξ ὧν λέγει Ἀριστοτέλης ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, ε, 11. Ἡ ὀπτικὴ ἄρα θεωρία Παρμενίδου ἥδ' ἂν εἴη· τῷ μὲν πυρὶ ἢ θερμῷ ἢ φωτὶ τῷ ἐν τῷ ὀφθαλμῷ ὁρῶμεν πῦρ θερμὸν καὶ φῶς καὶ τὸ ἀληθὲς καὶ πᾶν τὸ πῦρ ἐνέχον, τῷ δὲ σκότει ἢ γῇ ἢ ψυχρῷ τῷ ἐν τῷ ὀφθαλμῷ ὁρῶμεν σκότος καὶ ψεῦδος καὶ πᾶν τὸ σκοτεινόν, ὡς φησι Θεόφραστος ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 4.

3. *Περὶ Πυθαγορείων.*

Οἱ Πυθαγόρειοι, ὡς παρά τε Ἀριστοτέλους ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, ε καὶ ἐκ τῶν περισωθέντων ἀποσπασμάτων Φιλολάου τοῦ Πυθαγορείου μανθάνομεν, περὶ τὰ μαθηματικὰ διατρίβοντες τὸν ἀριθ.

μὸν ἀρχὴν πάντων τῶν ὄντων εἶναι ᾠοντο καὶ ὡς ὕλην καὶ ὡς πάθη τε καὶ ἕξεις αὐτῶν· τοῦ δ' ἀριθμοῦ δύο ἴδια στοιχεῖα τὸ *ἄρτιον* καὶ τὸ *περισσόν*, ὧν τὸ μὲν πεπερασμένον τὸ δ' ἄπειρον ὑπάρχειν ἐνόμιζον, τρίτον δ' ἀπ' ἀμφοτέρων μιχθέντων τὸ *ἀρτιοπέρισσον*. Φιλόλαος δ' ὁ Πυθαγόρειος λέγει Ἀπ. 2· «Φύσις δ' ἐν τῷ κόσμῳ ἁρμόχθη ἐξ ἀπείρων τε καὶ περαινόντων καὶ ὅλος ὁ κόσμος καὶ τὰ ἐν αὐτῷ πάντα». Ἀνομοίων δὲ καὶ μὴ ὁμοφύλων μηδὲ ἰσοτελῶν ὄντων τῶν ἐξ ὧν τὰ πάντα συνέστηκεν ἀρχῶν ἢ στοιχείων (ἐναντία γὰρ ἀλλήλοις τὸ *περισσὸν καὶ ἄρτιον* ἢ τὰ *ἄπειρα καὶ περαίνοντά* εἰσι), *ἀνάγκη ἁρμονίας* πρὸς διακόσμησιν τῶν ἀρχῶν τούτων τοῦ σύμπαντος, φησὶν Ἀπ. 3. Πάντα τὰ γινωσκόμενα ἔχουσιν ἀριθμόν, οὐδὲν δ' οἷόν τ' οὔτε νοηθῆναι οὔτε γνωσθῆναι ἄνευ ἀριθμοῦ· θεία δὲ γνῶσις κοὐκ ἀνθρωπικὴ ἐν τῇ ἀιδίῳ οὐσίᾳ, ἐν τοῖς *ἀπείροις τε καὶ περαίνουσιν*, ἐξ ὧν συνέστη ὁ κόσμος, ἐν αὐτῇ τοῦ ἀριθμοῦ τῇ φύσει ἔνεστι. Ἡ ἀλήθεια μόνη οἰκεῖον καὶ σύμφυτον τῇ τοῦ ἀριθμοῦ φύσει ἐστί, τὸ δὲ ψεῦδος πολέμιον καὶ ἐχθρόν. Πάντων ἄρα τῶν ὄντων καὶ δὴ καὶ τῶν ἡμετέρων αἰσθητηρίων καὶ τῆς ψυχῆς καὶ τοῦ νοῦ ἡ οὐσία ἐστὶν ὁ *ἀριθμὸς* καὶ ἡ φύσις αὐτοῦ Ἀπ. 13. Ἀριθμὸς ἄρα ἀριθμῷ γιγνώσκεται. Ὁ τῆς ὄψεως ἀριθμὸς τοῦ ἀριθμοῦ ἑκάστου ὁρωμένου ἀντιλαμβάνεται, καὶ ὁ τῆς ἀκοῆς ἀριθμὸς τοῦ τῶν ἀκουστῶν ἀριθμοῦ. Ὁ δὲ τῶν ὁρωμένων καὶ ἀκουστῶν καὶ ἐν γένει ὁ τῶν αἰσθητῶν ἀριθμός, ὁ τῷ ἰδίῳ ἀριθμῷ ἑκάστης αἰσθήσεως ἀντιληπτός, ὁ ἀριθμὸς οὗτος, Φιλόλαός φησι Ἀπ. 13, πρὸς τὴν ψυχὴν ἁρμόζων ἤτοι πρὸς τὸν τῆς ψυχῆς ἀριθμὸν (τὸν γὰρ νοῦν μονάδα τε καὶ ἓν ἔλεγον οἱ Πυθαγόρειοι) διὰ τῆς *αἰσθήσεως* πάντα γνωστὰ καὶ οἰκεῖα ἀλλήλοις ἀπεργάζεται. Τὸ τὰ ὅμοια τοῖς ὁμοίοις γιγνώσκεσθαι, ὃ ἐστιν ἀριθμὸς ἀριθμῷ γιγνώσκεται καὶ νοεῖται καὶ ὁρᾶται καὶ ἀκούεται, Φιλόλαος δοκεῖ μοι σαφῶς εἰπεῖν Ἀπ. 13· οὐκ ἂν ἦν δῆλον, φησί, οὐδενὶ οὐδὲν τῶν πραγμάτων οὔτε *αὐτῶν πρὸς ἑαυτὰ* οὔτ' ἄλλου πρὸς ἄλλο, εἰ μὴ ἦν ἀριθμὸς καὶ ἡ τούτου οὐσία. Ἡ ἐν τῇ οὐσίᾳ τοῦ γιγνώσκοντος *θεία γνῶσις* γιγνώσκει τὴν ἐν τῷ γιγνωσκομένῳ θείαν γνῶσιν Ἀπ. 3· θείαν γὰρ γνῶσιν (ἀριθμὸν) ἔχουσιν ἡ ἀίδιος οὐσία τῶν ὄντων αἱ ἀρχαὶ τὰ στοιχεῖα, τά τε *περαίροντα* καὶ τὰ *ἄπειρα* ἢ τὸ *περισσὸν* καὶ *ἄρτιον*, ἐξ ὧν πάντα τὰ ὄντα, τά τε γιγνώσκοντα καὶ γιγνωσκόμενα, τά τε ὁρῶντα καὶ ὁρατά, τά τ' ἀκούοντα καὶ ἀκουστά, συνέστη. Ἡ τὸ πᾶν ἄρα

πληροῦσα καὶ πανταχοῦ παροῦσα καὶ ἀίδιος θεία γνῶσις, ὁ *ἀριθμός*, ἄλλος ἄλλῳ ἁρμόζων, τήν τε γνῶσιν καὶ νοήσιν καὶ αἴσθησιν ποιεῖ.

Δοκοῦσι δ' οἱ Πυθαγόρειοι οὐκ ὀλιγωρεῖν τῶν αἰσθήσεων· καὶ γὰρ *τῇ αἰσθήσει* φησὶ Φιλόλαος τὸν ἀριθμὸν πρὸς τὴν ψυχὴν ἁρμόζειν Ἀπ. 13. Ἱππόδαμος δὲ Θούριος ὁ Πυθαγόρειος τὴν τοῦ αἰσθητηρίου τῆς ὄψεως χρησιμότητα ἐξαίρων, «ὀφθαλμοί τε γὰρ ὁρῶντι ὑπὲρ τοῦ παντὸς σώματός» φησι Ἀπ. 1 (Mull. Frg. I, 11,26). Εὐρύφαμος δ' ὁ Πυθαγόρειος ἡ μὲν τῶν ὀφθαλμῶν ἀρετή, φησὶ Ἀπ. 2 (I,16,22), ἐστὶν ἀκρότης καὶ τελειότης τῆς τῶν ὀφθαλμῶν φύσεως, ἡ δὲ τῶν ὤτων ἀρετὴ ἐστιν ἀκρότης καὶ τελειότης τῆς τῶν ὤτων φύσεως· δύο δὲ τίθησιν ὅρους τοῦ *καλῶς ὁρᾶν*, τὴν ὀξυδορκίαν καὶ τὸ φῶς. Καὶ Μέτωπος δ' ὁ Πιθαγόρειος περὶ ὀξυωπίας καὶ ὀξυηκοίας λόγον ποιεῖται· ὀφθαλμῶν ἀρετή ἐστιν ἡ ὀξυδορκία, φησὶν Ἀπ. 5 (I, 23, 1), ἡ δ' ὀξυδορκία ἐστὶν ἀκρότης τῆς τῶν ὀφθαλμῶν φύσεως· καὶ ὤτων ἀρετή ἐστιν ἡ ὀξυηκοία, αὕτη δ' ἐστὶν ἀκρότης τῆς τῶν ὤτων φύσεως. Οἱ οὖν Πυθαγόρειοι, ἔμοιγε δοκοῖ, περὶ πολλοῦ ἐποιοῦντο τὰς τῶν αἰσθήσεων ἀντιλήψεις καὶ τὰς ἐκ τούτων γνώσεις· ὁ γὰρ ἀριθμὸς ἤτοι ἡ θεία γνῶσις διὰ τῆς αἰσθήσεως πρὸς τὴν ψυχὴν προσαρμόττει καοῦτω πάντα γνωστά τε καὶ οἰκεῖα ἀλλήλοις ἀπεργάζεται κατὰ Φιλόλαον· εἶτα δὲ πρός τί ὁ τόσος περὶ ὀξυωπίας καὶ ὀξυηκοίας καὶ ἀρετῆς ὀφθαλμῶν καὶ ὤτων λόγος τῶν Πυθαγορείων, εἰ τὰς ἐκ τῶν αἰσθήσεων γνώσεις πλάνην καὶ ψεῦδος οἴοιντο;

Εἰ δέ τις τὸ Φιλολάῳ εἰρημένον τόδε Ἀπ. 13· «Νῦν δὲ οὗτος » ποττὰν ψυχὰν ἁρμόζων αἰσθήσει πάντα γνωστὰ καὶ ποτάγορα ἀλ- » λάλοις κατὰ γνώμονος φύσιν ἀπεργάζεται, σωματῶν καὶ σχίζων » τοὺς λόγους χωρὶς ἑκάστους τῶν πραγμάτων, τῶν τε ἀπείρων » καὶ τῶν περαινόντων»· εἴ τις τὸ χωρίον τοῦτο ὧδ' ἐξηγήσαιτο· νῦν δ' ὁ ἀριθμὸς οὗτος ἁρμόττων ἑκάστῃ αἰσθήσει (ἢ μᾶλλον τῷ ἀριθμῷ αὐτῆς· ἐν παντὶ γὰρ ἀριθμός), ἀπεργάζεται πάντα γνωστὰ πρὸς τὴν ψυχὴν καὶ προσήγορα ἀλλήλοις κατὰ γνώμονος φύσιν, σωματῶν τοὺς ἀπὸ τῶν μαθημάτων περιγενομένους λόγους τῶν πραγμάτων, τῶν τε ἀπείρων καὶ τῶν περαινόντων, καὶ σχίζων αὐτοὺς (τοὺς λόγους) χωρὶς ἑκάστους· εἰ οὕτω, λέγω, ὀρθῶς ἔχοι, τότε φανερὰ καὶ ῥητὴ Φιλολάῳ ἐστὶν ἡ τῶν Πυθαγορείων ὀπτικὴ καὶ ἀκουστικὴ θεωρία καὶ ἡ τῶν ἄλλων αἰσθήσεων, περὶ ἧς ἄνω μοι εἴρηται,

ὅτι ἀριθμὸς ἀριθμῷ γιγνώσκεται, καὶ δὴ καὶ τῷ ὁμοίῳ τὴν ὄψιν γίγνεσθαι, τῶν δ' αἰσθητῶν διὰ τῶν αἰσθήσεων ἀντιλαμβανόμεθα.

Ἐπεὶ δ' ἐν δωρικῇ διαλέκτῳ ὡς ἐπὶ τὸ πολὺ γέγραπται τοῖς Πυθαγορείοις, ἴδιος ἀνατομικὸς παρ' αὐτοῖς ὅρος εὕρηται *ὀπτίλλοι*· πρὸς δὲ ὀφθαλμοὶ καὶ οὔατα· εἰ δ' ἀνατομὰς ἐποιοῦντο, τοῦτ' οὐ σαφῶς ἴσμεν. Ὡς δὲ Γαληνός φησι 19,308 καὶ Πλούταρχος Ἠθικοῖς 901d, οἱ ἀπὸ Πυθαγόρου τὸ ὁρᾶν γίγνεσθαι οἴονται, ἐξιούσης τῆς ὄψεως ἐπὶ τὰ ὁρώμενα, ἤτοι ἡ θεία τοῦ ὀφθαλμοῦ γνῶσις, ὁ ἴδιος αὐτοῦ ἀριθμὸς ἐξιὼν προσαρμόζει τῷ ἀριθμῷ τοῦ ὁρωμένου καὶ οὕτω τὸ ὁρᾶν γίγνεται. Ἐκ τῶν πέντε δὲ στοιχείων τὸν μὲν *αἰθέρα* τὴν ὄψιν ποιεῖν οἴεται Πυθαγόρας, τὸν δ' *ἀέρα* τὴν ἀκοήν, τὸ *ὕδωρ* τὴν γεῦσιν, τὸ *πῦρ* τὴν ὄσφρησιν καὶ τὴν *γῆν* τὴν ἁφήν, ὡς Στοβαῖός φησι IV,235,31. Κατὰ Διογένη δὲ Λαέρτιον Η, 29 τὰς αἰσθήσεις καθόλου καὶ τὴν ὅρασιν ἰδίᾳ, σταγόνας τῆς αἰθερίου ψυχῆς εἶναί φησιν ἢ ἀτμόν τινα ἄγαν θερμόν, ὃν θερμὸν αἰθέρα ὀνομάζουσι· δι' ἀέρος δ' ὁρᾶν καὶ δι' ὕδατος λέγεσθαι, ὧν τὸν μὲν ἀέρα *ψυχρὸν αἰθέρα* καλοῦσι τὸ δ' ὕδωρ *παχὺν αἰθέρα*, διὰ τὸ ἀντερείδεσθαι τὸ ἐν τοῖς ὄμμασι θερμὸν ἀπὸ τοῦ ἔξω ψυχροῦ· εἰ γὰρ ψυχρὸς ἦν ὁ ἐν τοῖς ὀφθαλμοῖς ἀτμὸς καὶ θερμὸς αἰθήρ, αὐτικ' ἂν πρὸς τὸν ἐκτὸς ὅμοιον ἀέρα ἤτοι τὸν *ψυχρὸν αἰθέρα* διεστήκει κοὐκ ἂν ἐγίγνετ' ὄψις. Τοὺς δ' ὀφθαλμοὺς διὰ τοῦτο *ἡλίου πύλας* καλεῖ.

Χροιὰν δὲ καὶ *χρῶμα* οἱ Πυθαγόρειοι τὴν ἐπιφάνειαν τοῦ σώματος ἐκάλουν κατ' Ἀριστοτέλη Περὶ αἰσθήσεως καὶ αἰσθητῶν γ'. Γένη δὲ τῶν χρωμάτων τέτταρα εἶναι νομίζουσι, *λευκόν* τε καὶ *μέλαν* καὶ *ἐρυθρὸν* καὶ *ὠχρόν*· τὰς δ' ἄλλας διαφορὰς τῶν χρωμάτων παρὰ τὰς ποιὰς τῶν στοιχείων μίξεις, ὡς Γαληνός φησι 19,258. Τὰς δὲ κατοπτρικὰς ἐμφάσεις, ἀνταναλωμένης ἐπὶ τῶν κατόπτρων αὐτῆς ἐφ' ἑαυτῆς τῆς ἐξιούσης ὄψεως, γίγνεσθαι ᾤοντο Γαλ. 19,308· ὥστ' ἴσασιν οἱ Πειθαγόρειοι ὅτι αἱ καθέτως ἐπὶ λείας ἐπιφανείας προσπίπτουσαι ἀκτῖνες αὐταὶ ἐφ' ἑαυτῶν ὑποστρέφουσιν ἀνταναλώμεναι.

4. *Περὶ φυσικῶν τοῦ πέμπτου αἰῶνος.*

Περὶ Ἀλκμέωνος (περὶ τὸ 500). Ἀλκμέων ὁ Κροτωνιάτης ἐγένετο τὴν ἡλικίαν ἐπὶ γέροντι Πυθαγόρᾳ, ὡς Ἀριστοτέλης φησὶν ἐν

τοῖς *Μετὰ τὰ φυσικὰ* Α, ε· ἰατρὸς δ' ἅμα καὶ φιλόσοφος *περί τε ἰατρικῆς καὶ περὶ φύσεως ἔγραψε.*

Πρῶτος Ἀλκμέων τὴν ἀληθῆ τῆς γνώσεως ὁδὸν εὗρηκε, τὴν διὰ τῶν αἰσθήσεων τήν τ' ἀνατομὴν καὶ φυσιολογίαν τῶν γνωστικῶν τούτων ὀργάνων ἐρευνῆσαι ἐπιχειρήσας. Πρῶτος δ' ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικὸν εἶρηκε, τοῦτον τὸ κεντρικὸν πασῶν τῶν αἰσθήσεων ὄργανον καὶ τῆς ἀθανάτου ψυχῆς ἕδραν ἀποφαίνων· ἕτερον δ' εἶναι ἔφη τὸ φρονεῖν ἢ ξυνιέναι καὶ αἰσθάνεσθαι· καὶ *αἴσθησιν* μὲν πάντα τὰ ζῷα καὶ τὸν ἄνθρωπον ἔχειν, τὸ δὲ *ξυνιέναι ἢ φρονεῖν* ἤτοι τὸ λογικὸν τὸν ἄνθρωπον μόνον ἔχειν καὶ τούτῳ τῶν ἄλλων ζῴων διαφέρειν. « Ἀλκμέων ἐν τῷ ἐγκεφάλῳ εἶναι τὸ ἡγεμονικόν· » τούτῳ οὖν ὀσφραίνεσθαι ἕλκοντι διὰ τῶν ἀναπνοῶν τὰς ὀσμάς », φησὶ Πλούταρχος ἐν Ἀρεσκ. Δ, ιζ, 1. Τῷ τοῦ ἐγκεφάλου ἡγεμονικῷ οὐ μόνον ὀσφραίνεσθαι ἀλλὰ καὶ ἀκούειν καὶ ὁρᾶν καὶ αἰσθάνεσθαι Ἀλκμέων ἐδίδασκε. Πρῶτος γὰρ ἔγνω ἁπάσας τὰς αἰσθήσεις πόροις συνηρτῆσθαί πως πρὸς τὸν ἐγκέφαλον, τὸ κεντρικὸν αὐτῶν ὄργανον· καὶ δὴ πρῶτος περὶ τὰς ἀνατομὰς διατρίβων *τοὺς πόρους* ἢ τὰ νεῦρα, δι' ὧν αἱ αἰσθήσεις γίγνονται, ἀνεκάλυψε· πηροῦσθαι δὲ τὰς αἰσθήσεις φησί, τῶν δι' ὧν αἱ αἰσθήσεις πόρων ἐπιλαμβανομένων καὶ βλαπτομένων. Καὶ τίνι δὲ καὶ πῶς τὸ τῶν αἰσθήσεων ἔργον γίγνεται εἴρηκεν οὐ τῷ ὁμοίῳ ἀλλὰ τῷ ἐναντίῳ τὴν αἴσθησιν ποιῶν.

Εἴρηται δὲ περὶ τῶν Ἀλκμέωνος εὑρημάτων καὶ δοξῶν Ἀριστοτέλει τε ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, ε, 6 καὶ Περὶ ψυχῆς Α, 6, 17 καὶ Προβλήμασι ΙΖ, γ καὶ Θεοφράστῳ ἐν τῷ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 25 καὶ Πλουτάρχῳ ἐν τῷ Περὶ τῶν *ἀρεσκόντων* τοῖς φιλοσόφοις Δ, ις, 2. ιζ, 1. ιη, 1 καὶ Γαληνῷ 19, 309. 310. 331 καὶ ἀλλαχοῦ καὶ Ψευδογαληνῷ καὶ Στοβαίῳ καὶ Διογένει Λαερτίῳ Η, ε, 83 καὶ ἄλλοις.

Ὃ δ' ἡμῖν κυρίως μέλει ἐνταῦθά ἐστι, πῶς καὶ τίνι Ἀλκμέων τὰς αἰσθήσεις καὶ κυρίως τὴν ὅρασιν καὶ ἀκοὴν γίγνεσθαι ᾤετο. Θεόφραστος σαφῶς τὰς Ἀλκμέωνος δόξας ἐκτίθεισιν ἐν τῷ *Περὶ αἰσθήσεως* 25· « Τῶν δὲ μὴ τῷ ὁμοίῳ ποιούντων τὴν αἴσθησιν Ἀλκμέων μὲν » πρῶτον ἀφορίζει τὴν πρὸς τὰ ζῷα διαφοράν· ἄνθρωπον γάρ φησι » τῶν ἄλλων διαφέρειν, ὅτι μόνον ξυνίησι· τὰ δ' ἄλλα αἰσθάνεται » μέν, οὐ ξυνίησι δέ, ὡς ἕτερον ὂν τὸ φρονεῖν καὶ αἰσθάνεσθαι καὶ

» οὐ, καθάπερ Ἐμπεδοκλῆς, ταὐτόν. Ἔπειτα περὶ ἑκάστης λέγει·
» ἀκούειν μὲν οὖν φησι τοῖς ὠσί, διότι κενὸν ἐν αὐτοῖς ἐνυπάρχει·
» τοῦτο γὰρ ἠχεῖν· φθέγγεσθαι δὲ τῷ κοίλῳ, τὸν ἀέρα δ' ἀντηχεῖν.
» Ὀσφραίνεσθαι δὲ ῥισὶν ἅμα τῷ ἀναπνεῖν ἀνάγοντα τὸ πνεῦμα πρὸς
» τὸν ἐγκέφαλον. Γλώττῃ δὲ τοὺς χυμοὺς κρίνειν· χλιαρὰν γὰρ οὖσαν
» καὶ μαλακὴν τήκειν τῇ θερμότητι· δέχεσθαι δὲ καὶ διαδιδόναι διὰ
» τὴν μανότητα τῆς ἀπαλότητος. Ὀφθαλμοὺς δ' ὁρᾶν διὰ τοῦ περιέ-
» ὕδατος· ὅτι δ' ἔχει πῦρ δῆλον εἶναι, πληγέντος γὰρ ἐκλάμπειν.
» Ὁρᾶν δὲ τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ὅταν ἀντιφαίνῃ, καί, ὅσῳ
» ἂν καθαρώτερον ᾖ, μᾶλλον. Ἁπάσας δὲ τὰς αἰσθήσεις συνηρτῆ-
» σθαί πως πρὸς τὸν ἐγκέφαλον· διὸ καὶ πηροῦσθαι κινουμένου καὶ
» μεταλλάττοντος τὴν χώραν· ἐπιλαμβάνεσθαι γὰρ τοὺς πόρους, δι'
» ὧν αἱ αἰσθήσεις. Περὶ δὲ ἁφῆς οὐκ εἴρηκεν οὔτε πῶς οὔτε τίνι
» γίνεται ».

Τῆς ὁράσεως ἄρα αἰσθητήριον τοὺς ὀφθαλμοὺς λέγει· πῦρ δὲ τὸν ὀφθαλμὸν ἔχειν φησί, πληγέντος γὰρ ἐκλάμπειν· πυρὸς ἄρα τὴν ὄψιν εἶναι οἴεται, ὡς καὶ Ἐμπεδοκλῆς. Ἀλλὰ πῶς ἂν τὴν ὅρασιν γίγνεσθαι Ἀλκμέωνι δοκοῖ, τοῦτο σαφῶς εἰπεῖν ἀδύνατον· ἐκ δὲ τεκμηρίων ὧν Θεοφράστῳ εἴρηται εἴη ἂν εἰκάσαι ὡς ὧδέ πως ὁρᾶν οἴοιτο. Πῦρ ὁ ὀφθαλμὸς ἐνέχοι, τοῦτο δ' ἐνείη μᾶλλον ὡς εἰκὸς ἐν τῷ *στίλβοντι* καὶ τῷ *διαφανεῖ* ἤτοι ἐν τῷ κρυσταλλοειδεῖ ἢ καὶ ὑαλοειδεῖ· περιέξ δὲ τοῦ πυρὸς ὕδωρ εἴη ἤτοι τὸ ὑδατοειδὲς ὑγρόν, δι' οὗ μέσου ὁρᾷ ὁ ὀφθαλμὸς τῷ στίλβοντι καὶ τῷ διαφανεῖ ὡς διὰ διόπτρας. Τὸ δὲ κύριον τοῦ ὀφθαλμοῦ ὄργανον, ᾧ ὁρᾷ, τὸ στίλβον καὶ τὸ διαφανὲς εἴη καί, ὅσῳ ἂν καθαρώτερον καὶ διαφανέστερον ᾖ τοῦτο, τοσούτῳ καὶ ἡ ὄψις ὀξυτέρα. Πῶς δ' ὁ ὀφθαλμὸς τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ἐν ᾧ τὸ πῦρ, ὁρᾷ; « *ὅταν ἀντιφαίνῃ* » φησί· τοῦτο δὲ διττῶς ἄν τις ἑρμηνεύσειεν· οἷον πρῶτον μὲν ὁρᾶν ἡμᾶς τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ὅταν ἀντιφάνεια ἀπὸ τῶν ὁρατῶν γένηται καθ' ἅπερ ἀπὸ κατόπτρου, ἤτοι ὅταν ἐκ τοῦ στίλβοντος καὶ τοῦ διαφανοῦς, ἐκ τοῦ ὑαλοειδοῦς καὶ κρυσταλλοειδοῦς, πῦρ ἐπὶ τὰ ὁρώμενα ἐξίῃ καὶ ἀπὸ τούτων ἀνταυγάζῃ καὶ ἀντιφαίνῃ καὶ ἀντιλάμπῃ καὶ ἀνταναklᾶται εἰς τὸ στίλβον καὶ διαφανὲς ὑποστρέφων. Ἐξιόντος ἄρα τοῦ πυρὸς ἐπὶ τὰ ὁρώμενα, αὖθις δ' ἐς τὸν ὀφθαλμὸν ὑποστρέφοντος ἀπὸ τῶν ὁρατῶν, ἃ ἐναντία τῇ ὄψει τυγχάνουσι, τὸ ὁρᾶν

γίγνεσθαι. Δευτέρα δ' ἡ καὶ πιθανοτέρα ἑρμηνεία ἥδ' ἂν εἴη· ὁρᾶν ἡμᾶς τῷ στίλβοντι καὶ τῷ διαφανεῖ, ὅταν ἀντιφάνεια, ἀνταύγεια, ἀπὸ τούτων ἐπὶ τὰ ὁρατὰ γένηται, ἤτοι ὅταν ἡ ἀπὸ τοῦ ὁρατοῦ ἀπορροή, ἡ ἐναντία τῇ τῆς ὄψεως φύσει ἐστί, ἐπὶ τοῦ ὄμματος δράσῃ, ἀπὸ δὲ τοῦ στίλβοντος καὶ τοῦ διαφανοῦς ἀντιφάνεια καὶ ἀνταύγεια ἐπὶ τὸ ὁρατὸν γένηται, πυρὸς ἀπὸ τοῦ ὄμματος ἐξιόντος. Αὕτη, ἔμοιγε δοκεῖ, ἡ ὀπτικὴ ἂν εἴη θεωρία Ἀλκμέωνος.

Περὶ Ἡρακλείτου (535-475). Ἡράκλειτος ὁ Ἐφέσιος φιλόσοφος τὴν ἀδιάλειπτον καὶ ταχυτάτην τῶν ὄντων μεταβολήν, αὐτὸ τὸ γίγνεσθαι καὶ οὐ τὸ εἶναι, ἀρχὴν ὑπέθετο τῶν ὄντων· «πάντα γίγνεσθαί τε καὶ ῥεῖν, εἶναι δὲ παγίως οὐθέν» κατ' Ἀριστοτέλη Περὶ οὐρανοῦ Γ, α, 3. Στοιχεῖον δὲ τῆς ἀεννάου ταύτης μεταβολῆς τῶν ὄντων ἓν τὸ *ἀείζωον πῦρ* οἴεται εἶναι Ἀπ. 27, ἐξ οὗ τὰ πάντα γίγνεται ἀραιώσει καὶ πυκνώσει καὶ ἐς ὃ τὰ πάντα ἀεννάως μεταβάλλει· «καὶ ἐκ πάντων ἓν καὶ ἐξ ἑνὸς πάντα» φησὶν Ἀπ. 45, ἤτοι ἐκ πάντων πῦρ καὶ ἐκ πυρὸς πάντα γίγνεται.

Ἀπατῶσιν ἄρα αἱ αἰσθήσεις καὶ ψευδῶς τὸ εἶναι καὶ οὐ τὸ γίγνεσθαι διδάσκουσι, φησί· «κακοὶ μάρτυρες ἀνθρώποισι ὀφθαλμοὶ καὶ ὦτα βαρβάρους ψυχὰς ἐχόντων» Ἀπ. 23. Οὐδεμία ἄρα ἀπὸ τῶν αἰσθήσεων γνῶσις ἀληθὴς εἴη, τῶν αἰσθητῶν ἀεννάως καὶ ἐν τῷ ἅμα συνισταμένων τε καὶ ἀπολειπόντων ἐκ πυρὸς εἰς πῦρ. Μόνον δὲ τὸ ἀείζωον πῦρ, ἐξ οὗ καὶ εἰς ὃ πάντα, τοῦτο τὸ μόνον ἀληθές, ἡ μόνη ἀληθὴς γνῶσις εἴη, ἣν ὁ νοῦς ἡ τῷ ἀειζώῳ πυρὶ ὁμοούσιος ψυχὴ ξυνίησι. Φαινόμενα δὲ μόνα οἴεται τῇ αἰσθήσει ληπτὰ εἶναι, τὴν δ' ὑπὸ ταῦτα ἀφανῆ τῶν ὄντων ἀληθῆ οὐσίαν, τὸ ἀείζωον πῦρ, τὸν αἰώνιον τοῦ κόσμου νόμον, τὴν ἀδιάλειπτον μεταβολὴν οὐ τῇ αἰσθήσει μόνῃ ἀλλὰ τῷ νῷ ἐκ τῶν τῇ αἰσθήσει φανερῶν κατανοητέον· «οἱ δὲ ἄνθρωποι, φησίν, ἐκ τῶν φανερῶν τὰ ἀφανέα σκέπτεσθαι οὐκ ἐπίστανται» Ἀπ. 96· ὥστε τὴν αἴσθησιν ἀπολύτως ἀναγκαίαν ἡγεῖται πρὸς τὴν τῶν φαινομένων, τῶν *φανερῶν*, ἀντίληψιν, ἐξ ὧν ὁ νοῦς τὴν ἀφανῆ ἀλήθειαν ξυνίησιν. Αἴσθησις ἄρα ἔννους ἀλήθειαν διδάσκει, αἴσθησις δ' ἄνους τὸ ψεῦδος καὶ τὴν πλάνην.

Πρώτην δὲ κατὰ τὴν ἀκρίβειαν καὶ ἀξίαν αἴσθησιν τὴν ὅρασιν λέγει, δευτέραν δὲ τὴν ἀκοήν, ὡς Πολύβιός φησι IB,27· «ὀφθαλμοὶ γὰρ τῶν ὤτων ἀκριβέστεροι μάρτυρες» καὶ ἐν Ἀπ. 94 «ὅσων ὄψις,

ἀκοή, μάθησις, ταῦτα ἐγὼ προτιμέω». Γίγνεσθαι δὲ τὴν αἴσθησιν οὐ τῷ ὁμοίῳ ἀλλὰ τῷ ἐναντίῳ ἡγεῖται Ἡράκλειτος, καθ' ἅπερ καὶ Ἀλκμέων καὶ οἱ περὶ Ἀναξαγόραν, ὡς Θεόφραστός φησιν ἐν τῷ *Περὶ αἰσθήσεως* 2· «οἱ δὲ (περὶ Ἀναξαγόραν καὶ Ἡράκλειτον) τὴν » αἴσθησιν ὑπολαμβάνοντες ἐν ἀλλοιώσει γίνεσθαι, καὶ τὸ μὲν ὅμοιον » ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου, τὸ δ' ἐναντίον παθητικόν, τούτῳ προσέθε- » σαν τὴν γνώμην· ἐπιμαρτυρεῖν δ' οἴονται καὶ τὸ περὶ τὴν ἁφὴν » συμβαῖνον· τὸ γὰρ ὁμοίως τῇ σαρκὶ θερμὸν ἢ ψυχρὸν (οὐ) ποιεῖν » αἴσθησιν». Ἡ αἴσθησις ἄρα ἀλλοίωσις καὶ πάθος τοῦ αἰσθητηρίου ἐστί, τῇ ἐπιδράσει τοῦ ἐκτὸς ὄντος, τοῦ αἰσθητοῦ, γιγνόμενον, οἴεται Ἡράκλειτος. Ἐπεὶ δὲ τὸ μὲν ὅμοιον ἀπαθὲς ὑπὸ τοῦ ὁμοίου, τὸ δὲ ἐναντίον παθητικὸν ὑπελάμβανεν, ἤτοι τῷ ἐναντίῳ τὴν αἴσθησιν γίγνεσθαι ᾤετο, ἕπεται ἄρα ὅτι ἕκαστον αἰσθητήριον ἀλλοιοῦται, πάσχει, αἰσθάνεται μόνῃ τῇ ἐπιδράσει αἰσθητοῦ ἐναντίου τῇ φύσει τοῦ αἰσθητηρίου. Τίνα δ' ἐν τοῖς καθ' ἕκαστα ὀπτικὴν καὶ ἀκουστικὴν θεωρίαν ἐνόμιζεν Ἡράκλειτος, καὶ ὅπως τὰ τῆς ὄψεως καὶ ἀκοῆς φαινόμενα ἐν τοῖς καθ' ἕκαστα ἐξηγεῖτο, οὐκ ἴσμεν· *θυρίσι* δὲ τὰς αἰσθήσεις παρομοιάζει, δι' ὧν ὁ νοῦς, ἡ ὁμοούσιος τῷ ἀειζῴῳ πυρὶ ψυχή, προκύπτουσα, τῆς ἐν τῷ κόσμῳ ψυχῆς καὶ τοῦ ἐν τῷ παντὶ λόγου κοινωνεῖ, καὶ οὕτω ἡ ἐν τῷ ἀνθρώπῳ ψυχὴ γιγνώσκει τὴν ἐν τῷ παντὶ ψυχὴν (τὸ *ἀείζωον πῦρ*), ἐξ ἧς ἀπεσπάσθη, ὁ ἐν τῷ νῷ λόγος γινώσκει τὸν ἐν τῷ παντὶ κρατοῦντα καὶ καθ' ὃν τὰ πάντα κυβερνῶνται λόγον, οὗ μέρος ἐστί, ὥς φησι Σέξτος πρὸς Μαθ. 7, 130. Τὴν μὲν ἄρα αἴσθησιν τῷ ἐναντίῳ, τὴν δὲ γνῶσιν καὶ νόησιν τῷ ὁμοίῳ γίγνεσθαι οἴεται Ἡράκλειτος· «τὸ δὲ κινούμενον κινουμένῳ γινώσκεσθαι», ὥς φησιν Ἀριστοτέλης ἐν τῷ *Περὶ ψυχῆς* Α, 6. Κλειομένων δ', ὡς ἐν ὕπνοις τῶν θυρίδων τούτων, ἤτοι τῶν αἰσθητηρίων, ὁ νοῦς, ἡ ψυχή, οὐ συνίησιν, οἴεται, ἐπεὶ οὐ κοινωνεῖ τῆς ἐν τῷ παντὶ ψυχῆς, ἧς μέρος αὐτή ἐστί· διὸ καὶ ἐν μὲν ὕπνοις ληθαίους, κατὰ δὲ ἔγερσιν πάλιν ἔμφρονας τοὺς ἀνθρώπους γίγνεσθαί φησι.

Περὶ δὲ τῆς ἀξίας, ἣν τῇ αἰσθήσει Ἡράκλειτος ἀποδίδωσι καὶ περὶ τῆς κατ' αἴσθησιν ἐμπειρίας, ἐξ ἧς τὸ φιλοσοφικὸν αὐτοῦ ἠρύσατο δόγμα, Εὐαγγελίδης πάνυ ὀρθῶς τάδε λέγει ἐν Ἱστορίᾳ τῆς θεωρίας τῆς γνώσεως 74· «ὅτι, τὸ διορατικὸν ὄμμα καὶ ἡ ἰσχυρὰ διάνοια τοῦ Ἡρακλείτου ἐκ τῆς παρατηρήσεως τῶν καθ' ἕκαστα καὶ

τῆς τούτων τῷ νῷ ἐπισκέψεως ἀνήχθη εἰς δογματικὸν σύστημα, ἐφ' ᾧ σταθερῶς ἔπειτα ἐρείσας πόδα ἀπελάκτισε τὴν κλίμακα, δι' ἧς ἀνήχθη, ἀποκηρύξας ὡς ψευδῆ καθ' ἑαυτὴν τὴν ὡς ἀφετηρίαν μὲν αὐτῷ χρησιμεύσασαν ἀλλὰ πρὸς τὰ πορίσματ' αὐτοῦ διαμαχομένην κατ' αἴσθησιν ἐμπειρίαν».

Περὶ Ἐμπεδοκλέους (495-435). Ἐμπεδοκλῆς ἐξ Ἀκράγαντος ἰατρὸς ἅμα καὶ φιλόσοφος καὶ μάντις, ῥήτωρ καὶ ποιητής, υἱὸς ἐγένετο Μέτωνος, ὡς Διογένης ἐν βίῳ Ἐμπεδοκλέους φησὶ Η, 50. Ἐμπεδοκλῆς καὶ ἄλλοι σοφισταὶ ἢ ἰατροὶ περὶ φύσεως γεγράφασιν ἐξ ἀρχῆς ὅ τι ἐστὶν ἄνθρωπος καὶ ὅπως ἐγένετο πρῶτον καὶ ὅπως συνεπάγη, ὡς Ἱπποκράτης ἐν τῷ *Περὶ Ἀρχαίης Ἰητρικῆς* φησι 20. Ι, 620. Ἃ δὲ περὶ φύσεως αὐτοῖς γέγραπται ἧττον νομίζει Ἱπποκράτης τῇ ἰατρικῇ τέχνῃ προσήκειν ἢ τῇ γραφικῇ. Ἔγραψε δὲ καὶ *ἰατρικοὺς* λόγους καὶ δύο ἐπιγράμματα εἰς τὸν Ἀσκληπιάδην Παυσανίαν καὶ τὸν ἰατρὸν Ἄκρωνα Ἀκραγαντῖνον.

Ἐκ τεττάρων στοιχείων, ἃ ῥιζώματα ὀνομάζει, *πυρός*, *γῆς*, *ἀέρος*, *ὕδατος*, τὰ πάντα γίγνεσθαι Ἐμπεδοκλῆς φησι 59·

> Τέσσαρα τῶν πάντων ῥιζώματα πρῶτον ἄκουε,
> πῦρ καὶ ὕδωρ καὶ γαῖαν ἰὸ' αἰθέρος ἄπλετον ὕψος·
> ἐκ γὰρ τῶν ὅσα τ' ἦν ὅσα τ' ἔσσεται ὅσσα τ' ἔασιν.

Ἐκ τούτων δὲ τῶν στοιχείων καὶ τὸν ἄνθρωπον καὶ τὰ αὐτοῦ αἰσθητήρια συνεστηκέναι 128. Δύο δὲ δυνάμεις ἀλλήλαις περὶ τὸ κράτος ἀντιμάχεσθαι· τὸ μὲν *ἡ φιλότης ἢ στοργὴ ἢ ἁρμονία*, ἃ τὰ στοιχεῖα συμφέρει καὶ συμφιλιοῖ καὶ συνδέει καὶ ἢ ὅπῃ ἂν κρατῇ τὴν τῶν ὄντων γέννησιν παράγει ἀλλὰ μὴν καὶ πᾶσαν αἴσθησιν καὶ γνῶσιν (τῷ γὰρ ὁμοίῳ πᾶσαν αἴσθησιν καὶ γνῶσιν ποιεῖ), τὸ δὲ τὸ *νεῖκος* ἢ ὁ *κότος*, ὃ τὰ μόρια ἀπ' ἀλλήλων διαχωρίζει καὶ ὅπῃ ἂν κρατῇ φθορὰν συνεπάγει τῶν ὄντων.

Ἁπάσας δὲ τὰς αἰσθήσεις Ἐμπεδοκλῆς ὁμοίως γίγνεσθαι οἴεται· ἀπὸ τῶν αἰσθητῶν ἀπορρέειν *ἀπορροάς*, ταύτας δ' ἐναρμόττειν τοῖς συμμέτροις αὐταῖς πόροις ἑκάστου τῶν αἰσθητηρίων καὶ οὕτω γίγνεσθαι τὰς κατὰ μέρος αἰσθήσεις. Τὸ δὲ τῆς ὄψεως αἰσθητήριον πυρὸς εἶναι νομίζει, ὃ ἐν τοῖς τοῦ ὀφθαλμοῦ ὑμέσι καθείργεται, τὴν κόρην λοχῶμενον· ὁρᾶν δέ, ὁτὲ μὲν ἐξιόντος ὥσπερ ἐκ λαμπτῆρος τοῦ ἐν τῇ κόρῃ πυρός, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρωμένων, ὡς Ἀρι-

στοτέλης φησὶν ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 6'. 3, 477, 50. Καὶ τὰ μὲν γλαυκὰ ὄμματα μᾶλλον πυρώδη ὑπολαμβάνει καὶ διὰ τοῦτο ἡμέρας οὐκ ὀξὺ βλέπειν δι' ὑπερβολὴν μὲν τοῦ ἐντὸς πυρός, δι' ἔνδειαν δ' ὕδατος· τὰ δὲ μέλανα πλεῖον ὕδατος ἔχειν ἢ πυρὸς καὶ διὰ τοῦτο νύκτωρ δι' ἔνδειαν πυρὸς οὐκ ὀξυωπά. Τοὺς μὲν ἄρα γλαυκομμάτους νύκτωρ ὀξὺ ὁρᾶν οἴεται, τοὺς δὲ μελανομμάτους ἡμέρας, καθ' ἃ Ἀριστοτέλης λέγει ἔν τε τῷ Περὶ ζῴων γενέσεως Ε, α. 3, 416, 23 καὶ ἐν Προβλήμασι ΙΔ, 14.

Θεόφραστος δ' ἐκτενῶς καὶ λεπτομερῶς ἐκτίθησι τὴν Ἐμπεδοκλέους ὀπτικὴν θεωρίαν, καθ' ἅπερ καὶ τὴν ἀκουστικὴν καὶ τὴν περὶ τῶν ἄλλων αἰσθήσεων, οὐ μὴν ἀλλὰ καὶ ἐλέγχει ταύτας ἰσχυροὺς ἐπάγων λόγους ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 7-25.

Κατὰ γὰρ Θεόφραστον Ἐμπεδοκλῆς οἴεται ἁπάσας τὰς αἰσθήσεις γίγνεσθαι τῷ ἐναρμόττειν εἰς τοὺς πόρους τοὺς ἑκάστης τὸ αἰσθητόν, τῆς ἀπὸ τῶν σωμάτων ἀπορροῆς σύμμετρα μόρια τοῖς ἑκάστης αἰσθήσεως πόροις ἐχούσης. Διαφόρους δὲ τὸ ποιὸν αἰσθήσεις ὑπάρχειν καὶ οὐ δύνασθαι τὰ ἀλλήλων κρίνειν ὅτι καὶ οἱ πόροι αὐτῶν διάφοροι τυγχάνουσιν ὄντες τῶν μὲν εὐρύτεροι τῶν δὲ στενώτεροι πρὸς τὸ αἰσθητόν, ὥστ' εἰ μὲν λεπτομερέστερα τῶν πόρων αἰσθητηρίου τινὸς εἴη τὰ μόρια τὰ ἀπὸ τοῦ αἰσθητοῦ ἀπορρέοντα, οὐχ ἁπτόμενα διικνεῖσθαι, εἰ δ' ἀδρότερα πρὸς τοὺς πόρους, ὅλως εἰσελθεῖν οὐ δύνασθαι. Μόνα ἄρα τὰ σύμμετρα τοῖς πόροις ἑκάστης αἰσθήσεως μόρια τὰ ἀπὸ τῶν σωμάτων ἐναρμόττοντα αὐτοῖς καὶ τὰ ὅμοια τοῖς ὁμοίοις συμμιγνύμενα τὰς κατὰ μέρος αἰσθήσεις ποιεῖν οἴεται Ἐμπεδοκλῆς.

Τὴν δὲ κοινὴν πάσαις ταῖς αἰσθήσεσι θεωρίαν ὅτι τῷ συναρμόττειν τοὺς πόρους καὶ τὰς ἀπορροὰς αἴσθησίς ἐστιν καὶ τῇ ὄψει ἐφαρμόσαι πειρᾶται· λέγει γὰρ τοὺς ὀφθαλμοὺς πυρὸς καὶ ὕδατος εἶναι, ἐναλλὰξ δὲ τοὺς πόρους τοῦ πυρὸς καὶ τοῦ ὕδατος τετάχθαι, ὑπὸ σκληρῶν δὲ καὶ λεπτῶν ὑμένων ταῦτα περιβάλλεσθαι, οἷ τὸ μὲν ὕδωρ ἀποστέγουσι, τὸ δὲ πῦρ δι' αὐτῶν ὡς ἀπὸ λαμπτῆρος διιέναι ἐῶσι. Δοκεῖ δὲ λέγειν τὸ μὲν ἐντὸς τοῦ ὀφθαλμοῦ *πῦρ* εἶναι καὶ *ὕδωρ* καὶ πῦρ μόνον ὥς φησι Θεόφραστος (οὐ γὰρ ἂν ἄλλως ἐναλλὰξ οἱ πόροι τούτων ἔκειντο) τὸ δὲ περὶ αὐτὰ *γῆν* καὶ *ἀέρα*· ἐπεὶ δὲ τὸ περὶ τὸ πῦρ καὶ τὸ ὕδωρ αἱ *μήνιγγες* καὶ αἱ *λεπταὶ ὀθόναι* εἰσίν, αἷ τὸ μὲν περικεχυμένον ὕδωρ ἀποστέγουσι, τοῦ δὲ πυρὸς τὸ λεπτότατον πρὸς

τὸ ἔξω διιέναι ἐῶσι καθ' ἅπερ τὸ ἐν τοῖς λαμπτῆρσι φῶς, ἔπεται ὅτι τοὺς ὑμένας τούτους ἐκ γῆς καὶ ἀέρος συνίστασθαι ᾠετο. Τοιαύτης δὲ τῆς ὄψεως οὔσης, ἀπορροῆς δ' ἀπὸ τῶν ὁρατῶν γιγνομένης, φέρεσθαι πρὸς τὴν ὄψιν τὰ σύμμετρα αὐτῇ μόρια ἤτοι τὰ χρώματα καὶ τοῖς πυρὸς καὶ ὕδατος πόροις ἐναρμόττοντα τὰ ὅμοια τοῖς ὁμοίοις οὕτω βλέπειν ἡμᾶς. Καὶ τοῖς μὲν τοῦ πυρὸς πόροις τὰ λευκὰ χρώματα τοῖς δὲ τοῦ ὕδατος τὰ μέλανα ὁρᾶν ἡμᾶς· ἐναρμόττειν γὰρ τὰ μὲν λευκὰ τοῖς τοῦ πυρὸς πόροις τὰ δὲ μέλανα χρώματα τοῖς τοῦ ὕδατος. Κεκρᾶσθαι δ' οὐχ ὁμοίως πάντας τοὺς ὀφθαλμοὺς ἐκ τῶν ἐναντίων στοιχείων πυρὸς καὶ ὕδατος, ἀλλὰ τοῖς μὲν ἡ κρᾶσις ἐξ ἴσων τοῖς δὲ ἀσύμμετρος, ἄλλοις μὲν ἐνδείας πυρὸς ἄλλοις δ' ἐνδείας ὕδατος ὑπαρχούσης. Καὶ ὅσοις μὲν τῶν ζῴων ἐξ ἀμφοῖν ἴσων σύγκειται ἡ ὄψις, ταῦτα τὴν βελτίστην ἔχειν ὄψιν καὶ τὴν ἄριστα κεκραμένην καὶ δὴ ἔν τε ἡμέρᾳ καὶ νύκτωρ ὀξυωπεῖν· τῶν δ' ἀσύμμετρον τὴν τῆς ὄψεως κρᾶσιν ἐχόντων ὅσα μὲν πυρὸς ἔνδειαν ἔχει, τὰ *μελανόμματα*, μεθ' ἡμέραν μᾶλλον ὀξὺ ὁρᾶν, ἐπανισουμένου αὐτοῖς τοῦ ἐντὸς ἐλάττονος πυρὸς ὑπὸ τοῦ ἐκτός· ὅσοις δὲ ὕδατος ἔνδεια ὑπάρχει, τοῖς *γλαυκοφθάλμοις*, τούτους νύκτωρ μᾶλλον ὀξυωπεῖν, ἐπαναπληρουμένης καὶ τούτοις τῆς ἐνδείας τοῦ ἐντὸς ὕδατος ὑπὸ τοῦ ἐκτός· τὸ μὲν γὰρ ὅμοιον συναύξειν τὸ δ' ἐναντίον φθείρειν καὶ κωλύειν. Τἀναντία δὲ συμβαίνειν τοῖς μὲν γλαυκομμάτοις μεθ' ἡμέραν τοῖς δὲ μελανομμάτοις νύκτωρ ἀμβλυωπεῖν· οἷς μὲν γὰρ τὸ πῦρ ὑπερέχει ἀμβλυωπεῖν μεθ' ἡμέραν διὰ τὸ ἐνδεὲς τοῦ ὕδατος· ἐπαυξηθὲν γὰρ τὸ ἐντὸς φῶς ὑπὸ τοῦ ἐκτὸς τῆς ἡμέρας (τὸ γὰρ ὅμοιον συναύξειν) ἐπιπλάττειν φησὶ καὶ καταλαμβάνειν τοὺς τοῦ ὕδατος πόρους καὶ τούτου ἕνεκεν οὐκ ὀξὺ ὁρᾶν ἕως ἂν ὑπὸ τοῦ ἔξωθεν ὕδατος (καὶ τοῦτο νύκτωρ) τὸ ἐπιπλάττον πῦρ ἀποκριθῇ (τὸ γὰρ ἐναντίον φθείρειν καὶ κωλύειν)· οἷς δὲ τὸ ὕδωρ ὑπερβάλλει νύκτωρ ἀμβλὺ βλέπειν· ἐμπλάττεσθαι γὰρ καὶ καταλαμβάνεσθαι τοὺς πόρους τοῦ πυρὸς ὑπὸ τοῦ ὕδατος, ἐπαυξηθέντος νύκτωρ ὑπὸ τοῦ ἐκτὸς ὕδατος, ἕως ἂν καὶ τούτοις ὑπὸ τοῦ ἔξωθεν φωτὸς (μεθ' ἡμέραν) ἀποκριθῇ τὸ ὕδωρ.

Αὕτη μὲν οὖν ἡ Ἐμπεδοκλέους ὀπτικὴ θεωρία, ἣν πάνυ δικαίως Θεόφραστος ἐλέγχει ὡς ἀνακόλουθον καὶ οὐκ ἐξηγουμένην πάντα τῆς ὄψεως τὰ πάθη. Ἐμπεδοκλῆς γὰρ οὐ λέγει ἡμῖν εἰ ἐν τοῖς ἐμψύχοις τὸ ἐν τῷ ζῴῳ πῦρ ἢ τὸ ἐκτὸς αἰσθήσεται, ὅταν ἀλλήλοις ἐναρμότ-

τωσιν, οἷς ἥ τε συμμετρία καὶ τὸ ὅμοιον ὑπάρχει, οὔτε πῶς τὸ φαιὸν καὶ τἆλλα χρώματα τὰ μικτὰ ὁρῶμεν· τὸ μὲν γὰρ λευκὸν καὶ τὸ μέλαν οἷόν τε τοῖς ὁμοίοις γνωρίζειν, τὰ δ' ἄλλα οὔτε τοῖς τοῦ πυρὸς πόροις οὔτε τοῖς τοῦ ὕδατος βλέπομεν (τοῖς μὲν γὰρ τὸ λευκὸν τοῖς δὲ τὸ μέλαν γνωρίζομεν), οὔτ' ἄλλους ποιεῖ κοινοὺς ἐξ ἀμφοῖν, οἷς τἆλλα χρώματα ὁρᾶν δύναιτ' ἄν.

Ὡς δὲ Γαληνός φησι 19,307, « Ἐμπεδοκλῆς τοῖς εἰδώλοις τὰς ἀκτῖνας ἀνέμιξε προσαγορεύσας τὸ γιγνόμενον *ἀκτῖνας εἰδώλου συνθέτου*»· οὕτω δὲ τὸ ὁρᾶν γίγνεσθαι ᾤετο· ἤτοι αἱ ἀπὸ τῶν ὀφθαλμῶν ἐξιοῦσαι πυρώδεις ἀκτῖνες ἀνεμίγνυντο τοῖς εἰδώλοις τοῖς ἐκ τῶν πυρωδῶν ἀπορροῶν τῶν ὁρωμένων, τὸ δὲ γιγνόμενον ἐκ τῆς μίξεως ταύτης *ἀκτῖνας εἰδώλου συνθέτου* ἐκάλει, ἐξ οὗ τὸ ὁρᾶν· ἐν πᾶσι γὰρ καὶ παντὶ πῦρ ἔνεστι, τῷ δ' ὁμοίῳ ἡ ὄψις· ὥστε τὸ ἀπὸ τῶν ὁρωμένων ἀπορρέον πῦρ τῷ ἐκ τῶν ὀφθαλμῶν ἐξιόντι πυρὶ συνιστάμενον τὴν ὄψιν ποιεῖν· *αὐγοειδὲς* γὰρ τὸ ὄμμα. Εἰ οὕτω Γαληνὸς ὡς ἔοικε τὴν Ἐμπεδοκλέους ὀπτικὴν θεωρίαν ὑπολαμβάνει, οὐκ ὀρθῶς δοκεῖ λέγειν· αὕτη γὰρ Πλάτωνός ἐστι δόξα· οἱ μὲν γὰρ ἡγοῦνται τὸ ὁρᾶν γίγνεσθαι τῆς ὄψεως ἐξιούσης καὶ ἐπὶ τὰ ὁρώμενα προσπιπτούσης, οἱ δὲ τῷ φέρεσθαι πρὸς τοὺς ὀφθαλμοὺς τὴν ἀπὸ τῶν ὁρατῶν ἀπορροήν· τούτων δ' εἰς τὸ μέσον ἔθετο Πλάτων τὴν ἑαυτοῦ δόξαν λέγων τὴν ὄψιν ἐξιοῦσαν μέχρι τινὸς ἐκ τοῦ ὄμματος συμφύεσθαι τῇ ἀπὸ τῶν σωμάτων συμμέτρῳ ἀπορροῇ ἐν τῷ μέσῳ ὁρῶντος καὶ ὁρωμένου καὶ οὕτως ὁρᾶν ἡμᾶς· Ἐμπεδοκλῆς δὲ κατ' Ἀριστοτέλην ὁτὲ μὲν ἐξιούσης καὶ προσπιπτούσης τῆς ὄψεως ἐπὶ τὸ ὁρώμενον, ὁτὲ δὲ ταῖς ἀπορροίαις ταῖς ἀπὸ τῶν ὁρατῶν βλέπειν ἡμᾶς οἴεται, ἀλλ' οὐκ ἐν τῷ μέσῳ συμφύεσθαι.

Γαληνὸς τὸ τοῦ Ἐμπεδοκλέους 5,627,

> Γαίῃ μὲν γὰρ γαῖαν ὀπώπαμεν, ὕδατι δ' ὕδωρ,
> Αἰθέρι δ' αἰθέρα δῖον, ἀτὰρ πυρὶ πῦρ ἀΐδηλον,

ὧδε ἑρμηνεύει· ὅτι τῇ μὲν γεώδει τὴν φύσιν ἀφῇ τῆς γεώδους φύσεως ἐν τοῖς αἰσθητοῖς αἰσθανόμεθα, τῷ δ' αὐγοειδεῖ τὴν φύσιν ὄμματι τὴν αὐγοειδῆ ἐν τοῖς αἰσθητοῖς φύσιν ὁρῶμεν καὶ τῷ ἀεροειδεῖ τὴν φύσιν αἰσθητηρίῳ τῆς ἀκοῆς τῶν ἰδίων ἀέρος παθημάτων ἀντιλαμβανόμεθα καὶ τῷ τῆς γεύσεως αἰσθητηρίῳ, ὑγρῷ καὶ σπογγοειδεῖ τὴν φύσιν ὄντι, τῶν χυμῶν, ἤτοι τῆς ὑγρᾶς ἐν τοῖς γευστοῖς φύσεως

γευόμεθα. Εἰ δέ τις κυριολεκτικῶς τοῦτ' ἂν ἐξηγήσαιτο, εἰκότως εἴποι ἂν Ἐμπεδοκλέα οἴεσθαι ἐκ τεττάρων στοιχείων *γῆς, ὕδατος, αἰθέρος* καὶ *πυρὸς* τοὺς ὀφθαλμοὺς συγκεῖσθαι, ἑκάστῳ δὲ τῶν τεττάρων τούτων στοιχείων τὸ ὅμοιον αὐτῷ ὁρᾶν, ὃ οὐκ ἀπίθανον, ἔμοιγε δοκεῖ. Πρῶτος δ' Ἐμπεδοκλῆς καὶ τὴν φυσιολογικὴν παρατήρησιν ποιεῖται, ὅτι ἀμφοτέρων τῶν ὀφθαλμῶν μία ὄψις γίγνεται, ὅτι οὐ διπλᾶ ὁρῶμεν καὶ περ δύο ἔχοντες ὄμματα 371·

(ὀφθαλμῶν) μία γίγνεται ἀμφοτέρων ὄψ.

Χρῶμα δ' Ἐμπεδοκλῆς ἐκάλει τὸ *τοῖς πόροις* τῆς ὄψεως ἐναρμόττον, ὡς Γαληνός φησι 19,258. Τὰς δὲ κατοπτρικὰς ἐμφάσεις ᾤετο γίγνεσθαι Ἐμπεδοκλῆς κατ' *ἀπορροίας* ἐκ τῶν κατοπτριζομένων ὄντων, αἱ ἐπὶ τῆς ἐπιφανείας τοῦ πυρώδους τὴν φύσιν κατόπτρου συνίστανται, τελειοῦνται δ' ὑπὸ τοῦ ἐκκρινομένου ἐκ τοῦ κατόπτρου πυρός, ὃ καὶ τὸν προκείμενον ἀέρα εἰς ὃν αἱ ἀπόρροιαι φέρονται συμμεταφέρει, ὡς Γαληνός φησι 19,307 καὶ Πλούταρχος ἐν τῷ Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις Δ, ιδ, 1.

Περὶ Ἀτομικῶν Λευκίππου (περὶ τὸ 500) καὶ Δημοκρίτου (460-357) τῶν Ἀβδηριτῶν. Λεύκιππος ἐπὶ Ἐμπεδοκλέους καὶ Ἀναξαγόρου γεγονὼς πρῶτος τυγχάνει ὢν εὑρετὴς τῆς *τῶν ἀτόμων θεωρίας*, ἣ καὶ παρὰ τοῖς καθ' ἡμᾶς φυσιολόγοις κρατεῖ. Δημόκριτος δ' ὁ Λευκίππου μαθητὴς ἐμβριθέστερον καὶ σαφέστερον τὸ φυσιολογικὸν τοῦτο σύστημα ἀνέπτυξε περὶ τῆς ἐξηγήσεως ἁπάντων μεριμνήσας, πολλὰ δὲ καὶ σπουδαῖα συνέγραψεν ἰατρικά τε μαθηματικά τε φυσικά τε, ἀλλὰ καὶ ἠθικὰ καὶ καλολογικὰ καὶ γραμματικὰ καὶ τεχνικά, οὐ μὴν ἀλλὰ καὶ ὀπτικὰ καὶ περὶ εἰδώλων, ὡς Διογένης φησὶ Θ,ζ,46-49.

Στοιχεῖα δὲ καὶ ἀρχὰς τῶν ὄντων Λεύκιππός τε καὶ Δημόκριτος τὸ *πλῆρες* καὶ τὸ *κενὸν* εἶναί φασιν, τούτων δὲ τὸ μὲν πλῆρες καὶ στερεὸν *τὸ ὄν* λέγουσι, τὸ δὲ κενὸν καὶ μανὸν *τὸ μὴ ὄν*, ὥς φησιν Ἀριστοτέλης ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, δ, ἢ κατὰ Πλούταρχον τὸ μὲν σῶμα ὀνομάζει Δημόκριτος *δέν*, τὸ δὲ κενὸν *μηδὲν* Ἠθ. 1109a. Ἀμφότερα δὲ τὰ ὑλικὰ ταῦτα στοιχεῖα *τό τε ὂν ἢ δὲν ἢ πλῆρες* καὶ *τὸ μὴ ὂν ἢ μηδὲν ἢ κενὸν αἴτια* εἶναί φασι *τῶν ὄντων ὡς ὕλην. Τὸ δ' ὂν ἢ πλῆρες* εἶναι οὐχ ἕν, ἀλλ' ἀπείρους τὸ πλῆθος καὶ ἀοράτους διὰ σμικρότητα καὶ ἀποίους *ἀτόμους*, αἳ ἐν τῷ κενῷ φέρονται. Τὰ δ' ἐν τῷ κενῷ ταῦτα *ναστά, στερεά, ἄτομα, σχή-*

ματα συνιστάμενα μὲν (συγκρίσει) *γένεσιν* ποιεῖν τῶν ὄντων, διαλυόμενα δὲ (διακρίσει) *φθοράν*, τάξιν δὲ καὶ θέσιν μεταβάλλοντα *ἀλλοίωσιν*· ὥστε γένεσιν μὲν συγκρίσει, φθορὰν δὲ διακρίσει, ἀλλοίωσιν δὲ τάξει καὶ θέσει ποιοῦσι Δημόκριτος καὶ Λεύκιππος. Τρεῖς δὲ τοῦ *ὄντος* διαφορὰς εἶναί φασι, σχῆμά τε καὶ τάξιν καὶ θέσιν· καὶ τὸ μὲν σχῆμα *ῥυσμὸν* λέγουσιν, *διαθιγὴν* δὲ τὴν τάξιν καὶ *τροπὴν* τὴν θέσιν. Κατὰ ταύτας δὲ *τοῦ ὄντος* τὰς τρεῖς διαφορὰς τὰ παμπληθῆ ἐν τῷ κενῷ ἄτομα ποικίλως συνιστάμενα καὶ διαλυόμενα καὶ τασσόμενα καὶ τιθέμενα γένεσίν τε καὶ φθορὰν καὶ ἀλλοίωσιν ποιεῖν φασιν· ὥστε διάφορα τὸ σχῆμα ἄτομα ἕκαστα τοῖς ὁμοιοσχήμοσι συνιστάμενα ἕτερον ἑτέρου διάφορον ὂν ποιεῖν, καὶ τὸ ὁμοιομερῶς συγκείμενον ὂν εἰ τὰ ἄτομα εἴτε τάξει εἴτε θέσει μεταβάλλοι (τοῦ τε ἀριθμοῦ τῶν ἀτόμων καὶ τοῦ σχήματος τῶν αὐτῶν μενόντων) τὸ αὐτὸ ἐναντίον δοκεῖν ἄλλῳ καὶ ἄλλῳ, καὶ μετακινεῖσθαι εἰ ἕτερα ἄτομα ἐμμιχθείη, καὶ ὅλως ἕτερον φαίνεσθαι εἰ ἓν ἄτομον μετακινηθείη. Τὴν δὲ τῶν ἀτόμων κίνησιν *δίνην* ἔλεγον, γίγνεσθαι δὲ ἀνάγκῃ ἢ εἱμαρμένῃ δι' ἀντιτυπίας καὶ ἀλληλοτυπίας. Ὡς δὲ πάντα τὰ ὄντα ἐξ ἀτόμων ὑλικῶν συνεστηκέναι, οὕτω καὶ τὴν ἐν τῷ ἀνθρώπῳ ψυχήν, τὴν τοῦ αἰσθάνεσθαι καὶ νοεῖν ἀρχήν, ἐξ ἀτόμων ὑλικῶν ἀλλὰ λεπτοτάτων καὶ λειοτάτων καὶ εὐκινητοτάτων σφαιροειδῶν τὸ σχῆμα καὶ πυρωδῶν τὴν φύσιν συγκεῖσθαί φησι Δημόκριτος. Ὅπῃ δὲ δύο σωματικὰ ἄτομα, ἐκεῖ καὶ ἓν σφαιροειδὲς καὶ πυρῶδες ψυχικὸν ἄτομον παρεντεθειμένον εἶναί φησι· πανταχοῖ ἄρα τοῦ σώματος πυρώδη καὶ στρογγύλα ψυχικὰ ἄτομα, ἐν παντὶ ἄρα τοῦ σώματος μορίῳ ψυχὴν ὑπάρχειν· τὴν δὲ σωματικὴν ταύτην ψυχὴν παντὶ μὲν τῷ σώματι αἰσθάνεσθαι, μάλιστα δὲ τοῖς ἐπὶ τούτῳ αἰσθητηρίοις. Αὕτη περίπου ἡ τῶν ἀτόμων θεωρία Λευκίππου τε καὶ τοῦ δαιμονίου αὐτοῦ ἑταίρου Δημοκρίτου, ἐξ ὧν εἴρηται Ἀριστοτέλει ἐν τῷ *Περὶ γενέσεως καὶ φθορᾶς* Α, 8 καὶ η καὶ ἐν τοῖς *Μετὰ τὰ φυσικὰ* Α,δ καὶ ἐν τῷ *Περὶ ψυχῆς* Α,6,γ,ε καὶ ἀλλαχοῦ.

Τοιαύτης οὖν οὔσης τῆς τῶν ἀτόμων θεωρίας, φέρε νῦν ἴδωμεν πῶς Δημόκριτος τὴν αἴσθησιν καὶ τὴν νόησιν ποιεῖ. Ὡς Ἐμπεδοκλῆς καὶ Ἀλκμέων, οὕτω καὶ Δημόκριτος τῷ ὁμοίῳ τήν τ' αἴσθησιν καὶ τὴν γνῶσιν ποιεῖ· τό τε αἰσθάνεσθαι καὶ νοεῖν τῷ ἀλλοιοῦσθαι τοῖς ὁμοίοις ποιεῖ. Ἐπεὶ δὲ πᾶσα ἀλλοίωσις ἢ ἑτεροίωσις τῶν αἰσθη-

τηρίων τῇ μεταβολῇ εἴτε τάξει εἴτε θέσει τῶν ἀτόμων αὐτῶν γίγνεται, ἡ δ' ἀλλοίωσις καὶ μεταβολὴ αὕτη τῇ μηχανικῇ ἐπιδράσει καὶ ἀλληλοπαθείᾳ ὁμοίων καὶ ὁμοιοσχημόνων ἀτόμων ἐπιτελεῖται, ἔπεται ἄρα ὅτι Δημοκρίτῳ δύο τινὰ πρὸς τὸ αἰσθάνεσθαι ἀναγκαῖα εἶναι δοκεῖ, ὁ ἀπὸ τῶν αἰσθητῶν μηχανικὸς ἐρεθισμὸς διὰ τῶν ἀπολυομένων ὑλικῶν ἀπορροῶν, ἤτοι ἡ ἐκ τῶν ἀπορροῶν δρᾶσις, καὶ τὸ ἐκ τῆς ἐπιδράσεως τῶν ὁμοίων καὶ ὁμοιοσχημόνων ἀτόμων τῶν ἀπορροῶν πάθος ἢ ἀλλοίωσις τῶν αἰσθητηρίων, καὶ δὴ καὶ ὡς πάντα τὰ αἰσθητὰ ἁπτὰ ποιεῖ καὶ τῶν αἰσθήσεων ἑκάστην οἱονεί *ἁφήν* τινα. Ἐκ τῶν αἰσθητῶν δὲ ὁμοιοσχήμονες αὐτοῖς ἀπολύονται ἀπορροαί, ἃς *εἴδωλα* καὶ *δείκελα* τῶν πραγμάτων λέγει Δημόκριτος. Τὰ δείκελα δὲ οὐ μόνον τὸ ἔξω τῶν αἰσθητῶν σχῆμα ἔχειν οἴεται, ἀλλὰ καὶ ἐμφάσεις τῆς ἔσω αὐτῶν καταστάσεως συναποφέρειν, ἐπὶ δὲ ζώων καὶ ἐμφάσεις τῶν ψυχικῶν φρονημάτων καὶ βουλευμάτων καὶ ἠθῶν καὶ παθῶν καὶ πάντων τῶν κατὰ τὴν ψυχὴν κινημάτων ἑκάστου. Τὰ εἴδωλα δὲ ταῦτα δίκην ὄντων ἐμψύχων ἐν τῷ ἀέρι ἄπειρα τὸ πλῆθος φερόμενα ἐν αὐτῷ οἱονεὶ ἐκμάγματα ἀποτυποῦν ἑαυτῶν, τὰ δὲ τῶν εἰδώλων ἐν τῷ ἀέρι ἀποτυπώματα, τὰ ὁμοιοσχημονοῦντα ἑκάστῃ αἰσθήσει, φερόμενα προσπίπτειν τῷ σώματι καὶ διὰ τῶν πόρων τοῖς ὁμοίοις τῆς σωματικῆς ψυχῆς ἀτόμοις ἑνούμενα (ἔστι γὰρ καὶ τοῖς εἰδώλοις καὶ τοῖς ἐν τῷ ἀέρι ἀποτυπώμασι τῶν εἰδώλων στρογγύλα καὶ πυρώδη ψυχικὰ ἄτομα ἀπὸ τῶν αἰσθητῶν ἀπορρέοντα) τὴν τῶν πραγμάτων αἴσθησιν ποιεῖν· τῆς φορᾶς δ' αὐτῶν ἀκωλύτου καὶ ταχείας δι' ἀέρος λείου γιγνομένης καὶ τῆς ψυχῆς συμμέτρως καὶ ἠρέμως μετὰ τὴν ἐκ τῶν εἰδώλων κίνησιν ἐχούσης, τὸ φρονεῖν γίγνεσθαι καὶ τὰς δόξας καὶ τοὺς διαλογισμοὺς καὶ τὰς ὁρμὰς τῶν ἐξ ὧν τὰ εἴδωλα ζώων ἅμα αἰσθάνεσθαι. Δύο ἄρα εἴδη γνώσεως σαφῶς διακρίνει, τὴν αἴσθησιν, ἣν *σκοτίην γνώμην* ὀνομάζει, καὶ τὴν νόησιν, ἣν *γνησίην* λέγει, ὡς φησι Σέξτος ὁ Ἐμπειρικὸς Πρὸς μαθηματικοὺς 7,139· « Λέγει δὲ κατὰ λέξιν « *γνώμης δὲ δύο εἰσὶν ἰδέαι, ἡ μὲν γνησίη, ἡ δὲ* » *σκοτίη· καὶ σκοτίης μὲν τάδε σύμπαντα, ὄψις, ἀκοή, ὀδμή,* » *γεῦσις, ψαῦσις· ἡ δὲ γνησίη, ἀποκεκριμένη δὲ ταύτης* ». Εἶτα » προκρίνων τῆς σκοτίης τὴν γνησίην ἐπιφέρει λέγων « *ὅταν ἡ σκο-* » *τίη μηκέτι δύναται μήτε ὁρῆν ἐπ' ἔλαττον μήτε ἀκούειν μήτε* » *ὀδμᾶσθαι μήτε γεύεσθαι μήτε ἐν τῇ ψαύσει αἰσθάνεσθαι, ἀλλ'*

» *ἐπὶ λεπτότερον* ». Οὐκοῦν καὶ κατὰ τοῦτον ὁ λόγος ἐστὶ κριτήριον, » ὃν γνησίην γνώμην καλεῖ ».

Καὶ αὕτη μὲν ἐν συνόψει ἡ περὶ αἰσθήσεως καὶ νοήσεως δόξα Δημοκρίτου, ὡς φησιν Ἀριστοτέλης ἐν τῷ *Περὶ γενέσεως καὶ φθορᾶς* Α, ζ καὶ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* β' καὶ δ' καὶ Θεόφραστος ἐν τῷ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 49 καὶ ἑξῆς καὶ Διογένης Θ, 14 καὶ Στοβαῖος ἐν Ἀνθολογίῳ IV,233 καὶ Συμπλίκιος εἰς τὰ Ἀριστοτέλους Φυσικῆς ἀκροάσεως 73 β καὶ Πλούταρχος ἐν Συμποσιακοῖς προβλήμασιν Η, ι, 2 καὶ ἄλλοι.

Φέρε δὲ νῦν εἴπωμεν τίς ἡ ὀπτικὴ θεωρία Δημοκρίτου, ἐξ ὧν εἴρηται Θεοφράστῳ ἐν τῷ *Περὶ αἰσθήσεως καὶ αἰσθητῶν* 50-55. Ἡ ὄψις δοκεῖ Δημοκρίτῳ τῇ ἐν τῇ κόρῃ γίγνεσθαι ἐμφάσει οὐ τῶν πρώτων εἰδώλων, τῶν ἐκ τῶν ἀπορροῶν τῶν ὁρωμένων ἐσχηματισμένων, ἀλλὰ τῶν ἐν τῷ ἀέρι ἀποτυπωμάτων ἢ ἐκμαγμάτων, ὡς ἔπος εἰπεῖν, τῶν εἰδώλων τούτων· οὔτε ἄρα αὐτὰ τὰ πράγματα ὁρᾶν οὔτε τὰ πρῶτα αὐτῶν εἴδωλα, ἀλλὰ τὰ ἐν τῷ ἀέρι ἔμμεσα ἀερώδη ἀπότυπα, ἃ τὸ σχῆμα τῶν ἐξ ὧν γίγνεται πρώτων εἰδώλων σύστασιν δὲ στερεὰν ἔχει· τὸν γὰρ ἀέρα τὸν μεταξὺ τῆς ὄψεως καὶ τοῦ ὁρωμένου τυποῦσθαι συστελλόμενον ὑπὸ τοῦ ὁρωμένου καὶ τοῦ ὁρῶντος καὶ τῇ τοῦ ἡλίου ἐνεργείᾳ πυκνούμενον ὥσπερ κηρὸν ἀπομάττεσθαι. Τὰ δ' οὖν ἀπομάγματα στερεὰ ὄντα καὶ ἀλλόχροα ἐν τῇ κόρῃ ἐμφαίνεσθαι ἐντυπούμενα ἐν ὑγροῖς τοῖς ὄμμασι καθ' ἅπερ ἐν τῷ κηρῷ οἱ τύποι. Τὴν δ' ἐν τοῖς ὄμμασιν ἔμφασιν τὸν ἥλιον ποιεῖν ἔοικεν οἴεσθαι ὥςπερ ἐπιφέροντα ἐπὶ τὴν ὄψιν τὸ φῶς. Ἡ τοῦ ἀερώδους ἄρα τούτου δευτέρου εἰδώλου ἐν τῷ ὄμματι ἐντύπωσις, ἡ τούτου δρᾶσις, καὶ ἡ ἐκ ταύτης τοῦ ὀφθαλμοῦ ἀλλοίωσις καὶ τὸ πάθος, εἰ εὐαλλοίωτος τυγχάνοι ὤν, τῇ ἀλληλοπαθείᾳ τῶν ὁμοίων ψυχικῶν ἀτόμων τοῦ τ' ἀερώδους ἀποτυπώματος καὶ τοῦ ὀφθαλμοῦ ποιοῦσι τὴν ὄψιν. Πρὸς ὀξυωπίαν ἄρα τήν τ' ἐν τῷ ὄμματι ἔμφασιν καὶ ἐντύπωσιν ὡς οἷόν τ' ἀκριβῆ καὶ σαφῆ δέον γενέσθαι, τό τ' ὄμμα εὐαλλοίωτον εἶναι καὶ τῇ ἐντυπώσει καὶ ἐμφάσει εὐπαθές. Ἀσαφὴς ἄρα ἡ ὄψις ἐστὶ καὶ ἀμυδρὰ ἡ ἐντύπωσις καὶ ἔμφασις· τὸ μὲν ὅτι οὐ τὰ ὁρώμενα αὐτὰ οὐδὲ τὰ πρῶτα αὐτῶν εἴδωλα ἀλλὰ τὰ δεύτερα ἀερώδη ἀπομάγματα αὐτῶν ἐν τῷ ὄμματι ἐμφαίνεται· τὸ δὲ ὅτι τὰ ἔμμεσα ταῦτα ἀπότυπα κατά τε τὰς ἀποστάσεις καὶ τὰς ἀνωμαλίας τοῦ

περιέχοντος ἀνωμάλως ἐσχημάτισται καὶ δὴ ἀσαφῆ καὶ ἀμυδρὰ καὶ ἀνώμαλα καὶ ἐν τῷ ὄμματι ἐμφαίνεται· πάντα γὰρ τὰ ὁρατὰ ὡς εἰκὸς ἐν τῷ ἀέρι ἐναποτυποῦνται καὶ πολλὰ ἐναλλάττουσιν, ὃ πρὸς τὴν ὄψιν ἐμπόδιον ἂν εἴη· τὸ δὲ ὅτι αἱ ἐκ τῶν ὀφθαλμῶν τοῦ ὁρῶντος ἐξερχόμεναι ἀπορροαὶ μεταβάλλουσι κατ' ἀνάγκην καὶ ταράττουσι τὰ ἐν τῷ ἀέρι ἀποτυπώματα, δι' ὧν αἱ ἐμφάσεις· ὥστ' ἀσαφῶς ἐμφαίνεσθαι· τὸ δὲ ὅταν τἀποτυπώματα μὴ ὦσι πυκνὰ καὶ στερεὰ καὶ πρὸς ἐντύπωσιν εὔθετα, ὡς ἐν τῷ σκότει, ὅτε ὁ τὴν πύκνωσιν τοῦ ἀέρος καὶ δὴ τὴν ἔμφασιν ποιῶν ἥλιος λείπει.

Ἀλλὰ καὶ τῆς ἐμφάσεως ἢ ἐντυπώσεως ἢ δράσεως σαφοῦς κατὰ τὸ φύσει ἐνὸν οὔσης, εἰ μέλλοι ὀξυωπὸς ὁ ὀφθαλμὸς εἶναι, ἀνάγκη αὐτὸν οὕτω πεφυκέναι, ὥστε ῥᾳδίως τὴν ἐντύπωσιν δέχεσθαι καὶ ἀλλοιοῦσθαι. Ὀξυωπὸς δὲ πέφυκεν ὁ ὀφθαλμός, εἰ ὁ μὲν ἔξω χιτὼν ὡς λεπτότατος καὶ πυκνότατος τυγχάνει ὤν, τὰ δ' ἐντὸς ὡς μάλιστα σπογγοειδῆ καὶ κενὰ τὸ μὲν σαρκὸς πυκνῆς καὶ ἰσχυρᾶς τὸ δὲ ἰκμάδος παχείας καὶ λιπαρᾶς, πρὸς δὲ ἂν οἱ κατὰ τοὺς ὀφθαλμοὺς πόροι εὐθεῖς καὶ ἄνικμοι ὦσι καὶ πρὸς τἀποτυπούμενα ὁμοιοσχημονοῦντες τυγχάνωσιν· οὕτω γὰρ ὁ ὀφθαλμὸς κατεσκευασμένος, εὐπαθὴς καὶ εὐαλλοίωτος τῇ ἔξωθεν ἐντυπώσει εἶναι Δημοκρίτῳ δοκεῖ· ὥστε τῶν ὀφθαλμῶν τοὺς ὑγροὺς τῶν σκληρῶν ὀξυωπεστέρους εἶναι· τὸ μὲν γὰρ πυκνὸν ὄμμα οὐ δέχεσθαι τὴν ἐντύπωσιν, τὸ δ' ὑγρὸν διιέναι αὐτὴν ἐᾶν.

Κατὰ τὴν Δημοκρίτου ἄρα ὀπτικὴν θεωρίαν εἴ περ τὸ ἐν τῷ ἀέρι ἀπόμαγμα διαμένει καὶ μὴ φανερῶν μηδὲ πλησίον ὄντων τῶν σωμάτων, ἀνάγκη ὁρᾶν· ἡ γὰρ ἀποτύπωσις κοὐ τὸ ὁρατὸν αὐτὸ ἐμφαίνεται. Τὴν δ' ὄψιν κυρίως μὲν τοῖς ὄμμασι γίγνεσθαι οἴεται ἀλλὰ καὶ τῷ ἄλλῳ σώματι· «φησὶ γὰρ διὰ τοῦτο κενότητα καὶ ὑγρότητα ἔχειν δεῖν τὸν ὀφθαλμόν, ἵν' ἐπὶ πλέον δέχηται καὶ τῷ ἄλλῳ σώματι παραδιδῷ». Καὶ τὴν μὲν ὄψιν τοῖς ὁμοίοις μάλιστα ποιεῖ, τὴν δ' ἔμφασιν τοῖς ἀλλόχρωσιν, ὡς οὐκ ἐμφαινομένων τῶν ὁμοίων, ὃ ἄλογον κατὰ Θεόφραστον. Οἴεται δὲ Δημόκριτος ἐν τῷ κενῷ ἡμᾶς εὐκρινέστατα ὁρᾶν, ὥς φησιν Ἀριστοτέλης ἐν τῷ Περὶ ψυχῆς Β, ζ, 6· «οὐ » γὰρ καλῶς τοῦτο λέγει Δημόκριτος οἰόμενος, εἰ γένοιτο κενὸν τὸ » μεταξύ, ὁρᾶσθαι ἂν ἀκριβῶς καὶ εἰ μύρμηξ ἐν τῷ οὐρανῷ εἴη»·

τὴν δ' ὄψιν ὕδατος εἶναί φησιν, ὃ ὡς ἀληθὲς παραδέχεται Ἀριστοτέλης ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 6'.

Τὰς δὲ κατοπτρικὰς ἐμφάσεις κατ' εἰδώλων ὑποστάσεις ᾠετο γίγνεσθαι· τὰς δ' ἀπορροὰς ἢ τὰ εἴδωλα ἀφ' ἡμῶν φερομένας συνίστασθαι ἐπὶ τοῦ κατόπτρου κατ' ἀντιπεριστροφήν, ὥς φησι Πλούταρχος ἐν τῷ Περὶ τῶν ἀρεσκόντων τοῖς φιλοσόφοις Δ, ιδ, 2 καὶ Γαληνὸς 19,308. Χρώματα δὲ Δημόκριτος τέτταρα ἁπλᾶ παραδέχεται, ὧν μιγνυμένων τὰ λοιπὰ γίγνεται· ἔστι δὲ *τὸ λευκὸν* τὸ ἐκ λείων ἀτόμων ἢ σχημάτων συγκείμενον, *τὸ μέλαν* τὸ ἐκ τραχέων καὶ σκαληνῶν καὶ ἀνομοίων, τὸ *ἐρυθρὸν* τὸ ἐκ παχέων πυρωδῶν, καὶ τὸ *χλωρὸν* τὸ ἐξ ἀτόμων καὶ κενοῦ, ὥς φησι Θεόφραστος ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 73-83.

Περὶ Ἀναξαγόρου (500-428). Ἀναξαγόρας ὁ Κλαζομένιος μαθητὴς Ἀναξιμένους ἐγένετο, ἐς Ἀθήνας δὲ μετοικήσας τριάκοντα ἔτη ἐδίδασκε· συνέγραψε δὲ *περὶ φύσεως* καὶ πρῶτος τὸν χωρισμὸν τῆς λογικῆς ἀρχῆς ἀπὸ τῆς ὑλικῆς ποιῆσαι ἐπεχείρησεν. Ἀναξαγόρας πρῶτος «*νοῦν* εἰπὼν εἶναι, καθάπερ ἐν τοῖς ζῴοις, καὶ ἐν τῇ φύσει τὸν » αἴτιον τοῦ κόσμου καὶ τῆς τάξεως πάσης οἷον νήφων ἐφάνη παρ' » εἰκῇ λέγοντας τοὺς πρότερον», ὥς φησιν Ἀριστοτέλης ἐν τοῖς Μετὰ τὰ φυσικὰ Α, γ, 13. Ὁ νοῦς τοῦ Ἀναξαγόρου ἐστὶν οὐ μόνον *ἀρχὴ κινητική*· ὁ γὰρ νοῦς τὰ φύρδην μίγδην ἐν ἀρχῇ ὁμοῦ πάντα συμπεφυρμένα *χρήματα* ἢ *σπέρματα*, ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα, εἰς κυκλικὴν κίνησιν, *περιχώρησιν ἢ δῖνον*, ἐνέβαλε, δι' ἧς τὰ φύρδην μίγδην σπέρματα ἀποκρινόμενα καὶ διακρινόμενα καὶ τὰ *ὁμοιομερῆ* (*αἱ ὁμοιομέρειαι*) συμμισγόμενα τὰ ἐν τῷ σύμπαντι ὄντα ἐπετέλεσαν, καὶ τὰ πάντα τὴν πανσπερμίαν ὡς ἔπος εἰπεῖν ὁμοιομερῶς διεκόσμησεν Ἀπ.1.6.12· ἀλλὰ καὶ *γνωστικὴ ἀρχή*, *λόγος*, ἐστὶν ὁ νοῦς· *πάντα γὰρ ἔγνω νόος*, φησίν. Ὁ νοῦς τὸ λεπτότατον καὶ καθαρώτατον πάντων χρημάτων, φησὶν 6, «*καὶ γνώμην γε περὶ παντὸς πᾶσαν ἴσχει καὶ ἰσχύει μέγιστον. Ὅσα τε ψυχὴν ἔχει καὶ τὰ μέζω καὶ τὰ ἐλάσσω, πάντων νόος κρατέει*». Ὁ νοῦς ἐστιν ἄπειρος καὶ αὐτοκρατὴς καὶ ἀμιγὴς καὶ μόνος αὐτὸς καθ' αὑτόν, πάντων αὐτὸς κρατεῖ, πάντα αὐτὸς ἔγνω καὶ πάντα διεκόσμησε.

Τοιαύτην δ' ἀξίαν τῷ νῷ Ἀναξαγόρας ἀποδιδοὺς ἀπατηλὰς τὰς αἰσθήσεις ὡς εἰκὸς ἡγεῖται καὶ «*ὑπὸ ἀφαυρότητος αὐτῶν οὐ δυ-*

ratoí ésmer krínein tálēthès » λέγει, ὡς φησι Σέξτος ὁ ἐμπειρικὸς Πρὸς μαθηματικοὺς 7,90. Ἐπιφέρει δὲ Σέξτος καὶ τὸ διὰ τί ὧδε λέγων· « τίθησί τε (Ἀναξαγόρας) πίστιν αὐτῶν τῆς ἀπιστίας τὴν » παρὰ μικρὸν τῶν χρωμάτων ἐξαλλαγήν· εἰ γὰρ δύο λάβοιμεν χρώ- » ματα, μέλαν καὶ λευκόν, εἶτα ἐκ θατέρου εἰς θάτερον κατὰ στα- » γόνα παρεκχέοιμεν, οὐ δυνήσεται ἡ ὄψις διακρίνειν τὰς παρὰ μι- » κρὸν μεταβολάς, καίπερ πρὸς τὴν φύσιν ὑποκειμένας . . . ὥστε ὁ » μὲν Ἀναξαγόρας κοινῶς τὸν λόγον ἔφη κριτήριον εἶναι ». Καὶ τὰς ἀληθεῖς δὲ τῶν ὄντων οὐσίας, τὰ ἄπειρα καὶ πλῆθος καὶ σμικρότητα *χρήματα*, τὰς *ὁμοιομερείας*, οὐ τῇ αἰσθήσει ληπτὰς δι' ἀσθένειαν αὐτῆς, ἀλλὰ τῷ νῷ, τῷ λόγῳ, νοητὰς εἶναι ἀποφαίνει, καθ' ἅπερ Ἀριστοτέλης φησὶν ἐν Φυσικῇ ἀκροάσει Α, δ.

Τοῦ δὲ τοσούτῳ τιμωμένου νοῦ, τοῦ λεπτοτάτου καὶ παντοδυνάμου, ὀλίγην χρῆσιν ἐποιήσατο Ἀναξαγόρας πρὸς ἐξήγησιν τῆς φύσεως καὶ παντὸς τοῦ ἐπιστητοῦ, τῇ μηχανικῇ αὐτοῦ κυρίως θεωρίᾳ χρώμενος. Καὶ τὰ τῶν αἰσθήσεων δὲ μηχανικῶς ἐξηγεῖτο, ὡς φησι Θεόφραστος ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 27-30. Τῷ ἐναντίῳ γὰρ γίνεσθαι τὴν αἴσθησίν φησι· τὸ γὰρ ὅμοιον ὑπὸ τοῦ ὁμοίου ἀπαθές, τῷ δ' ἐναντίῳ παθητικόν. Ὅτι δὲ τῷ ἐναντίῳ, διὰ τοῦτο καὶ ἅπασαν αἴσθησιν μετὰ λύπης γίγνεσθαι· πᾶν γὰρ τὸ ἀνόμοιον ἁπτόμενον πόνον παρέχει, ὥστε τὰς ἐκτὸς ὁμοιομερείας ταῖς ἐν ἡμῖν ἐναντίαις αἰσθάνεσθαι· φησὶ γὰρ « *ἐν παντὶ παντὸς μοῖρα ἔνεστι* » Ἀπ. 5.

Καὶ ἡ ὀπτικὴ δὲ καὶ ἀκουστικὴ αὐτοῦ θεωρία μηχανικαί εἰσι καὶ αὗται· τῷ ἐναντίῳ δὲ τό τε ὁρᾶν καὶ ἀκούειν ποιεῖ. Καὶ ὁρᾶν μέν φησι τῇ ἐν τῇ κόρῃ ἐμφάσει· ἐμφαίνεσθαι δὲ τὰ ὁρώμενα ἐν διαφόρως κεχρωσμένῳ ὄμματι κοὐκ ἐν ὁμόχρῳ. Διὰ τοῦτο ἡμέρας μὲν ὡς ἐπὶ τὸ πολὺ ὀξὺ ὁρᾶν, ὡς τὸ τῆς ἡμέρας φῶς ἀλλόχρουν καὶ τῆς ἐμφάσεως συναίτιον εἴη, νύκτωρ δ' ἀμβλὺ ἢ οὐδόλως βλέπειν, ὡς τὸ τῆς νυκτὸς σκότος ὁμόχρουν τῷ ὄμματι. Ἐνίους δὲ νύκτωρ ὀξυωπεῖν διὰ τὸ νύκτωρ εἶναι αὐτοῖς τὸ ἀλλόχρουν. Δοκεῖ ἄρα λέγειν μεθ' ἡμέραν μὲν τοὺς μελανομμάτους, νύκτωρ δὲ τοὺς γλαυκοφθάλμους ὀξὺ βλέπειν. Ἐμφαίνεσθαι δὲ τὸ ἰσχυρότερον καὶ κρατοῦν χρῶμα εἰς τὸ ἀσθενέστερον καὶ ὑποδεέστερον. Ὅσῳ δὲ μείζω ἡ ἐν τῷ ὀφθαλμῷ μοῖρα τοῦ ἐναντίου πρὸς τὸ ὁρώμενον, τοσούτῳ καὶ τὴν ὅρασιν ὀξυ-

τέραν δοκεῖ λέγειν. Αἰσθητικώτερα δὲ τὰ μείζω ζῷα καὶ τὰ μείζω αἰσθητήρια ἔχοντα, ὡς πλεῖον ἐνέχοντα, ὡς ἔοικε, τοῦ ἐναντίου διὰ τὸ μέγεθος αὐτῶν τε καὶ τῶν αἰσθητηρίων. Τὰ μὲν ἄρα μεγάλους καὶ καθαροὺς καὶ λαμπροὺς ἔχοντα ὀφθαλμούς, ταῦτα ὁρᾶν μεγάλα τε καὶ πόρρωθεν, τὰ δὲ μικροὺς τοὐναντίον τὰ μικρὰ καὶ τὰ ἐγγὺς βλέπειν.

5. *Περὶ Σοφιστῶν.*

Ἐν τῇ καθαρῶς σκεπτικῇ τῶν σοφιστῶν διδασκαλίᾳ οὐχ οἷόν τ' ἂν εἴη εὑρεῖν γενναῖόν τι περὶ ὀφθαλμῶν καὶ ὤτων εὕρημα οὔτε περὶ ὀπτικῆς καὶ ἀκουστικῆς οὔτε περὶ ἀνατομῆς. Οὐδεὶς τῶν σοφιστῶν οὔτε περὶ φυσικὰς ἐρεύνας οὔτε περὶ θεωρητικὰς ζητήσεις διατρίβειν ἠξίωσε. Καὶ περὶ τῆς αἰσθήσεως δ' οὐδὲν ἄξιον λόγου εὕρημα ἢ θεώρημα κατέλιπον. Ἡ ὑπολανθάνουσα ὡς ἔπος εἰπεῖν σκέψις ἐν πᾶσι τοῖς φιλοσοφικοῖς θεωρήμασιν ἀπὸ Θαλοῦ καὶ Παρμενίδου καὶ Ἡρακλείτου μέχρι Σωκράτους, καθ' ἃ αἱ αἰσθήσεις διαβάλλονται ὡς οὐ τἀληθὲς ἀλλ' ἁπλῶς φαινόμενα ἤτοι ψεῦδος διδάσκουσαι, ὁ νοῦς δὲ ἢ ὁ λόγος τὸ τῆς ἀληθείας κριτήριον εἴη, ἡ σκέψις, λέγω, παρὰ τοῖς σοφισταῖς ἐκτήσατο κράτος τοσοῦτον, ὥστε μήτ' ἐν τῷ θεωρητικῷ βίῳ μήτ' ἐν τῷ πρακτικῷ μηδὲν ἀληθὲς ἐξ ἀντικειμένου ὑπάρχειν μήτε θεῖον μήτ' ἀνθρώπινον μήτε τῇ αἰσθήσει ἀντιληπτὸν μήτε τῷ νῷ νοητὸν αὐτοὺς οἴεσθαι, πάντα δ' ἄνω κάτω ταράττεσθαι καὶ συγχεῖσθαι καὶ *οἷα δ' δοκῇ ἑκάστῳ, τοιαῦτα καὶ εἶναι.*

Τῶν σοφιστῶν οἱ κορυφαῖοί εἰσι Πρωταγόρας ὁ Ἀβδηρίτης (περὶ τὸ 480), ἀπὸ τῶν Ἡρακλείτου θεωρημάτων ἀφορμώμενος, καὶ Γοργίας ὁ Λεοντῖνος (περὶ τὰ 490-480), ὃς τῆς Ἐλεατικῆς ἀντέχεται φιλοσοφίας. Ἕτεροι δ' οὐχ ἧττον σπουδαῖοί εἰσι Ξενιάδης (περὶ τὸ 480), Εὐθύδημος καὶ ὁ ἀδελφὸς αὐτοῦ Διονυσόδωρος. Καὶ τὰ μὲν σοφίσματα καὶ τὰς δόξας τούτων καὶ τὰς τοῦ λόγου διαστροφὰς ἄριστα ὑποτυποῦσιν ὁ μὲν θεῖος Πλάτων ἐν τῷ Εὐθυδήμῳ, ὁ δὲ μέγας φυσιολόγος Ἀριστοτέλης ἐν τῷ Περὶ *σοφιστικῶν ἐλέγχων* καὶ ἐν τῷ ὀγδόῳ βιβλίῳ τῶν *Τοπικῶν* καὶ ἀλλαχοῦ· πρὸς δὲ Σέξτος *Πρὸς μαθηματικοὺς* 7,60 καὶ ἑφεξῆς καὶ ἐν Πυρρωνείοις ὑποτυπώσεσιν Α,216 καὶ ἑφεξῆς, Διογένης ὁ Λαέρτιος Θ,51 καὶ Πλούταρχος ἐν τῷ πρὸς Κολώτην 4,2 καὶ ἄλλοι.

Οὐ δ' ἡμῖν κυρίως ἐνταῦθα μέλει, φέρε ἴδωμεν, εἴ τι καὶ ὀπτικὸν ἢ ἀκουστικὸν τοῖς σοφισταῖς εἰρημένον εἴη.

Καὶ *Πρωταγόρας*, ὥςπερ καὶ Ἡράκλειτος καὶ Ἐμπεδοκλῆς, *εἶναι* μὲν οὐδέποτε οὐδὲν αὐτὸ καθ' αὑτὸ οἴεται, *γίγνεσθαι* δ' ἀεὶ πάντα ἐκ φορᾶς καὶ κινήσεως καὶ κράσεως πρὸς ἄλληλα. Ἀρχὴ ἄρα αὐτοῦ ἥδε, ὡς τὸ πᾶν κίνησις εἴη καὶ ἄλλο παρὰ τοῦτ' οὐδέν· τῆς δὲ κινήσεως δύο εἴδη παραδέχεται, πλήθει μὲν ἄπειρον ἑκάτερον, δύναμιν δὲ τὸ μὲν *ποιεῖν* ἔχον, τὸ δὲ *πάσχειν*. Ἐκ δὲ τῆς συμμίξεως καὶ πρὸς ἄλληλα τρίψεως τούτων, ἤτοι τὸ μὲν τῆς δυνάμεως τοῦ ποιεῖν, τὸ δὲ τῆς τοῦ πάσχειν, γίγνονται πλήθει ἄπειρα ἔκγονα κινήσεως εἴδη, ἃ διδύμως ἤτοι ἀνὰ δύο ὁμόγονα γεννῶνται, οἷον ὄψεσι μὲν χρώματά ἐστιν ὁμόγονα παντοδαπαῖς παντοδαπά, ἀκοαῖς δ' ὡσαύτως φωναί, καὶ ἐν γένει πάσαις ταῖς αἰσθήσεσιν, ὧν ἀπέραντοι μὲν αἱ ἀνώνυμοι παμπληθεῖς δὲ αἱ ὠνομασμέναι, ὄψεις καὶ ἀκοαὶ καὶ ὀσφρήσεις καὶ ψύξεις τε καὶ καύσεις καὶ ἡδοναί τε καὶ λῦπαι καὶ ἐπιθυμίαι καὶ φόβοι, τὸ σύμμετρον ἑκάστῃ αἰσθητὸν ὁμόγονον ἢ συγγενές ἐστιν. Ἐν γένει ἄρα τῇ αἰσθήσει ὁμόγονον, συγγενές, σύμφυτόν ἐστι τὸ αἰσθητὸν παντοδαπῇ παντοδαπόν. Ἐπεὶ δὲ τάχος καὶ βραδύτης ἔνεστι τῇ κινήσει πάντων, ἐκ τούτου καὶ ἡ κατ' αἴσθησιν διαφορὰ τῶν πραγμάτων καὶ τὸ παντοδαπὸν τῶν αἰσθήσεων· τὸ μὲν γὰρ βραδὺ τὴν κίνησιν πρὸς τὰ πλησιάζοντα ἴσχει καὶ βραδύτερα ἔκγονα γεννᾷ, ὡς τὰ τῆς ἀκοῆς, τὸ δὲ ταχὺ πρὸς τὰ πόρρωθεν τὴν κίνησιν ἴσχει, τὰ δὲ γεννώμενα ταχύτερά ἐστι, ὡς τὰ τῆς ὁράσεως. Ἵνα δ' αἴσθησίς τις καὶ τὸ ὁμόγονον αὐτῇ αἰσθητὸν γεννηθείη, δεῖ συμμέτρως ἔχειν ἀλλήλοις· ἵνα οὖν καὶ ὄψις καὶ λευκότης γεννηθείη, ἀνάγκη τὸ ὄμμα καὶ ἄλλο τι τῶν τούτῳ συμμέτρων πλησιάσαι· οὐδ' ἄν ποτ' ἐγένετο οὔθ' ἡ λευκότης οὔθ' ἡ ταύτῃ ὁμόγονος ὄψις, εἰ ἑκάτερον ἐκείνων (τὸ ὄμμα καὶ τὸ τούτῳ σύμμετρον) πρὸς ἄλλο ἢ τὸ αὐτῷ σύμμετρον ἔλθοι· τούτων οὕτως γεγενημένων, ἡ μὲν ὄψις ἀπὸ τῶν ὀφθαλμῶν φέρεται (ἐν φορᾷ γὰρ ἡ κίνησις πέφυκε), ἡ δ' ὁμόγονος αὐτῇ λευκότης ἀπὸ τοῦ συναποτίκτοντος τὸ χρῶμα συμμέτρου τῷ ὄμματι αἰσθητοῦ· τῆς οὖν ὄψεως καὶ λευκότητος συγγεννωμένων καὶ συνεκπιπτόντων, « ὁ μὲν ὀφθαλμὸς ἄρ' ὄψεως ἔμπλεως ἐγένετο καὶ » ὁρᾷ δὴ τότε καὶ ἐγένετο οὔ τι ὄψις ἀλλ' ὀφθαλμὸς ὁρῶν, τὸ δὲ » ξυγγεννῆσαν τὸ χρῶμα λευκότητος περιεπλήσθη καὶ ἐγένετο οὐ λευ-

» κότης αὖ ἀλλὰ λευκόν, εἴτε ξύλον εἴτε λίθος εἰθ' ὁτιοῦν ξυνέβη » χρῆμα χρωσθῆναι τῷ τοιούτῳ χρώματι ». Οὔτ' ἄρα ὀφθαλμὸς ὁρῶν (*τὸ ποιοῦν*) ἐστί τι ὄν, πρὶν ἂν τῷ αὐτῷ συμμέτρῳ (*τῷ πάσχοντι*) συνέλθῃ, οὔτε τὸ αἰσθητόν, πρὶν ἂν τῷ ὄμματι. Οὔτ' ὀφθαλμὸς ὁρῶν οὔτε λίθος ἢ ξύλον λευκὸν ἐστί τι, πρὶν ἂν ἀλλήλοις προσπέσωσι· συγγεννῶνται δ' ἐκ τῆς πρὸς ἄλληλα ὁμιλίας καὶ τρίψεως· κίνησις γὰρ τό τε ποιοῦν, τὸ *ὄμμα*, καὶ τὸ πάσχον, τὸ *ὁρώμενον*, οἷον λίθος λευκὸς ἢ ξύλον· ἐκ τῆς τούτων δὲ συναντήσεως, ἐκ τῆς προσβολῆς τῶν ὀμμάτων πρὸς τὴν προσήκουσαν φοράν, γίγνεται τὰ ἔκγονα *ὄψις* καὶ χρῶμα (λευκότης) τὰ ὁμόγονα. Ὄψις καὶ χρῶμα ἄρα οὐκ εἰσὶν αὐτὰ καθ' αὑτά, ἀλλ' ἐκ τῆς φορᾶς καὶ κινήσεως καὶ κράσεως τοῦ τ' ὄμματος καὶ τοῦ τούτῳ συμμέτρου, τοῦ ὁρωμένου, γίγνονται. Οὕτω ἄρα μέλαν τε καὶ λευκὸν καὶ ὁτιοῦν ἄλλο χρῶμα οὔτ' ἐν τοῖς ὄμμασιν αὐτὸ ἕτερόν τι εἶναι ὑπολαμβάνει Πρωταγόρας οὔτ' ἔξω τῶν ὀμμάτων χώραν τινὰ κατέχειν, οὔτε τὸ προσβάλλον οὔτε τὸ προσβαλλόμενον εἶναι, ἀλλὰ μεταξύ τι φάσμα ἑν γενέσει γιγνόμενον ἐκ τῆς τῶν ὀμμάτων προσβολῆς πρὸς τὴν προσήκουσαν φοράν. Ὁτιοῦν δὲ χρῶμα ἄλλο ἄλλῳ ἀνθρώπῳ φαίνεσθαι· καὶ τῷ αὐτῷ ἀνθρώπῳ οὐ τὸ αὐτὸ ἀεὶ φαίνεσθαι διὰ τὸ οὐδέποθ' ὁμοίως αὐτὸν ἑαυτῷ ἔχειν. Ὁ αὐτὸς δ' ὀφθαλμὸς πρὸς τὰ ὁρώμενα μὲν φερόμενος τὸ *ὁρῶν* ἤτοι τὸ *ποιοῦν* ἐστιν, ἄλλῳ δ' ὄμματι συνελθών τὸ *ὁρώμενον* ἤτοι τὸ *πάσχειν* ἀναφαίνεται· ἢ ἑκάτερον ὄμμα ποιοῦν τε καὶ πάσχον ἀμ' ἂν εἴη, εἰ ἑκάτερον ὁρᾷ τε ἅμα καὶ ὁρᾶται. Καὶ ταῦτα ἐκ τῶν Πλάτωνι εἰρημένων ἐν Θεαιτήτῳ 153 καὶ 156 καὶ ἑφεξῆς.

Γοργίας δ' ὁ Λεοντῖνος περὶ τοῦ μὴ ὄντος ἢ περὶ φύσεως ἔγραψεν· ἃ δ' αὐτῷ εἴρηται Σέξτος ἡμῖν μεταδίδωσιν ἐν τῷ πρὸς Μαθηματικοὺς 7,65 καὶ ὁ Περὶ Ξενοφάνους Ζήνωνος καὶ Γοργίου λόγος ὁ ἐν τοῖς Ἀριστοτέλους 5 καὶ 6. Οὐδὲν ὑπάρχει, φησίν· εἰ δὲ καὶ ὑπάρχει, τοῦτο ἡμῖν ἄγνωστον καὶ ἀδιανόητον πέφυκε· εἰ δὲ καὶ ὑπάρχει καὶ γνωστὸν καὶ καταληπτὸν τυγχάνει ὄν, οὐκ ἔστι τοῖς ἄλλοις ἑρμηνευτὸν τῷ λόγῳ καὶ μεταδοτὸν καὶ δηλωτόν. Τὰς τρεῖς δ' αὐτοῦ ταύτας προτάσεις διὰ μακρῶν σοφισμάτων ἀποδεῖξαι πειρᾶται.

Καὶ περὶ τούτων μὲν οὐ φροντὶς ἡμῖν· ὃ δ' ἡμῖν κυρίως μέλει, ἐν τοῖς συλλογισμοῖς τούτοις ἔνεστι καὶ ὀπτικά τινα καὶ ἀκουστικὰ οἰκοθεν καὶ παλαίτατα γνωστά, οἷς χρῆται πρὸς ἀπόδειξιν τῆς τρίτης

αὐτοῦ προτάσεως, ὅτι τὸ γνώριμον καὶ καταληπτὸν οὐκ ἔστι τοῖς ἄλλοις τῷ λόγῳ μεταδοτόν.

Καὶ τὰ μὲν ὁρατά, φησί, τὰ χρώματα, τῷ ὀφθαλμῷ μόνῳ ἀντιληπτά ἐστι, τὰ δ' ἀκουστά, ἤχοι καὶ ψόφοι καὶ φωναί, τῇ ἀκοῇ μόνῃ καταληπτά. Οὔτε χρωμάτων τῇ ἀκοῇ ἀντιλαμβάνεσθαι οἷόν τ' ἐστὶν οὔτε ψόφων τῷ ὀφθαλμῷ· τὸ μὲν ὄμμα ὁρᾷ οὐ φθόγγους, φωνάς, ἤχους, ψόφους, ἀλλὰ χρώματα, ἡ δ' ἀκοὴ ἀκούει οὐ χρωμάτων, ἀλλὰ ψόφων, ἤχων, φωνῶν. Οὔτε δὲ διανοητὰ οἴεται τὰ χρώματα καὶ τοὺς ἤχους οὔτε τῷ λόγῳ λεκτά, ἀλλὰ μόνῳ τῷ ἰδιάζοντι αἰσθητηρίῳ ἀντιληπτά· αἰσθάνεσθαι γὰρ καὶ φρονεῖν τὸ αὐτὸ ἡγεῖτο. Οἱ δ' ἄλλοι τῶν σοφιστῶν οὐδέν που περὶ ὀφθαλμῶν καὶ ὤτων εἰρήκασιν.

2. Περὶ φυσιολογίας ὀφθαλμῶν καὶ φυσιογνωμονίας.

Καὶ ἡ τῶν ὀφθαλμῶν φυσιολογία καὶ αἱ ἀπὸ τῶν ποικίλων κινήσεων τῶν τε ὀμμάτων αὐτῶν καὶ τῶν βλεφάρων καὶ τῶν ὀφρύων ποικίλαι φυσιογνωμονικαὶ τῶν ποιητῶν παραστάσεις καθ' ἅπερ καὶ ἡ καθόλου φυσιολογία ἔσχον ἐπίδοσίν τινα κατὰ τοὺς χρόνους τούτους (962-460) καί περ οὐ πάνυ σπουδαίαν.

Περὶ ψυχῆς μὲν γὰρ καὶ Ἡσίοδος φυσιολογεῖ, καθ' ἅπερ καὶ Ὅμηρος, ὅρα σ. 112, τὴν ψυχὴν τοῦ σώματος διάφορον οἰόμενος· καὶ τὴν μὲν ψυχὴν εἰς Ἅδου καὶ τὸν κρυερὸν Τάρταρον κατιέναι, ὥςπερ ἄυλόν τι, ὡς ἔοικε, τὸ δὲ σῶμα καὶ τὰ ὀστᾶ ὡς ὑλικὸν ἐν τῇ γῇ σήπεσθαι καὶ διαλύεσθαι φησιν ἐν Ἀσπίδι 151.254. Ὁ δὲ κωμικὸς Ἐπίχαρμος περί τε ψυχῆς καὶ θανάτου φυσιολογεῖ, ὡς ἡ χριστιανικὴ θρησκεία, τὸν θάνατον οὐδὲν ἄλλ' ἢ τῶν στοιχείων εἶναι διάλυσιν φάσκων, ὧν τὰ ὅμοια ἐς τὰ ὅμοια ἐπάνεισι τὴν μὲν γῆν ἐς τὴν γῆν, τὸ δὲ πνεῦμα ἄνω ἐς οὐρανόν, ἔνθα καὶ διαμενεῖ B, 7. 8. Τὸν δὲ τοῦ *ἀνθρώπου λόγον ἢ λογισμὸν* ἀπὸ τοῦ *θειου λόγου*, πεφυκέναι διδάσκει C, 13. Ἡρόδοτος δέ φησι τὴν ψυχὴν πρώτους Αἰγυπτίους εἰπεῖν ὡς ἀθάνατός ἐστι καὶ ὡς τοῦ σώματος θνήσκοντος εἰς ἄλλο ζῷον εἰσδύει καὶ δὴ πρώτους τὴν μετεμψύχωσιν διδάξαι B, 123. Ὁ αὐτὸς δ' ἱστορεῖ, ὡς ἡ Δαρείου σύζυγος Ἄτοσσα ἔλεγε αὐξανομένῳ τῷ σώματι συναύξεσθαι καὶ τὰς φρένας, γηράσκοντι δὲ καὶ ταύτας συγγηράσκειν καὶ ἐπαμβλύνεσθαι Γ, 134,3· Ξέρξης δὲ τὸν θυμὸν ἐν τοῖς ὠσὶν οἰκεῖν οἴεται Z, 39,2. Τῶν δὲ φιλοσόφων οἱ μὲν ὑλικὴν τὴν

ψυχὴν οἴονται, οἱ δ' ἄυλον καὶ λογικήν, ὡς ἐκ τῶν ἄνω εἰρημένων φανερὸν σ. 163 καὶ ἐφεξῆς.

Ὥσπερ δὲ τὸ *ἐν ὀφθαλμοῖσι νοεῖν* τὸ παρ' Ὁμήρῳ σαφῶς ὑπεμφαίνει ὅτι πρὸς ὄψιν οὐ μόνον ἡ τῶν ὀφθαλμῶν ἐνέργεια ἀλλὰ καὶ τοῦ νοῦ ἤτοι ἡ νόησις ἀναγκαία τυγχάνει, ὅρα σ. 114· οὕτω καὶ Αἰσχύλος τὴν τῶν πρώτων ἀνθρώπων ἀμαθίαν καὶ ἀνεπιστημοσύνην παριστὰς λέγει Προμηθεῖ 447·

οἳ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην,
κλύοντες οὐκ ἤκουον·

ἐν οἷς ἄριστα ὑπεμφαίνεται ὅτι πρὸς ὄψιν καὶ ἀκοὴν ἐστιν ἀναγκαία οὐ μόνον τῶν ὀφθαλμῶν καὶ ὤτων ἡ ἐνέργεια ἀλλὰ καὶ τῆς ψυχῆς ἀντίληψις καθαρὰ τῶν τε ὁρατῶν καὶ ἀκουστῶν. Τὴν ἰδέαν δὲ ταύτην, ἤτοι τὴν τοῦ νοῦ ἐνέργειαν ἐν τῷ ὁρᾶν, ὑπεράγαν Ἀρχίλοχος ἐξαίρει, τὸ περὶ τοὺς ὀφθαλμοὺς καὶ τὰ ὦτα πάθος αἴσθησιν οὐ ποιεῖν οἰόμενος, ἂν μὴ καὶ τὸ φρονεῖν παρῇ Β. 2, καθ' ἅπερ Πλούταρχός φησιν Ἠθικοῖς 961a

Νόος ὁρᾷ καὶ νόος ἀκούει· τἆλλα κωφὰ καὶ τυφλά.

Καὶ Εὐριπίδης δ' αἴσθησιν ἄνευ νοήσεως οὐ παραδεχόμενος *οὐκ ὀφθαλμός, φησί, τὸ κρῖνόν ἐστιν, ἀλλὰ νοῦς*, εἰ ἄμορφος ἢ εὔμορφος ὁ σύζυγός ἐστιν Ἀπ. 964.

Ὡς δ' Ἀλκαῖος μὲν τὸν οἶνον δίοπτρον τοῖς ἀνθρώποις εἶναι λέγει, Αἰσχύλος δὲ τοῦ νοῦ κάτοπτρον, ὡς εἴρηταί μοι σ. 162, οὕτω καὶ Πίνδαρος τὰς ᾠδὰς τοῖς καλοῖς ἔργοις ἔσοπτρον εἶναί φησι Νεμεονίκαις Ζ, 14· ἤτοι ὡς ἐν ἐσόπτρῳ ἡ καλὴ ὁρᾶται μορφὴ οὕτω καὶ διὰ τῶν ὕμνων τὰ καλὰ ἔργα ἐμφαίνεται ὡς ἐν κατόπτρῳ καὶ γιγνώσκεται· ἔσοπτρον ἄρα τῶν καλῶν ἔργων τὰς ᾠδὰς εἶναι ᾄδει.

Καὶ περὶ *μεγέθους* δὲ καὶ *χρώματος* ὀφθαλμῶν ἔστιν ἃ εἰρημένα. Ἡ μεγαλόμματος καὶ ἐξόφθαλμος Ὁμήρῳ τε *βοῶπις* λέγεται, οἷον *βοῶπις Ἥρα* Γ, 144, καὶ Πινδάρῳ, οἷον Ἁρμονία βοῶπις Πυθίοις Γ, 91. Ὧ δὲ βαθέως ἐν τῷ κόγχῳ εἰσὶν οἱ ὀφθαλμοὶ καὶ δὴ μικροὶ φαίνονται, τοῦτον *κοιλόφθαλμον* λέγει Ξενοφῶν, ᾧ δὲ προέχουσι καὶ ἐπιπόλαιοί εἰσιν, *ἐξόφθαλμον*, ὃν εὐωπότερον τοῦ κοιλοφθάλμου οἴεται Περὶ Ἱππικῆς Α, 8· «καὶ μὴν τὸ *ἐξόφθαλμον* εἶναι ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ *κοιλοφθάλμου*, καὶ ἐπὶ πλεῖον δ' ἂν ὁ τοιοῦτος ὀρῴη [ἵππος]». Ἱπποκράτης δὲ τὸν μικρόμματον λέγει *σμικρό-*

φθαλμον· μεγαλόφθαλμος δ' εἴρηται Ἀριστοτέλει ὁ μεγάλους ἔχων τοὺς ὀφθαλμούς, ὁ δὲ μικροὺς *μικρόμματος*. *Χρῶμα δ' ὀφθαλμῶν* Ἡσιόδῳ μνημονεύεται τὸ *γλαυκὸν* καὶ τὸ *μέλαν*. Τὴν μὲν γὰρ γλαυκοὺς καὶ χαροποὺς ὀφθαλμοὺς ἔχουσαν Ἀθηνᾶν Ἡσίοδος, ὥσπερ καὶ Ὅμηρος, *γλαυκώπιδα* λέγει ἐν Θεογονίᾳ 895, τὴν δὲ μελανόμματον Θεμιστονόην *κυανῶπιν* ἐν Ἀσπίδι 356. Τοὺς δὲ Κόλχους Πίνδαρος *κελαινῶπας* λέγει Πυθιονίκαις Δ 212 καὶ τοὺς Κύκλωπας Δ 377. Πλάτων δὲ τὸν μὲν μέλανας τοὺς ὀφθαλμοὺς ἔχοντα *μελανόμματον* λέγει, τὸν δὲ γλαυκοὺς *γλαυκόμματον* Φαίδρῳ 253d.

Ὡς δὲ *μονώψ* καὶ *κύκλωψ* λέγεται ὁ Πολύφημος, ὅτι ἕνα μόνον εἶχεν ὀφθαλμόν, *μουνῶπας* δὲ καὶ τοὺς Ἀριμασποὺς λέγει Αἰσχύλος Προμηθεῖ 804, οὕτω καὶ ὁ ἑκατὸν ἔχων ὀφθαλμοὺς Ἄργος Αἰσχύλῳ ὠνόμασται *μυριωπὸς* ἐν Προμηθεῖ 569, *παντόπτης* ἐν Ἱκέτισι 304, παρὰ δὲ τοῖς μετέπειτα *πολύγληνος*· διὰ τοὺς πολλοὺς δ' ὀφθαλμοὺς καὶ ὀξύτερον ὁρᾶν ἐνομίζετο, δι' ὃ καὶ εἴρηται περὶ τοῦ ὀξυτάτην τὴν ὄψιν ἔχοντος «*ὀξύτερον τοῦ Ἄργου ὁρᾶν*» καὶ «*Ἄργου πλείονας ἔχειν ὀφθαλμούς*».

Ἀριστοφάνης δ' Εὐριπίδην παρίστησι περὶ τῆς τῶν ὀφθαλμῶν καὶ ὤτων γενέσεως διδάσκοντα, ὡς ὁ αἰθήρ, ἤτοι ἡ πρώτη ὡς ἔοικεν ἀεροειδὴς ὕλη, ὅτε τὰ πρῶτα διεχωρίζετο καὶ ζῷα ἐν αὐτῷ κινούμενα συνετέκνου, πρῶτον μὲν τὸν ὀφθαλμὸν κύκλου ἡλίου δίκην, εἶτα δὲ τὰ ὦτα δίκην χοάνης ἐποίησε καὶ δὴ χωρὶς ἑκατέρας αἰσθήσεώς ἐστιν ἡ φύσις Θεσμοφοριαζούσαις 16·

Ὃ μὲν βλέπειν χρὴ πρῶτ' ἐμηχανήσατο
ὀφθαλμὸν ἀντίμιμον ἡλίου τροχῷ,
δίκην δὲ χοάνης ὦτα διετετρήνατο.

Τὸν *αἰθέρα* δὲ καὶ ἀγωγὸν τοῦ φωτός, ὡς ἔοικεν, Αἰσχύλος οἴεται, Προμηθέως λέγοντος 1091 «*ὦ πάντων αἰθὴρ* κοινὸν φάος εἰλίσσων».

Δημόκριτος δὲ τά τε ὑγρὰ καὶ τοὺς τοῦ ὀφθαλμοῦ χιτῶνας εὖ οἶδε *πολυχίτωνα* τὸν ὀφθαλμὸν λέγων· διδάσκει δὲ καὶ ὅτι ὑπὸ ταῖς τῶν μετώπων ἀρχαῖς ἤτοι ἐν τοις ὀφθαλμικοῖς κόγχοις τὰ ὄμματα συνίδρυται, ἡ δὲ κόρη ὑπὸ τοῦ ταρσοῦ φυλάττεται· καὶ ὡς τὸ τῶν ὀμμάτων ὀρατικὸν τὸ τῆς ὁράσεως αἴτιον ἐν τῷ ὑγρῷ ἐμφωλεύει, καθ' ἃ-

περ ἀναγινώσκεται ἐν ἐπιστολῇ αὐτοῦ Περὶ φύσιος ἀνθρώπου Ἱπποκράτει Kühn 3,824.

Σωκράτης δὲ περὶ ὀφθαλμῶν τε καὶ ὤτων φυσιολογεῖ, καθ' ἅπερ φέρεται ἐν Ξενοφῶντος Ἀπομνημονεύμασι Α, δ, 5, ὡς ἐπ' ὠφελείᾳ ὁ δημιουργὸς τοῖς ἀνθρώποις προσέθετο «*ὀφθαλμοὺς μὲν ὥςθ' ὁρᾶν τὰ ὁρατά, ὦτα δὲ ὥςτ' ἀκούειν τὰ ἀκουστά*», γνώμης δὲ καὶ προνοίας ἔργα ταῦτα κοὐ τύχης. Περὶ δὲ τῶν βλεφάρων καὶ τῶν βλεφαρίδων καὶ τῶν ὀφρύων ἄγαν ἐπιστημόνως τάδε φυσιολογεῖ· «Πρὸς δὲ τού-» τοις οὐ δοκεῖ σοι καὶ τόδε προνοίας ἔργοις ἐοικέναι, τό, ἐπεὶ ἀσθε-» νὴς μέν ἐστιν ἡ ὄψις, *βλεφάροις* αὐτὴν θυρῶσαι, ἃ, ὅταν μὲν αὐτῇ » χρῆσθαί τι δέῃ, ἀναπετάννυται, ἐν δὲ τῷ ὕπνῳ συγκλείεται; ὡς » δ' ἂν μηδὲ ἄνεμοι βλάπτωσιν, ἠθμὸν *βλεφαρίδας* ἐμφῦσαι· *ὀφρύσι* » τε ἀπογεισῶσαι τὰ ὑπὲρ τῶν ὀμμάτων, ὡς μηδ' ὁ ἐκ τῆς κεφαλῆς » ἱδρὼς κακουργῇ». Ὁ δὲ Κριτόβουλος Σωκράτει ἁπάντων φυσιο-λογεῖ, ὡς ὀφθαλμῶν τοῦ ὁρᾶν ἕνεκα δεόμεθα καὶ δὴ καὶ ὡς καλλίο-νες ὀφθαλμοί εἰσιν οἱ *ἐπιπόλαιοι* ἤτοι *ἐξόφθαλμοι*, ὅτι οὐ μόνον τὸ κατευθὺ ἀλλὰ καὶ τὸ ἐκ πλαγίου ὁρῶσιν, ἢ οἱ *κοιλόφθαλμοι*, οἳ τὸ κατευθὺ μόνον ὁρῶσι· διὰ δὲ τὸ ἐξόφθαλμον καὶ τὸ φύσει στερρὸν καὶ ἰσχυρὸν τῶν ὀμμάτων καρκίνον εὐοφθαλμότατον εἶναι τῶν ζῴων οἴεται· καὶ τὸ αἰμὸν δὴ τῆς ῥινὸς τοῦ ὀρθοῦ κάλλιον εἶναι φησίν, «ὅτι » οὐκ ἀντιφράττει, ἀλλ' ἐᾷ εὐθὺς τὰς ὄψεις ὁρᾶν ἃ ἂν βούλωνται· ἡ » δὲ ὑψηλὴ ῥὶς ὥςπερ ἐπηρεάζουσα διατετείχικε τὰ ὄμματα», καθ' ἅπερ Ξενοφῶν ἱστορεῖ ἐν Συμποσίῳ ε, 5-6. Ὀξυωπέστερος δ' ἐν πολ-λοῖς καὶ ὀξυηκοώτερος τῶν ἀνθρώπων ὁ ἵππος ἐνομίζετο· Χρυσάντας γὰρ τῷ Κύρῳ λέγων κατὰ τί τοῦ δυοῖν ὀφθαλμοῖν προορῶντος ἱπ-ποκενταύρου πλεονεκτήσει τάδε φησὶν ἐν Κύρου παιδείᾳ Δ, γ, 21· «ἐγὼ » δὲ τέτταρσι μὲν ὀφθαλμοῖς τεκμαροῦμαι, τέτταρσι δὲ ὠσὶ προαισθή-» σομαι· πολλὰ γάρ φασι καὶ ἵππον ἀνθρώπου τοῖς ὀφθαλμοῖς προ-» ορῶντα δηλοῦν, πολλὰ δὲ τοῖς ὠσὶ προακούοντα σημαίνειν». Αἱ δὲ τρίχες τοῦ προκομίου, φησὶ Ξενοφῶν, ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵπ-πον, ἀποσοβοῦσι δ' ἀπὸ τῶν ὀμμάτων τὰ λυποῦντα· εἶναι δ' αὐτῷ ἀντὶ τῶν μεγάλων ὤτων, ἃ ὄνοις τε καὶ ἡμιόνοις οἱ θεοὶ ἔδοσαν ἀλε-ξητήρια πρὸ τῶν ὀφθαλμῶν αὐτῶν, Περὶ ἱππικῆς ε, 6.

Περὶ δὲ τοῦ λαγῶ Ξενοφῶν οὐκ ὀξὺ βλέπειν φησίν, ὡς τὸ μὲν διὰ τὸ ἐξόφθαλμον τὸ δὲ διὰ τὰ ἐλλείποντα φύσει κολοβὰ βλέφαρα κοὐκ

ἔχοντα προβολὴν ταῖς αὐγαῖς ἀμαυρὰ καὶ ἐσκεδασμένη ἡ ὄψις ἐστί, πρὸς τὸ ἀμβλυωπεῖν τῆς τε ποδωκίας συμβαλλομένης καὶ τῶν φόβων τῶν κυνῶν, Κυνηγετικῷ ε, 26· «Βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά· τά » τε γὰρ ὄμματα ἔχει ἔξω καὶ τὰ βλέφαρα ἐλλείποντα καὶ οὐκ ἔχοντα » προβολὴν ταῖς αὐγαῖς· ἡ ὄψις οὖν διὰ ταῦτα ἀμαυρά, ἐσκεδασμένη... » Καὶ ἡ ποδωκία πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται· » ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν ὄψιν πρὶν νοῆσαι ὅ,τι ἐστί. Καὶ » οἱ φόβοι τῶν κυνῶν, ὅταν διώκωνται, ἑπόμενοι μετὰ τούτων συνε- » ξαιροῦνται τὸ προνοεῖσθαι». Περὶ δὲ τῆς τῶν βλεφάρων φυσιολογίας τοῦ λαγῶ φησι ε, 11· «Καὶ ὅταν μὲν ἐγρηγόρῃ, καταμύει τὰ » βλέφαρα, ὅταν δὲ καθεύδῃ, τὰ μὲν βλέφαρα ἀναπέπταται ἀκίνητα, » οἱ δὲ ὀφθαλμοὶ ἀτρέμας ἔχουσι». Λέγων δὲ Ξενοφῶν ὅτι ὁ λαγὼς διὰ τὸ ἐξόφθαλμον ἀμβλυωπεῖ τὴν ἐναντίαν ὅλως ἐκφράζει γνώμην ἢ περὶ ἵππου λέγει Περὶ ἱππικῆς α, 9· «καὶ μὴν τὸ ἐξοφθαλμον εἶναι » ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ κοιλοφθάλμου, καὶ ἐπὶ πλεῖον ἂν ὁ » τοιοῦτος ὁρᾷη». Δημόκριτος δὲ λέγει *ἐκπεπταμένοις τοῖς ὄμμασι* τίκτεσθαι ἐκ πάντων τῶν ζῴων μόνον τὸν λέοντα, ἐξ ὠδίνων τρόπον τινὰ τεθυμωμένον καὶ ἀγριωπὸν καὶ δρασείοντά τι μανικόν, ὡς φησιν Αἰλιανὸς ἐν τῷ Περὶ Ζῴων Ε, 39.

Καὶ ὅτι δὲ διάφορος παρὰ τοῖς διαφόροις ἀνθρώποις ἡ ὀξύτης τῆς ὁράσεως πέφυκε, καὶ τοῦτο παλαίτατα παρετηρήθη, ὡς εἰκὸς ἦν. Ὅμηρός τε γὰρ τὸ ἄνισον τῆς ὀξύτητος τῆς ὁράσεως διδάσκει· περὶ Ἰδομενέως γαρ Αἴας λέγει Ψ 477

οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκ δέρκεται ὄσσε

καὶ Ἰδομενεὺς τὰς Φηρητιάδου ἵππους, ἃς Εὔμηλος ἤλαυνε, οὐκ εὖ διαγιγνώσκων τοῖς φίλοις «*ἴδεσθε καὶ ὔμμες ἀνασταδὸν*» λέγει, εἴ τις ὀξύτερον ὁρᾷη Ψ 469, καὶ τὸν Δία δὲ διὰ τὸ εὐρεῖαν καὶ ὀξεῖαν ὄψιν ἔχειν *εὐρύοπα* προσονομάζουσιν Ὅμηρός τε Θ 206 καὶ Ἡσιοδος Θεογονιᾳ 884, πρὸς δὲ καὶ τὸν Ἥλιον Ὀρφεὺς εὐρύοπα λέγει Λιθικοῖς 695· καὶ Πίνδαρος τὸ ἔκτακτον τῆς ὀξύτητος τῆς ὁράσεως τοῦ Λυγκέως ὑμνεῖ πάντων τῶν ἐπιχθονίων ἐκείνου τὸ ὄμμα ὀξύτατον γενέσθαι φάσκων· Πολυδεύκη γὰρ ἐν στελέχει δρυὸς καθήμενον ἀπὸ τοῦ Ταϋγέτου κατασκοπῶν Λυγκεὺς διὰ μέσου τῆς δρυὸς εἶδεν Νεμεονίκαις Ι 61. Σοφοκλεῖ δ' ὁ ὀξυωπὸς «*δεινὸς ὁρᾶν*» εἴρηται ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ 141· Εὐριπίδης δὲ *ὀξὺ βλέπειν* λέγει Ἀπ. 502.

Τὸν ὀξυτάτην τὴν ὄψιν ἔχοντα καὶ καλλίστους τοὺς ὀφθαλμοὺς *εὐοφθαλμότατον* Ξενοφῶν λέγει Συμποσίῳ ε, 5, ἄλλοις δ' *εὔοπτος, ὀξυωπής, ὀξυωπίας* κατὰ Πολυδεύκη Β, 51· περὶ δὲ τοῦ ἀμφιβίου κροκοδείλου Ἡρόδοτος λέγει *ὀξυδερκέστατον* μὲν ἐν τῷ ἀέρι τυφλὸν δ' ἐν τῷ ὕδατι εἶναι, ὀφθαλμοὺς δὲ συὸς ἔχειν Β, 68, 3..

Ὡς δὲ παρ' Ὁμήρῳ, ὅρα σ. 117-122, οὕτω καὶ παρὰ τοῖς μετέπειτα αἱ ποικίλαι αὐτῶν τῶν ὀμμάτων κινήσεις φυσιογνωμονικῶς ποικίλα ἐκφράζουσιν· οἷον τὸ *εὐκρινῶς καὶ ἀκριβῶς ὁρᾶν, περιφρόνησιν* καὶ *ὀλιγωρίαν, θράσος, ἀναίδειαν, αἰδῶ, φόβον, ὀργὴν* καὶ ἄλλα.

Πρὸς παράστασιν τοῦ εὐκρινῶς καὶ ἀκριβῶς ὁρᾶν, ὃ Ὅμηρος διὰ τοῦ *πάντοσε παπταίνειν* καὶ τῆς *διηνεκοῦς* καὶ *στρεφεδινήσεως* τῶν ὀμμάτων παρίστησιν, ὡς εἴρηταί μοι 117, καὶ Εὐριπίδης ἐκφράσεσι χρῆται, αἳ τὰς πάντοσε ὀφθαλμικὰς κινήσεις συλλήβδην σημαίνουσι καὶ τὰς περιστροφικὰς ἢ δινώδεις· οἷον «*ἄλλος ἄλλοσε δίνασεν ὄμμα*» φησὶν Ὀρέστῃ 1459 καὶ «*ἐγκυκλοῦντ' ὀφθαλμὸν εὖ σκοπεῖν*» Ἰφιγ. Τ. 76 καὶ «*σκοποῦμαι δ' ὄμμα πανταχοῦ στρέφων*» Ἰφιγ. Τ. 68 καὶ «*παντᾶ τοι βλέφαρον διώκω*» Ἴωνι 205 καὶ «*δεργμάτων κόραισι πολυπλάνοις ἐπισκοπῶν*» Φοινίσσαις 660. Θαυμασίως δὲ τὸ πάντοσε παπταίνειν καὶ τὴν δίνησιν τῶν ὀφθαλμῶν πρὸς εὐκρινῆ ὄψιν διὰ τῶνδε παρίστησι 1261·

Δόχμιά νυν κόρας διάφερ' ὀμμάτων
ἐκεῖθεν ἐνθάδ', εἶτα παλινσκοπιάν.
Ἑλίσσετέ νυν βλέφαρα,
κόρας διάδοτε διὰ βοστρύχων παντᾶ.

Ὥσπερ δὲ παρ' Ὁμήρῳ τὸ *πάλιν τρέπειν* τὰ ὄμματα περιφρόνησιν καὶ ὀλιγωρίαν σημαίνει, ὡς εἴρηταί μοι 118, οὕτω καὶ Αἰσχύλος ἐπὶ τῇ αὐτῇ ἐννοίᾳ περὶ τοῦ Διὸς «*παλίντροπον ὄψιν*» ἔχειν λέγει Ἱκέτισιν 173.

Τὸ δ' ἀτενῶς καὶ κατ' εὐθυωρίαν ὁρᾶν Σοφοκλῆς *ὀρθοῖς ὄμμασιν ὁρᾶν* λέγει ἐν Οἰδίποδι τυράννῳ 1385· Εὐριπίδης δὲ «*προσβλέπειν σ' ὀρθαῖς κόραις*» Ἑκάβῃ 972 καὶ «*σε προσβλέπειν ἐναντίον*» 968 καὶ «*βλέπειν ἐναντίον*» 975. Τὸ δ' *ἐναντίον βλέπειν* παρ' Εὐριπίδῃ τοῦτο μὲν ἀκριβῆ ὄψιν, τοῦτο δὲ θράσος καὶ εὐτολμίαν, τοῦτο δὲ *ἀναίδειαν* σημαίνει Μηδείᾳ 469· τοῦτ' αὐτὸ δ' ἐστὶ καὶ τὸ *ἄρω βλέφαρα πρὸς ταναιδὲς ἀγαγεῖν* Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 379. Θάρ-

ρος δὲ καὶ εὐψυχίαν παρίστησι καὶ τὸ *ἀναβλέπειν ὀρθοῖς ὄμμασι* παρὰ Ξενοφῶντι Ἑλληνικοῖς Ζ, α, 30.

Τὴν *αἰδῶ ἀγνῆς* παρθένου Αἰσχύλος διὰ τῆς πρὸς τὰ κάτω τῶν ὀμμάτων βολῆς παρίστησι λέγων «*κάτω βλεμμάτων ῥέπει βολὴ*» Ἀπ. 134. Καὶ Σαπφὼ δὲ τῷ Ἀλκαίῳ λέγουσα «*αἴδως κε σ' οὐ κίχανεν ὄππατ'*» 28,3 καὶ δὴ τὴν αἰδῶ παριστῶσα τὰ ὄμματα καταλαμβάνουσαν δοκεῖ τὴν τῶν ὀμμάτων τοῦ αἰδουμένου πρὸς τὰ κάτω ροπὴν ὑπεμφαίνειν. Θέογνις δὲ τὴν αἰδῶ ἐπὶ γλώττῃ τε καὶ ὀφθαλμοῖς ἐπικάθησθαί φησιν τήν τε σιγὴν τοῦ αἰδουμένου καὶ τὴν πρὸς τὰ κάτω τῶν ὀμμάτων βολὴν οὕτω ὑπεμφαίνων 85. Τὴν πρὸς τὰ κάτω τοῦ ὄμματος ροπὴν ἐπὶ αἰδοῦς ἐκφράζει καὶ Εὐριπίδης, ὡς ἔοικε, λέγων «*αἰδὼς ἐν ὀφθαλμοῖσι γίγνεται*» Ἀπ. 458 καὶ «*ἐπ' αἰσχύνην ὄμμα τέτραπται*» Ἱππολύτῳ 246.

Τῷ *φόβῳ* Αἰσχύλος φησὶ τὴν μὲν καρδίαν τὸ διάφραγμα λακτίζειν, *τὰ δ' ὄμματα ἐλίγδην τροχοδινεῖσθαι* Προμηθεῖ 882. Εὐριπίδης δὲ τὸν μὲν τρόμῳ ἐχόμενον τὰ βλέφαρα συγκλείειν, τὸν δὲ θαρροῦντα τὸ ὄμμα ἀνακαλύπτειν φησὶν Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 321.

Τὸν *ὀργῇ* ἐχόμενον καὶ ἄγριον καὶ θηριώδη *δεινὸν ὀφθαλμοῖς ὁρᾶν* Ἡσίοδός φησι· καὶ ἡ μὲν Κὴρ «*δεινὸν δερκομένη*» παρίσταται ἐν Ἀσπίδι 160,262 καὶ *δεινωπὴ* 250, δύω δὲ δράκοντε «*ἄγρια δερκομέρω*» 236· ὁ δ' Ἡρακλῆς ὁ Ἀμφιτρυωνιάδης «*δεινὸν ὁρῶν ὄσσοισι*» παρίσταται 426, ὥσπερ λέων «*γλαυκιόων ὄσσοις δεινόν*» 430 καὶ ἡ γλαυκῶπις δ' Ἀθηνᾶ θυμουμένη «*δεινὰ ὑπόδρα ἰδοῦσα*» παρίσταται 445· *στυγερώπης* δ' ὁ ζῆλος λέγεται Ἔργοις καὶ Ἡμέραις 196· Σόλων δὲ τοὺς χολουμένους ὥσπερ ἐχθροὺς *λοξὸν ὀφθαλμοῖς ὁρᾶν* φησιν Ἀπ. 34. Ἀνακρέων δὲ *λοξὸν βλέπειν* περὶ ἑταίρας σοβαρᾶς καὶ ὑπερηφάνου καὶ περιφρονούσης αὐτὸν λέγει ἐν ᾄσματι 75·

τί δή με λοξὸν ὄμμασιν βλέπουσα νηλεῶς φεύγεις;

Αἰσχύλος δὲ τὰ ἄγρια καὶ τρόμον ἐμποιοῦντα ὄμματα τῶν γυναικῶν, ἃς πρὸς Γοργόνας παραβάλλει, ὧδε παρίστησιν Εὐμενίσι 54·

ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ βίαν.

Ἐν δὲ Χοηφόροις 1058·

κἀξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλές.

Ἄργος δ' ἐν ἀκράτῳ ὀργῇ «*πυκροῖς ὄσσοις δεδορκὼς*» παρίσταται Προμηθεῖ 678. Τὸ ὀργίλον δὲ βλέμμα Σοφοκλῆς ὧδε ἐκφράζει ἐν

Ἀντιγόνῃ 1231· «*τὸν δ' ἀγρίοις ὄσσοισι παπτήνας*»· τὴν δὲ Διὸς θυγατέρα Ἀθηνᾶν διὰ τὸ τρόμον ἐμποιοῦν βλέμμα αὐτῆς *γοργῶπιν* λέγει Αἴαντι 450, ὡς καὶ Εὐριπίδης ἐν Ἑλένῃ 1316. Εὐριπίδης δὲ καὶ τὰ ἄγρια καὶ δεινὰ βλέμματα *γοργῶπας ὀμμάτων αὐγὰς* λέγει ἐν Ἡρακλεῖ μαινομένῳ 132 καὶ *γοργωποὺς κόρας* 868 καὶ *ὄμμασι γοργὸς* Φοινίσσαις 146 καὶ *ἀγριωπὸν ὄμμα* 990 καὶ τοὺς ὄφεις διὰ τὸ ἄγριον αὐτῶν βλέμμα *γοργωπούς* 1266· πρὸς δὲ «*τὰς αἱματωπούς καὶ δρακοντώδεις κόρας*» Ὀρέστῃ 256· καὶ «*αἱματηρὸν ὄμμ' ἔχων*» Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 381 καὶ *ταυροῦσθαι τὸ ὄμμα* τὸν ἀγρίως βλέποντα Μηδείᾳ 92 καὶ *ὄμμα λαῦρον* Ἑλένῃ 379· καὶ ταῦρος δὲ τὸ *ὄμμ' ἀναστρέφων κύκλῳ κεἰς κέρας παρεμβλέπων* παρίσταται διὰ τὸἄγριον καὶ δεινὸν αὐτοῦ βλέμμα Ἑλένῃ 1557. Τὸ δ' ἄγριον καὶ φόβον ἐμποιοῦν ὄμμα *πυρὸς γέμειν* φησὶν Ἀπ. 680. Ἀριστοφάνει δ' Αἰσχύλος «*δεινὸν ἐπιοκήριον ξυνάγων*» ἐξ ὀργῆς παρίσταται Βατράχοις 823.

Τὸ δὲ φιλικὸν καὶ περιποιητικὸν καὶ χαρίεν βλέμμα «*ἡδὺ βλέμμα*» λέγει Εὐριπίδης ἐν Ἡρακλεῖ μαινομένῳ 306· τοῦτ' αὐτὸ δὲ σημαίνει καὶ τὸ *καλοῖς βλέπειν ὄμμασι* Φοινίσσαις 397 καὶ τὸ *βλέπειν εὐκηλον* Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 644 καὶ τὸ *ὄμμα ἐκτείνειν φίλον* 648 καὶ *ὄμμα φαιδρωπὸν* Ὀρέστῃ 893 καὶ «*ὄμμα φαιδρὸν*» Μηδείᾳ 1042· ὃ Ἀριστοφάνης *βλέμμα μαλακὸν καὶ καλὸν* λέγει Πλούτῳ 1022.

Τὴν δὲ τῶν βλεφάρων μύσιν Εὐριπίδης λέγει «*ξυνάψαι βλέφαρα βασιλείοις κόραις*» Βάκχαις 747 καὶ «*συναμπίσχει κόρας*» Ἡρακλεῖ μαινομένῳ 1111 καὶ *μύσαν ὄμμα* Μηδείᾳ 1183 καὶ *ὄψιν ὀμμάτων ξυναρμόττειν* Ἰφιγ. Τ. 1167 καὶ τὰ *βλέφαρα συγκλείειν*, τὸ δὲ τὰ ὄμματα ἀνοίγειν *ἀνακαλύπτειν* τὸ *ὄμμα* λέγει Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 321· τὸ δὲ θαμὰ ἐναλλὰξ συνάπτειν καὶ ἀνακαλύπτειν τὰ βλέφαρα *σκαρδαμύσσειν* λέγει Κύκλωπι 626. Διὰ τῶν κινήσεων δὲ τούτων τῶν βλεφάρων φυσιογνωμονικῶς παρίσταται ὁ *ὕπνος*, ὁ *θάνατος*, ὁ ἔρως καὶ ἄλλα.

Τὸν *ὕπνον* Ἡσίοδος εἰκονίζει, καθ' ἅπερ καὶ Ὅμηρος σ. 121, ἐπὶ τῶν βλεφάρων πίπτοντα καὶ δὴ συμβάλλοντ' αὐτὰ Ἀπ. 4· «*οὐδὲ οἱ ὕπνος πίπτειν ἐπὶ βλεφάροις*». Σαπφοῖ δ' ὁ τῆς νυκτὸς ὕπνος ὡς τὰ ὄμματα σκοτῶν καὶ τοῦ ὁρᾶν κωλύων *μέλας τοῖς ὀφθαλμοῖς* παρίσταται 57· «*ὀφθάλμοις δὲ μέλαις νύκτος ἄωρος*». Αἰσχύλος δὲ παρί-

στησιν αὐτὸν τῇ τῶν βλεφάρων συμβολῇ, τῇ μύσει, γιγνόμενον λέγων Ἀγαμέμνονι 15 «*βλέφαρα συμβαλεῖν ὕπνῳ*» καὶ ἐν Ἑπτὰ ἐπὶ Θήβας 3 «*βλέφαρα μὴ κοιμῶν ὕπνῳ*». Πίνδαρος δ' ἐν Πυθιονίκαις ἐπὶ τοῖς βλεφάροις ἐπικαθήμενον παρίστησι τὸν γλυκὺν ὕπνον Θ 24, ὃς ὥσπερ *κελαινῶπις* νεφέλη ἐπὶ τῶν βλεφάρων καταχεῖται καὶ ὃν βλεφάρων ἡδὺ κλεῖθρον ὀνομάζει Α 8, «*γλεφάρων ἁδὺ κλάϊστρον*». Σοφοκλῆς δὲ τὸν ὕπνον παρίστησιν οὐ μόνον τὰ βλέφαρα ἀλλὰ καὶ τὴν κεφαλὴν καταλαμβάνοντα Τραχινίαις 990· Εὐριπίδης δὲ τὴν τῶν βλεφάρων καθ' ὕπνον μύσιν παρίστησιν «*ὕπνος ἡδὺς ἐπ' ὄσσοις κίδναται*» λέγων Ἑκάβῃ 915 καὶ «*ὕπνῳ τ' ἄυπνον βλέφαρον ἐκταθεῖσα δός*» Ὀρέστῃ 302 καὶ «*θέλγει δ' ὄμματος ἕδραν ὕπνος*» Ῥήσῳ 554, πρὸς δὲ *θαλερὸν ὀμμάτων ὕπνον* Βάκχαις 692· τὴν δ' ἐκ τοῦ ὕπνου ἔγερσιν διὰ τῆς τῶν βλεφάρων ἀνοίξεως ἐμφαίνει Ῥήσῳ 8· «*λῦσον βλεφάρων γοργωπὸν ἕδραν*»· καὶ Ὀρέστῃ 157· «*ὀλεῖς, εἰ βλέφαρα κινήσεις ὕπνου γλυκυτάταν φερομένῳ χάριν*»· Τὸν δὲ *θάνατον* Αἰσχύλος μὲν παρίστησι τὸ *ὄμμα συμβάλλοντα*, ἤτοι τὰ βλέφαρα συμμύοντα, ὥςπερ καὶ Θέογνις ἐπὶ *βλεφάρων καθεζόμενον*, Σοφοκλῆς δὲ τὰ *βλέφαρα λύοντα*.

Ὁ *ἔρως* παρ' Ὁμήρῳ μὲν παρίσταται τὸν ἐν τῷ διαφράγματι ἑδρεύοντα νοῦν, τὰς *φρένας*, περικαλύπτων Γ 442 καὶ τὸν ἐν αὐτῷ *θυμὸν* θέλγων σ 212· Ἡσίοδος δὲ πρῶτος τὸν ἔρωτα παρίστησιν ἀπὸ τῶν βλεφάρων τῶν Χαρίτων Ἀγλαΐας καὶ Εὐφροσύνης καὶ Θαλίας χυνόμενον τὰ ἐρωτικὰ αὐτῶν βλέμματα τούτῳ τῷ τρόπῳ ἐξεικονίζων Θεογονίᾳ 910·

τῶν καὶ ἀπὸ βλεφάρων ἔρος εἶδετο δερκομενάων
λυσιμελής· καλὸν δέ θ' ὑπ' ὀφρύσι δερκιόωνται.

Ὁ δὲ θεὸς Ἔρως παρίσταται κάλλιστος, λυσιμελής, δαμάζων πάντων τῶν θεῶν καὶ πάντων τῶν ἀνθρώπων τόν τε νοῦν καὶ τὴν ἐπίφρονα βουλὴν ἐν τῷ στήθει 120 Καὶ τὴν Ἀφροδίτην δ' *ἑλικοβλέφαρον* λέγων, καθ' ἅπερ καὶ ἐν Ὕμνοις Ὁμηρικοῖς ἀναγινώσκεται 5, 19, τὰς ἐρωτικὰς τῶν βλεφάρων κινήσεις καὶ τὰ νεανικὰ καὶ ζωηρὰ αὐτῆς βλέμματα ὑπεμφαίνει 16, ὥςπερ καὶ τὴν Ἔχιδναν νύμφην *ἑλικώπιδα* προσονομάζων 298 καὶ τὴν Μήδειαν *ἑλικώπιδα κούρην* 998. Τοῦτ' αὐτὸ δὲ καὶ Σοφοκλῆς ἐκφράζει *βλεφάρων ἵμερον* λέγων ἐν Ἀντιγόνῃ 795. Ἀρχιλόχῳ δ' ὁ Ἔρως εἰκονίζεται ὡς κλέ-

πτων μὲν ἐκ τοῦ στήθους τὰς *φρένας* ἤτοι τὸν ἐν τῷ διαφράγματι νοῦν σκοτῶν δὲ τοὺς ὀφθαλμοὺς Ἀπ. 103·

πολλὴν κατ' ἀχλὺν ὀμμάτων ἔχευεν [ἔρως[.

Σαπφὼ δὲ τὸν ἔρωτα παρίστησι δυσορασίαν τε ἅμα καὶ δυσηκοίαν ἐμποιοῦντα· τῷ ἔρωτι ἐχομένῳ ἀμαυροῦται μὲν τὰ ὄμματα, φησί, βομβεῖ δὲ τὰ ὦτα 2, 11· τὴν δ' ἐρωτικὴν τῶν ὀμμάτων βολὴν θαυμασίως ὧδε εἰκονίζει 29· «*στᾶθι κἄττα φίλος καὶ τὰν ἐπ' ὄσσοις ἀμπέτασον χάριν*»· Ἴβυκος δ' ὁ μελοποιὸς ᾄδει ὅτι ὁ θεὸς Ἔρως ἀπὸ τῶν ὀμμάτων αὐτοῦ τρυφερὰ καὶ μαλακὰ βλέμματα πρὸς αὐτὸν βάλλει καὶ οὕτως εἰς ἄπειρα δίκτυα τῇ Κύπριδι ἐμπλέκει Ἀπ. 2. Αἰσχύλος δὲ πᾶς τις, φησί, πρὸς εὐμόρφους παρθένους «*ὄμματος θελκτήριον τόξευμα ἔπεμψεν*» ὑπ' ἔρωτος νικώμενος Ἱκέτισι 1004· φλέγων δ' ἐξ ἐπιθυμίας ὁ ὀφθαλμὸς νέας γυναικός ἐστιν Ἀπ. 134. Πινδάρῳ δ' ἡ ἀκμὴ τῆς ἡβικῆς ἡλικίας, ἡ ὥρα, ἡ τὸν ἔρωτα συνεπάγουσα, ἐπὶ τῶν ἀγνῶν τῶν παίδων βλεφάρων ἐφιζάνειν παρίσταται Νεμεονίκαις Η 2. Καὶ Εὐριπίδης δὲ τὸν ἔρωτα ἐν τοῖς βλεφάροις ἑδρεύοντα ποιεῖ Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 585, ἐκ δὲ τῶν ὀμμάτων αὐτοῦ ὁ θεὸς Ἔρως πόθον στάζει εἰσάγων γλυκεῖαν ταῖς ψυχαῖς χάριν Ἱππολύτῳ 525· ἡ δὲ καλὴ Ἑλένη πόθῳ *αἱρεῖ ἀνδρῶν ὄμματα* Τρωϊάσι 892.

Αἱ δὲ τῶν ὀφρύων κινήσεις, ἤτοι ἡ *ἀνάσπασις* καὶ *κατάσπασις* καὶ *σύσπασις*, ὧν ἡ μὲν τῇ τοῦ μετωπικοῦ μυὸς ἐνεργείᾳ, ἡ δὲ τῇ τοῦ ἐπισκυνίου ἢ συνοφρυοῦντος, ἡ δὲ τῇ ταυτοχρόνῳ ἀμφοτέρων τῶν συνοφρυούντων μυῶν ἐνεργείᾳ γίγνεται, ὥςπερ παρ' Ὁμήρῳ, ὅρα σ. 125, οὕτω καὶ παρὰ τοῖς μετέπειτα φυσιογνωμονικῶς τὸ *ἀνατεύειν* καὶ *ἐπινεύειν* σημαίνουσιν· ἀλλὰ μὴν καὶ *μειδίαμα*, *εὐφροσύνη*, *φαιδρότης*, *ὑπερηφανία*, *μεγαλαυχία* παρίστανται, πρὸς δὲ τὸ *σεμνὸν* ἢ *σοβαρόν*, τὸ *θλιβερὸν* καὶ *κατηφὲς* καὶ *σκυθρωπόν*.

Καὶ Σιμωνίδης μὲν τὸ καταφάσκειν, ὥςπερ Ὅμηρος, *ὀφρύσι νεύειν* λέγει Ἀπ. 143. Πίνδαρος δὲ διδάσκει ὡς τὸ ἐπινεύειν βλεφάροις γίγνεται, «*ἐπὶ γλεφάροις νεῦσαν ἀθανάτοισιν*», Ἰσθμιονίκαις Η 46· καὶ ὄντως ἐν μὲν τῷ καταφάσκειν, ἐπινεύειν, συμμύομεν τὰ βλέφαρα ἢ κατασπῶμεν τὰς ὀφρῦς, ἐν δὲ τῷ ἀποφάσκειν, ἀνανεύειν, ἀναπετάννυται τὰ βλέφαρα ἢ ἀνασπῶνται αἱ ὀφρύες ἢ ἑκάτερα συνάμα γίγνεται. Καὶ τὸν γέλωτα δὲ ταῖς ὀφρύσι γίγνεσθαι Πίνδαρός φησιν,

«*ἀγαρᾷ χλαρὸν γελάσσαις ὀφρύι*», Πυθιονίκαις Θ 38, καθ' ἅπερ καὶ Ὅμηρος, ὅρα σ. 121· ὥςπερ γὰρ ἐν τῷ σκυθρωπάζειν καὶ σύννουν εἶναι συνάγομεν καὶ κατασπῶμεν τὰς ὀφρῦς, οὕτω καὶ ἐν τῷ γελᾶν καὶ ἀγάλλεσθαι αἱ ὀφρύες φύσει ἀναπετάννυνται. *Στυγνὴ* δὲ *ὀφρὺς* παρ' Εὐριπίδῃ τὸ θλιβερὸν καὶ κατηφὲς σημαίνει Ἱππολύτῳ 290, καθ' ἅπερ καὶ *στυγνὸν ὀφρύων νέφος* 173. Τὸ δὲ τὰς *ὀφρῦς ἐπαίρειν* ὑπερηφανίας λέγει σημεῖον Ἀπ. 859· ὃ *ὀφρυάζειν* Ἀριστοφάνης λέγει καὶ *τὰς ὀφρῦς ἀνασπᾶν*, ἐπὶ δὲ σοβαροῦ καὶ σκυθρωποῦ ἤθους *ὀφρῦς συνάγειν καὶ σκυθρωπάζειν ἅμα* Πλούτῳ 756. Τὸ δ' ἐκ τοῦ σεμνοπρεποῦς σοβαροῦ καὶ σκυθρωποῦ ἐπὶ τὸ φαιδρὸν καὶ ἤρεμον μεταβάλλειν Εὐριπίδης λέγει *καταβάλλειν, μεθιέναι, λύειν* τὰς ὀφρῦς. Τὸ δὲ *σκυθρωπὸν* καὶ *σοβαρὸν* ἐκφράζει τῷ «*σκυθρωποὺς ὀμμάτων ἔξω κόρας*» Ὀρέστῃ 1319 καὶ «*σκυθρωπὸν ὄμμα*» Φοινίσσαις 1338. Τὸ δ' ἔμφροντι καὶ θλιβερὸν καὶ ἐπίδακρυ βλέμμα λέγει «*κατηφὲς ὄμμα*» Ἡρακλείδαις 633· τοῦτ' αὐτὸ δ' ἐκφράζει καὶ τὸ «*μέλανα κῆρ' ἐπ' ὄμμασιν βαλὼν*» Φοινίσσαις 950 καὶ τὸ *σύρροιαν ὄμμασι φέρειν* Ἡρακλείδαις 381 καὶ τὸ *συρρεφῆ ὄμματα* Ἠλέκτρᾳ 1078. Διὰ τούτων δ' ὑπεμφαίνεται ὡς ἔοικεν ἡ τῶν ὀφρύων σύσπασις καὶ καταβολὴ τοῦ σκυθρωποῦ καὶ κατηφοῦς.

Τὸ δὲ *δακρύειν* ποικιλωτάταις ἐκφράσεσι λέγεται. Ἡσίοδος μὲν τὴν ἐπὶ τῆς Ἀσπίδος Ἡρακλέους Ἀχλὺν *δάκρυσι μυδαλέην* λέγει δακρύουσαν παριστὰς 270· ἐπὶ δὲ θανάτου «*δάκρυσι μῦρον*» φησὶν 132 καὶ τὰ Ἄλγη δὲ *δακρυόεντα* παρίστησι Θεογονίᾳ 227. Ἀρχίλοχος δὲ τὸ ἐπίδακρυ καὶ κάθυγρον καὶ λημῶν ὄμμα *μυδαλέον* λέγει, ὡς φανερὸν ἔκ τε Σουΐδα καὶ Ἡσυχίου καὶ Φωτίου 278, 13. Πίνδαρος δ' ἐκ τῶν βλεφάρων πομφολύζειν τὰ δάκρυά φησι Πυθιονίκαις Δ 121. Αἰσχύλος δέ φησι περὶ ἀπαύστως δακρυρροοῦντος *κατεσβηκέναι αὐτῷ τὰς κλαυμάτων πηγάς, οὐδ' ἐρεῖναι αὐτῷ σταγῶνα* Ἀγαμέμνονι 887· φοβερὰν δ' ὁμίχλην πλήρη δακρύων τοῖς ὀφθαλμοῖς ἐπιέναι Προμηθεῖ 144. Ὥσπερ δὲ καὶ ἐπὶ ἄλλοις, οἷον ὥσπερ λέγει *ἄστροφα ὄμματα* καὶ τοὐναντίον *παλίντροπα, ξηρὰ* καὶ *ἄκλαυτα, ὀψίκοιτα, δίκαια* καὶ *ἔνδικα*, πρὸς δὲ *ὄμμα φαιδρόν, φίλιον, πρευμενὲς* καὶ *μαλθακὸν ὀμμάτων βέλος*, τοὐναντίον δὲ *σκυθρωπόν, πικρόν, γοργὸν* καὶ *δόλιον*, πρὸς δὲ *ἥσυχον, ποδῶκες, ἄφυκτον, κοινόν*, καὶ *ὀφθαλμὸς φλέγων, πιστός, ἡμεροσκόπος*, καὶ *πυκνὰ ὄσσε*, ποικίλας τε τῶν ὀφθαλμῶν

καταστάσεις καὶ ἐνεργείας καὶ ἐν ὀρθοεπείᾳ ἐκφράζων, οὕτω καὶ ἐπὶ τῇ τοῦ δακρύειν ἐννοίᾳ φράσεσι καὶ λέξεσιν Αἰσχύλος χρῆται, ἐν αἷς τὸ πομπῶδες καὶ σοβαρὸν οὐ μὴν ἀλλὰ καὶ ἡ ὀρθοέπεια κρατεῖ· λέγει γὰρ ἐν Προμηθεῖ 400·

δακρυσίστακτον δ' ἀπ' ὄσσων ῥαδινῶν λειβομένα ῥέος, παρειὰν
νοτίοις ἔτεγξα παγαῖς·

Ἐκ τῶν βλεφάρων δὲ καὶ τὰ θερμὰ δάκρυα ῥέοντα Θεόγνις ἐποίησε 1206. Σοφοκλῆς δὲ ποικίλως τὸ δακρύειν ἐκφράζει· τὸ δ' ἀστακτὶ δακρύειν ὧδε λέγει ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ 1251· «*δι' ὄμματος ἀστακτὶ λείβων δάκρυον*». Εὐριπίδης δὲ τῶν σταζόντων δακρύων τὴν ἀνταύγειαν ἠλεκτροφανῆ λέγει ἐν Ἱππολύτῳ 741· «*δακρύων τὰς ἠλεκτροχρόφαεῖς αὐγάς*»· τὸ δὲ δάκρυσιν ὑγραινόμενον βλέφαρον *νοτερὸν* Ἀλκήστιδι 598 καὶ *διάβροχον ὄμμα* Ἠλέκτρᾳ 503· *δάκρυ δ' ἄδακρυ* λέγει τὸ ἐκ χαρᾶς τὸ βλέφαρον νοτίζον Ἰφιγενείᾳ τῇ ἐν Ταύροις 832· τὸν δὲ δακρυρροοῦντα τὸ ὄμμα συγκλείειν φησὶν Ἴωνι 241. Τὸ δὲ δακρύειν ποικίλως λέγει· οἷον «*στέγξω τόδ' ὄμμα*» Ἑκάβῃ 520, «*ὄμμα δ' ἐκτήξουσ' ἐμὸν δακρύοις*» Ὀρέστῃ 135, καὶ πλείσταις δ' ἄλλαις ὡς εἴωθεν ἐκφράσεσι χρῆται, ὧν γραφικωτάτη ἥδε, «*ἐκ δ' ὀμμάτων πηγαὶ κατερρώγασιν*» Ἀλκήστιδι 1067 καὶ ἡ *ὀφθαλμόστεγκτος πλημμυρὶς* 184· ἡ δὲ Ἰφιγένεια κλαίει *ἐς γῆν ἐρείσασ' ὄμμα* Ἰφιγενείᾳ τῇ ἐν Αὐλίδι 1123, *σύγχυσιν* δ' ἔχουσι καὶ *ταραγμὸν* ὀμμάτων πάντες διὰ τὸν τῆς Ἰφιγενείας θάνατον, ὃν Ἀγαμέμνων βουλεύεται 1127.

γ'. *Περὶ ὀφθαλμικῶν παθῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.*

Ὀφθαλμικὰ ἰάματα, ὥσπερ καὶ ὠτικά, καὶ ἐν τοῖς ἱεροῖς Ἀσκληπιοῦ κατὰ τοὺς χρόνους τούτους ἐγίγνετο ὑπό τε τῶν ἱερέων ἢ ὑπηρετῶν τοῦ θεοῦ καὶ τῶν ζακόρων τῶν ὑποδρώντων αὐτοῖς βοηθῶν· ἐνομίζετο δ' αὐτὸς ὁ θεὸς Ἀσκληπιὸς τὴν ἐμφάνειαν ποιούμενος τοὺς ὀφθαλμιῶντας ἰᾶσθαι, πράγματι δ' οἱ ἱερεῖς αὐτοῦ οἱ θεόπνευστοι ἰατροὶ τοὺς ἀρρώστους φαρμάκοις τε καὶ τομαῖς καὶ ἐπῳδαῖς ἰῶντο, ἃ παρ' Ἀσκληπιοῦ ἢ τῶν ἐκγόνων αὐτοῦ ἐξέμαθον. Ἐπεὶ δ' ἀσέβεια πρὸς τὸ τέλειον καὶ θεῖον τῆς Ἀσκληπιοῦ ἰατρικῆς ἐνομίζετο, ὥσπερ καὶ παρὰ τοῖς Αἰγυπτίοις, νέον τι παρὰ τὰ ἔκπαλαι νενομισμένα ἐπιχειρῆσαι τοὺς θεοσεβεῖς ἱερεῖς εὑρεῖν, εἰκὸς ἂν εἴη εἰκάσαι ὡς

τὰ ἐν τοῖς Ἀσκληπιείοις ὀφθαλμικὰ καὶ ὠτικὰ τῶν ἱερέων ἰάματα κατὰ τὰ Ἀσκληπιοῦ διδάγματα ἐγίγνετο καὶ ὡς, εἴ τι χρήσιμον ἐν αὐτοῖς ὑπάρχει, Ἀσκληπιοῦ ἂν εἴη εὕρημα. Διὰ τοῦτο περὶ τῶν ἰαμάτων τούτων τῶν ἐν τοῖς ναοῖς λόγος ἐγένετο ἐν τῷ Περὶ Ἀσκληπιοῦ σ. 89-100.

Τὰ δὲ τῶν ὀφθαλμῶν πάθη, καθ' ἅπερ καὶ τὰ τῶν ὤτων, οἱ ἰατροὶ ὡς εἰκὸς διεγίγνωσκόν τε καὶ ἴωντο καὶ κατὰ τοὺς χρόνους τούτους· ὀφθαλμικοὶ γὰρ ἴδιοι καὶ Ἱπποκράτους πολλῷ ὕστερον οὔπω ὑπῆρχον παρ' Ἕλλησιν, ἀλλὰ τὴν καθόλου ἰατρικὴν ἤσκουν καὶ ταύτης ὡς εἰκὸς τὰ διδάγματα καὶ ἰάματα καὶ χειρουργίας καὶ τῇ ὀφθαλμολογίᾳ καὶ ὠτολογίᾳ ἐφήρμοζον. Καὶ συγγραφαὶ μὲν αὐτῶν, εἴ τι ἰατρικὸν συνέγραψαν, οὐ περιγεγόνασιν ἡμῖν, ἵνα εἴ τι περὶ ὀφθαλμῶν καὶ ὤτων αὐτοῖς εἰρημένον εἴη ἐν τῇδε τῇ ἱστορίᾳ λεχθείη· ἀλλὰ μὴν τὰ κύρια τῶν πρὸ Ἱπποκράτους Ἀσκληπιαδῶν ὀφθαλμικὰ καὶ ὠτικὰ εὑρήματα δοκεῖ μοι ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις εἰρῆσθαι· ἀδύνατον γὰρ Ἱπποκράτην μὴ εἰδέναι σαφῶς καὶ ἀκριβῶς τὰ κύρια τῶν πρὸ αὐτοῦ ἰατρῶν εὑρήματα ἢ ταῦτα εἰδότα ἀποβαλεῖν καὶ μὴ εἰπεῖν· αὐτὸς γὰρ Ἱπποκράτης διδάσκει, ὅρα σ. 41, ὅτι τῇ ἰατρικῇ ἔκπαλαι πολλά τε καὶ καλῶς ἔχοντα εὑρηται καὶ ὅτι εἴ τις ταῦτα πάντα ἀποβάλοι καὶ ἀποδοκιμάσειεν ἀδύνατον νέον τι εὑρεῖν. Ἐπεὶ δ' εἰδέναι ἀδύνατον τίνα τὰ πάλαι εὑρημένα καὶ τίνα Ἱπποκράτης αὐτὸς εὗρηκεν ἐκ τῶν τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας (τοῦτο γὰρ ὡς ἐπὶ τὸ πολὺ οὐκ εἴρηται αὐτῷ), διὰ τοῦτο τὰ ὀφθαλμικὰ καὶ ὠτικὰ εὑρήματα τῶν πρὸ τοῦ Ἱπποκράτους ἰατρῶν ἐξ ἀνάγκης συμπεριληφθήσεται ἐν τοῖς Ἱπποκράτους, περὶ ὧν ἐν τῇ ὅσον οὔπω ἐκδοθησομένῃ **Ὀφθαλμολογίᾳ καὶ Ὠτολογίᾳ τῶν Ἑλλήνων ἀπὸ Ἱπποκράτους μέχρι τῶν καθ' ἡμᾶς χρόνων** ἔσται ἡμῖν ὁ λόγος.

Ἐνταῦθα δὲ περὶ τῶν πρὸ τοῦ Ἱπποκράτους ἰατρῶν καθόλου τινὰ εἰρήσεται, τίνες ποτ' ἐγένοντο καὶ ὡς ἀρρώστους καὶ δὴ καὶ ὀφθαλμιῶντας ἴωντο ἔν τε ἰατρείοις καὶ ὡς δημοσιεύοντες καὶ περιοδευταί, καὶ καθόλου ὅ,τι περὶ ὀφθαλμικῶν παθῶν ἀρυόμεθα ἐκ τῶν πρὸ Ἱπποκράτους ἢ ὁμοχρόνων αὐτῷ ποιητῶν, ἱστορικῶν, φιλοσόφων· καὶ ταῦτα γὰρ ὡς ἐπὶ τὸ πολὺ τῶν ἰατρῶν, ὡς ἔοικεν, ἐστὶν

εὑρήματα, ἐξ ὧν οἱ ποιηταὶ καὶ ἱστορικοὶ ὀλίγ' ἄττα ἀμυδρῶς διέσωσαν, ἔστι δ' ἃ καὶ τῶν φιλοσόφων.

Ἐνταῦθα ἄρα ἔσται ἡμῖν ὁ λόγος *Περὶ τῶν πρὸ τοῦ Ἱπποκράτους ἰατρῶν καὶ πῶς τοὺς ὀφθαλμιῶντας ἰῶντο καὶ καθόλου ὅ,τι περὶ ὀφθαλμικῶν παθῶν παρὰ ποιηταῖς ἱστορικοῖς φιλοσόφοις εὕρηται.*

Κατὰ Γαληνὸν τρεῖς χοροὶ ἢ ἑταιρεῖαι, ὡς ἔπος εἰπεῖν, ἰατρῶν ἐγένοντο πρὸς ἀλλήλους τῷ πλήθει τῶν εὑρημάτων νικῆσαι ἁμιλλώμενοι· καὶ πλεῖστοι μὲν καὶ ἄριστοι οἱ Κῷοι ἦσαν ἰατροί, ἐγγὺς δὲ τούτοις καὶ οἱ ἀπὸ τῆς Κνίδου, λόγου δ' ἦσαν ἄξιοι οὐ σμικροῦ καὶ οἱ ἐκ τῆς Ἰταλίας ἰατροί, Φιλιστίων τε καὶ Ἐμπεδοκλῆς καὶ Παυσανίας καὶ οἱ τούτων ἑταῖροι· τριττοῦ δ' ὄντος τοῦ γένους τῶν ἐπὶ τῆς Ἀσίας Ἀσκληπιαδῶν, ἐκλιπόντος δὲ τοῦ κατὰ Ῥόδον, μόνον οἱ τῆς Κῶ καὶ Κνίδου Ἀσκληπιάδαι ὑπῆρχον 10,3. Φαίνεται δὲ Γαληνὸς περὶ τοὺς καθ' Ἱπποκράτην χρόνους ἀναφερόμενος· τότε γὰρ ἡ ἔρις τῶν ἑταιρειῶν τούτων ἐγένετο καὶ ἐπὶ Ἱπποκράτους τὴν ὑπεροχὴν ἔσχεν ἡ τῆς Κῶ ἰατρικὴ ἑταιρεία. Ξενοφῶν δὲ μνημονεύει, ὡς Κῦρος (554) «τούς τε ἰατροὺς τοὺς ἀρίστους συνεκομίσατο πρὸς αὑτὸν καὶ ὁπόσα ἢ ὄργανα χρήσιμα ἔφη τις ἂν αὐτῶν γενέσθαι ἢ φάρμακα ἢ σῖτα ἢ ποτὰ» Κύρου παιδείᾳ Η, 6, 24. Τοῦτο δὲ σαφὲς τεκμήριον ὅτι ἐπὶ Κύρου ἰατρῶν πλῆθος ὑπῆρχε, οἳ καὶ ὀργάνων ἐποιοῦντο χρῆσιν πρὸς ἴασιν χειρουργικῶν παθῶν, *μετὰ πόνων καὶ ἀλγηδόνων ἀποτέμνοντες καὶ ἀποκαίοντες* τὰ πάσχοντα μέρη Ἀπομνημονεύμασι Α, 6, 54· ἐν δὲ Κύρου Ἀναβάσει «καὶ γὰρ οἱ ἰατροὶ καίουσι καὶ τέμνουσιν ἐπ' ἀγαθῷ» φησι Ε, η, 17, μέγα τῇ χειρουργικῇ πεποιθώς. Ἰατρῶν δὲ προγενεστέρων καὶ ὁμοχρόνων Ἱπποκράτει ἴσμεν τινὰ ὀνόματα καὶ ἐκ τῶν τριῶν τούτων ἑταιριῶν.

Περὶ ἰατρικῆς ἑταιρείας Ἰταλίας καὶ Σικελίας. Ἡ μὲν τὸ πρῶτον ἀκμάσασα ἰατρικὴ ἑταιρεία τῆς Ἰταλίας καὶ ἡ τῆς Σικελίας, ὧν τό τε γένος καὶ ἡ διοργάνωσις ἄγνωστα ἡμῖν, πολλοὺς ἔσχεν ἑταίρους. Ἐπὶ Ζαλεύκου (650) δοκεῖ πολλοὺς παρὰ Λοκροῖς τοῖς Ἐπιζεφυρίοις ὑπάρχειν ἰατρούς· καὶ γὰρ θάνατον κατεγίγνωσκε Ζάλευκος τῶν ἄνευ ἐπιτάξεως ἰατροῦ οἶνον πεπωκότων, ὥς φησιν Ἀθήναιος Ι, 33. 429a καὶ Αἰλιανὸς ἐν Ποικίλῃ ἱστορίᾳ Β, 37. Καθ' Ἡρόδοτον δέ, ὃς φυγὰς ἐν Θουρίῳ συνέγραφεν, οἱ τῆς Κρότωνος ἰατροὶ ἀπὸ Δημοκήδους φήμης ἀγαθῆς ἐκτήσαντο καὶ ἐπὶ μακρὸν οἱ πρῶτοι ἰατροὶ

τῆς Ἑλλάδος ἁπάσης ἐθεωροῦντο Γ,131. *Δημοκήδης* δέ, εἰ καὶ καθ' ὃν χρόνον Πυθαγόρας ἐν Κρότωνι τὴν φιλοσοφικὴν αὐτοῦ ἱδρύσατο σχολὴν περὶ τὸ 540-530 π.Χ. ἐγεννήθη, δοκεῖ οὐ Πυθαγόρειος γεγονέναι, ἀλλὰ παρά τινι ἰατρῷ, ὡς αὐτὸς οὗτος τῷ Δαρείῳ εἴρηκε, τὴν ἰατρικὴν δεδιδάχθαι. Δημοκήδης ἰατρὸς δημοσιεύων ἐγένετο ἐν Αἰγίνῃ, Ἀθήναις καὶ Σάμῳ, εἶτα δ' αἰχμαλωτισθεὶς ἰατρὸς Δαρείου τοῦ Περσῶν βασιλέως ἐγένετο τὸν στρεβλωθέντα αὐτοῦ πόδα ἰασάμενος. Εὐφυεστάτῃ δ' ἐπινοίᾳ τῆς τῶν Περσῶν αὐλῆς ἐλευθερωθεὶς ἐς τὴν αὐτοῦ πατρίδα Κρότωνα ἐπανέκαμψεν, ἔνθα τὴν Μίλωνος θυγατέρα ἐνυμφεύσατο, ὡς Ἡρόδοτος ἱστορεῖ Γ, 125-137, ἐξ οὗ καὶ Τζέτζης τὴν ἱστορίαν αὐτοῦ παρέλαβεν Ἱστορικῇ ιζ'. 3,545. Δημοκήδης καὶ βιβλίον περὶ ἰατρικῆς συνέγραψε κατὰ Σουίδαν. Οὐ μόνον δὲ παθολογικὸς ἀλλὰ καὶ χειρουργικὸς ἦν Δημοκήδης, καθ' ἃ φησιν Ἡρόδοτος Γ, 131· « Καταστὰς δὲ ἐς ταύτην [τὴν Αἴγιναν] τῷ » πρώτῳ ἔτει ὑπερεβάλετο τοὺς *ἄλλους ἰητροὺς* ἀσκευὴς περ ἐὼν καὶ » ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήϊα ». Ἐκ τούτου δὴ τοῦ χωρίου φανερὸν ὅτι ἐν γένει καὶ ἄλλοι ἰατροὶ ὑπῆρχον καὶ ὅτι καὶ τότε οἱ ἰατροὶ ἐργαλείων χρῆσιν ἐποιοῦντο πρὸς ἐξάσκησιν τῆς ἰατρικῆς. Ἐκ τῆς Ἰταλίας τρεῖς ἕτεροι ἰατροὶ ὁμόχρονοι που καὶ Ἱπποκράτους πρεσβύτεροι (492-432) γεγόνασιν, Ἐμπεδοκλῆς φιλόσοφός τε καὶ ἰατρός, Παυσανίας καὶ Ἄκρων.

Καὶ Παυσανίας μέν, ᾧ Ἐμπεδοκλῆς 58 τὸ Περὶ φύσεως ποίημα αὐτοῦ ἀνατίθησιν, ὡς Διογένης Λαέρτιός φησι Η, 6, 60, υἱὸς μὲν Ἀγχίτου, ἐν Γέλᾳ δ' ἐγένετο. Ἰατρὸς δ' ἦν ἄριστος, ὃν Ἀσκληπιάδην λέγει Ἐμπεδοκλῆς καὶ σφόδρα ἐπαινεῖ ἐν τῷδε τῷ Ἐπιγράμματι 473·

> Παυσανίην ἰητρὸν ἐπώνυμον Ἀγχίτου υἱόν,
> φῶτ' Ἀσκληπιάδην πατρὶς ἔθρεψε Γέλα·
> ὃς πολλοὺς μογεροῖσι μαραινομένους καμάτοισι
> φῶτας ἀπέστρεψεν Περσεφόνης θαλάμων.

Ἡρακλείδης δὲ κατὰ Διογένη Η, 60 φησὶν ἐν τῷ Περὶ νόσων Παυσανίαν *τὰ περὶ τὴν ἄπνουν παρ'* Ἐμπεδοκλέους διδαχθῆναι, ἤτοι τὸ *τριάκοντα ἡμέρας συντηρεῖν ἄπνουν καὶ ἄσφυκτον τὸ σῶμα*. *Ἄπνους δ' Ἡρακλείδου* τὸ περὶ τούτου βιβλίον ἐπεγέγραπτο κατὰ Γαληνὸν 8,415.

Ἄκρων δ' ὁ Ἀκραγαντῖνος υἱὸς Ξένωνος κατὰ Σουίδαν Περὶ ἰα-

τρικῆς ἔγραψεν, ἰατρικὴ δ' ἀνῆκεν οἰκογενείᾳ, καὶ τοῦ πατρὸς αὐτοῦ ἰατροῦ ὄντος, καθ' Ἡσύχιον Μιλήσιον Ἐμπεδοκλεῖ σ. 16. Ἄκρων εἰς Ἀθήνας μετ' Ἐμπεδοκλέους ἀφικόμενος, ἵνα φιλοσοφικὴν ἱδρύσωσι σχολήν, διὰ μεγάλων πυρῶν ἐκ τοῦ λοιμοῦ τὴν πόλιν ἀπήλλαξεν (430 π. Χ.), ὡς Σουίδας τέ φησι καὶ Πλούταρχος ἐν τῷ Περὶ Ἴσιδος καὶ Ὀσίριδος 79 καὶ Ὀριβάσιος ἐν Συνόψει τ, κδ καὶ Ἀέτιος Ε, ϟδ καὶ Παῦλος ὁ Αἰγινήτης Β, λδ. Καὶ ἱδρυτὴν δὲ τῆς ἐμπειρικῆς αἱρέσεως Ἄκρωνα οἱ ἐμπειρικοὶ ἔλεγον, εἰ καὶ ἀληθῶς Φίλων ἀρχηγὸς τῶν ἐμπειρικῶν ἐγένετο, ὡς Γαληνός φησι 14,683. Ἐμπεδοκλῆς δὲ λέγεται τόδε τὸ τωθαστικὸν ἐπίγραμμα Ἄκρωνι ποιῆσαι 471·

ἄκρον ἰητρὸν Ἄκρων· Ἀκραγαντῖνον πατρὸς ἄκρου
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.

Ἐμπεδοκλῆς δὲ (495-435) ἰατρὸς μὲν ἦν καὶ ἰατρικοὺς συνέγραψεν, ἀλλ' ἐπεὶ καθ' Ἱπποκράτην ἐς φιλοσοφίαν τείνει αὐτῷ ὁ λόγος, περὶ φύσεως συγγράψαντι, ἐν τῷ Περὶ ὀπτικῆς αἱ ὀπτικαί τε φυσικαὶ τε αὐτοῦ θεωρίαι εἰρημέναι εἰσὶν ἐν σ. 177.

Ὁ δὲ Κῷος Μητρόδωρος ὁ Ἐπιχάρμου ὑπὸ τοῦ πατρὸς διδαχθεὶς πρὸς τὴν ἰατρικὴν μετήνεγκε τὰ πλείονα τῶν τοῦ αὐτοῦ πατρὸς διδαγμάτων καὶ θεωρημάτων, ἃ ὡς καὶ τὰ τοῦ Πυθαγόρου βιβλία δωριστὶ γεγραμμένα ἦσαν, ὡς Ἰάμβλιχος ἐν Βίῳ Πυθαγόρου φησὶ λδ'. 241. Καὶ Ἐπίχαρμος δ' ὁ κωμῳδοποιός, Διογένης φησὶν Η,3,2, ὑπομνήματα καταλέλοιπεν, ἐν οἷς φυσιολογεῖ, γνωμολογεῖ, *ἰατρολογεῖ*, καὶ δὴ πάνσοφός τις ἀνὴρ ἐγένετο καὶ ἰατρὸς ἅμα, ἐξ οὗ πολλὰ τῶν τῆς φιλοσοφίας αὐτοῦ Πλάτων παρείληφε. Καὶ Πυθαγόρας δέ τις *ἰατρὸς* τῷ φιλοσόφῳ σύγχρονος γεγονέναι λέγεται τὰ *περὶ κήλης* γεγραφὼς κατὰ Διογένην Η, α, 47, ἀλλὰ καὶ αὐτὸς οὗτος ὁ φιλόσοφος δοκεῖ καὶ περὶ τὰ ἰατρικὰ ἔμπειρος γεγονέναι Η, α, 12.

Περὶ Κυρηναίων ἰατρῶν. Καὶ ἐν Κυρήνῃ δὲ τῆς Ἀφρικῆς ὑπῆρχον ἐπὶ Δημοκήδους (550) ἰατροὶ τὰ δευτερεῖα τῶν ἐκ Κρότωνος φέροντες, ὡς Ἡρόδοτός φησι Γ, 131. Εἰκὸς δ' ἂν εἴη εἰκάσαι ὡς καὶ οἱ ἐν Κυρήνῃ ἰατροὶ ἰατρικὴν ὡς ἔπος εἰπεῖν ἑταιρείαν ἀπετέλουν, τά τε ἑαυτῶν τέκνα καὶ τοὺς ὑπηρέτας ἕκαστος διδάσκοντες, ὡς καὶ οἱ ἐν Κῷ καὶ Κνίδῳ.

Περὶ Ἀσκληπιαδῶν τῆς Ῥόδου. Καὶ ἐν Ῥόδῳ δὲ Ἀσκληπιαδῶν

γένος ἦν, ὃ ἐνωρὶς πρὸ τῆς ἀκμῆς τῶν τῆς Κῶ καὶ Κνίδου ἰατρῶν ἐξέλιπεν, ὡς φησι Γαληνὸς 10,5.

Περὶ Ἀσκληπιαδῶν τῆς Κῶ καὶ Κνίδου. Ἀρίστης δὲ φήμης οἱ τῆς Κῶ καὶ Κνίδου Ἀσκληπιάδαι ἐκτήσαντο. Καὶ Κνίδιοι μὲν ἰατροὶ ὁ Εὐρυφῶν, ὃς τῷ πεπυρακτωμένῳ σιδήρῳ τὸ ἐμφύσημα ἐθεράπευε, καὶ ὁ Ἱπποκράτους σύγχρονος Κτησίας μόνοι γνωστοὶ ἡμῖν τυγχάνουσι. Κῷοι δ' ἰατροὶ πρὸ Ἱπποκράτους γεγονότες εἰσὶ κατὰ τὴν πλήρη καὶ κατ' εὐθὺ γενεαλογίαν Τζέτζου, ὡς εἴρηταί μοι σ. 106, Ἀσκληπιός, Ποδαλείριος, Ἱππόλοχος, Σώστρατος, Δάρδανος, Κρίσαμις, Κλεομυττάδης, Θεόδωρος, Σώστρατος Β, Κρίσαμις Β, Θεόδωρος Β, Σώστρατος Γ, Νέβρος (περὶ τὸ 580), Γνωσίδικος, Ἱπποκράτης Α καὶ Ἡρακλείδης ὁ πατὴρ τοῦ μεγάλου Ἱπποκράτους. Σουίδας δὲ προγόνους Ἱποκράτους καὶ Χρύσην καὶ τὸν τούτου υἱὸν Ἔλαφον λέγει ἐν λέξει *Ἱπποκράτει*, οἱ ἰατροὶ ὡσαύτως ἦσαν. Στέφανος δ' ὁ Βυζάντιος ἐν τῷ Περὶ πόλεων ἐν λέξει Κῷ διασημότατόν φησι τῶν Ἀσκληπιαδῶν Νέβρον γεγονέναι, οὐ Γνωσίδικος· Γνωσιδίκου δ' οὐ μόνον Ἱπποκράτης Α ἐγένετο, ὁ πάππος τοῦ μεγάλου Ἱπποκράτους, ἀλλὰ καὶ Αἰνειος καὶ Ποδαλείριος Β. Ὁ Παῖτος δὲ τῷ Ἀρταξέρξῃ γράφων Ἱπποκράτην ἕνατον μὲν ἀπὸ Κρισάμιδος τοῦ βασιλέως λέγει, ὀκτωκαιδέκατον δ' ἀπ' Ἀσκληπιοῦ Ἱππ. Kühn 3,770. Διαφέρει δὲ τῆς Τζέτζου ἡ μέχρι Κρισάμιδος Β διήκουσα γενεαλογία Παίτου, ὅτι μεταξὺ Κρισάμιδος Β καὶ Θεοδώρου Β, ὡς ἔοικε, παρεμβάλλει Κλεομυττάδην Β. Τούτου δὲ γενομένου, ὄντως Ἱπποκράτης ἕνατος μέν ἐστιν ἀπὸ Κρισάμιδος Β, ὀκτωκαιδέκατος δ' ἀπ' Ἀσκληπιοῦ, κατὰ τὴν Τζέτζου γενεαλογίαν ἑπτακαιδέκατος ὤν. Κατὰ δὲ τὸν ἀνώνυμον Ἱπποκράτους βιογράφον, ὃς ἄλλοις τε καὶ Σωρανῷ τῷ Κώῳ ἠκολούθησε, τὰ τῆς Κῶ ἀρχεῖα ἀναδιφήσαντι, εἰκοστὸς μὲν ἀπὸ Ἡρακλέους ἐννεακαιδέκατος δ' ἀπ' Ἀσκληπιοῦ γέγονεν, ὄντως δ', εἰ Χρύσης καὶ Ἔλαφος κατ' εὐθὺ πρόγονοι Ἱπποκράτους ἦσαν, ἐνεακαιδέκατος ἂν ἦν, προστιθεμένων καὶ τούτων εἰς τὴν Τζέτζου γενεαλογίαν.

Πρῶτοι δ' Ἀσκληπιάδαι φυσικῷ τῷ λόγῳ οἱ Ἀσκληπιοῦ παῖδες Ποδαλείριος καὶ Μαχάων ἐγένοντο, ὡς Ὅμηρος αὐτοὺς ὀνομάζει· λαϊκοὶ δὲ καὶ θνητοὶ εἰσιν ἰατροὶ ὡς καὶ ὁ πατὴρ αὐτῶν Ἀσκληπιὸς παρ' Ὁμήρῳ. Τελευταῖος δ' Ἀσκληπιάδης Διοκλῆς ὁ Καρύστιος

γέγονεν, ὃς ἀμέσως μεθ' Ἱπποκράτην καὶ πρὸ Ἀριστοτέλους ἐγένετο, πρῶτος δὲ ἀνατομὰς κατὰ Γαληνὸν γεγραφὼς τυγχάνει.

Οἱ ἐν Κῷ καὶ Κνίδῳ ἰατροὶ γνήσιοί εἰσιν Ἀσκληπιάδαι Ποδαλειρίου ἀπόγονοι, ἀφίκοντο δ' ἐκ Σύρνου κατὰ τὸν ἱστορικὸν Θεόπομπον (379-305), ὡς Φώτιός φησιν ἐν Ἀπογραφῇ βιβλίων 176· « Περί τε τῶν ἐν Κῷ καὶ Κνίδῳ ἰατρῶν, ὡς Ἀσκληπιάδαι καὶ ὡς ἐκ Σύρνου οἱ πρῶτοι ἀφίκοντο ἀπόγονοι Ποδαλειρίου»· πρὸς δὲ καὶ οἱ ἐνωρὶς ἐκλιπόντες Ἀσκληπιάδαι τῆς Ῥόδου κατὰ Γαληνόν.

Πάντες δ' οὗτοι οἱ ἔν τε Ἀσίᾳ καὶ Εὐρώπῃ ἰατροί, οἳ τ' ἐξ Ἀσκληπιοῦ τὸ γένος ἕλκοντες οἵ τε μή, τὴν φυσικὴν ὡς ἔπος εἰπεῖν ἤσκουν ἰατρικὴν καὶ ἐπιστημόνως αὐτὴν προήγαγον καὶ δὴ καὶ περὶ τὰ ὀφθαλμικὰ καὶ ὠτικὰ διέτριβον. Οὗτοί εἰσιν οἱ φυσικοὶ ἢ λαϊκοὶ ἢ θνητοὶ ἰατροὶ οἱ φυσικῶς φαρμάκοις τε καὶ ὀργάνοις τὰς ἀρρωστίας ἰώμενοι. Οὐ χρὴ δὲ τούτους συγχεῖν τοῖς ἐν τοῖς ναοῖς Ἀσκληπιοῦ ἱερεῦσι τοῖς θεοπνεύστοις ὡς εἰπεῖν ἰατροῖς, οἳ τὴν ψυχικὴν ἢ θεόπνευστον ἰατρικὴν κυρίως ἐφήρμοζον, ἀλλὰ μὴν καὶ τῆς φυσικῆς οὐκ ἀμελῶς εἶχον, ὡς ἐν τοῖς Περὶ Ἀσκληπιοῦ ἐκτενῶς εἴρηταί μοι σ. 83 καὶ ἑφεξῆς. Τῇ θείᾳ δὲ ταύτῃ ἰατρικῇ καὶ ταῖς τοῦ θεοῦ ἰάσεσι καὶ ἐπιφανείαις ἄνδρες πεποιθότες τυγχάνουσιν, ὡς μαρτυρεῖ ὁ Σοφοκλέους *Παιὰν εἰς Ἀσκληπιὸν* Ἀπ. 6. Bergk II, 574 καὶ τὸ *Αἰσχίνου ῥήτορος εἰς Ἀσκληπιὸν χαριστήριον*·

> θνητῶν μὲν τέχναις ἀπορούμενος, εἰς δὲ τὸ θεῖον
> ἐλπίδα πᾶσαν ἔχων, προλιπὼν εὔπαιδας Ἀθήνας,
> ἰάθην ἐλθών, Ἀσκλήπιε, πρὸς τὸ σὸν ἄλσος,
> ἕλκος ἔχων κεφαλῆς ἐνιαύσιον ἐν τρισὶ μησίν·

ἐν ᾧ σαφῶς διακρίνεται *θνητῶν τέχνη*, ἤτοι ἡ φυσικὴ ἰατρικὴ τῶν θνητῶν Ἀσκληπιαδῶν, καὶ τὸ *θεῖον*, ἤτοι ἡ θεία ἰατρικὴ ἡ ὑπ' αὐτοῦ τοῦ Ἀσκληπιοῦ ἀσκουμένη ἐν τοῖς ἱεροῖς, ὡς ἐνομίζετο.

Ἄλλοι ἄρα οἱ *ἰατροὶ* ἢ οἱ *Ἀσκληπιάδαι* ἢ οἱ *Ἀσκληπιοῦ παῖδες*, οἳ ἀπ' Ἀσκληπιοῦ τὸ γένος ἕλκειν εὔχονται, καὶ ἄλλοι οἱ *ἱερεῖς* ἢ *ὑπηρέται* τοῦ θεοῦ Ἀσκληπιοῦ οἱ ἐν τοῖς ναοῖς θείᾳ τοῦ Ἀσκληπιοῦ δυνάμει θαυματουργοῦντες, οἳ οὐκ ἀπ' Ἀσκληπιοῦ τὸ γένος ἕλκειν δοκοῦσιν. Οἱ μὲν Ἀσκληπιάδαι ἦσαν φυσικοὶ ἰατροί, ἀπ' Ἀσκληπιοῦ κληρονομικῶς καὶ κατὰ διαδοχὴν τὴν ἰατρικὴν παραλαβόντες καὶ

ἀσκοῦντες εἴτ' ἐν ἰδίοις ἰατρείοις εἴτε κατὰ τὴν πόλιν εἴτ' ὡς δημόσιοι ἰατροὶ εἴτ' ὡς περιοδευταί, βραδύτερον δὲ καὶ ἰατροὶ μὴ ἐξ Ἀσκληπιοῦ τὸ γένος ἕλκοντες, ὅ ἔκ τε τοῦ ὅρκου τοῦ Ἱπποκράτους φανερὸν καὶ ἐξ ὧν εἴρηται Πλάτωνί τε καὶ Γαληνῷ· οἱ δ' ἱερεῖς ἢ ὑπηρέται τοῦ Ἀσκληπιοῦ θείᾳ δυνάμει τοὺς κάμνοντας ἰᾶσθαι ἐπιστεύοντο. Καὶ ὅτι μὲν οἱ ἐν Κῷ καὶ Κνίδῳ ἰατροὶ οὐχ ἱερεῖς ἀλλὰ λαϊκοὶ ἰατροὶ ἦσαν, Ἀσκληπιάδαι δὲ Ποδαλειρίου ἀπόγονοι, ἐκ Σύρνου ἀφικόμενοι, μαρτυρεῖ Θεόπομπος ὁ ἱστορικὸς καὶ Γαληνός, ὡς ἄνω μοι εἴρηται. Καὶ Πλάτων δὲ σαφῶς τοὺς ἰατροὺς ἢ Ἀσκληπιάδας, τοὺς λαϊκοὺς ἢ ἐξωτερικούς, ὡς ἔπος εἰπεῖν, ἰατρούς, καὶ τοὺς ἱερεῖς ἢ ὑπηρέτας τοῦ θεοῦ διακρίνει· οἷον ἐν *Πολιτείᾳ* Γ. 405d «φύσας τε καὶ κατάρρους νοσήμασιν ὀνόματα τίθεσθαι ἀναγκάζειν τοὺς *κομψοὺς Ἀσκληπιάδας* οὐκ αἰσχρὸν δοκεῖ;» καὶ 406a καὶ 408b, ἔνθα *Ἀσκληπιάδας* μὲν τοὺς ἀπ' Ἀσκληπιοῦ μέχρις Ἡροδίκου ἰατροὺς λέγει, *κομψοὺς δ' Ἀσκληπιοῦ παῖδας* τὸν Ποδαλείριον καὶ Μαχάονα· πρὸς δὲ ἐν *Πρωταγόρᾳ* 311b καὶ ἐν Φαίδρῳ 270c, ἔνθα Ἱπποκράτη τὸν Κῷον, τὸν τῶν Ἀσκληπιαδῶν, ἰατρὸν λέγει καὶ οὐχὶ ἱερέα. Καὶ Γαληνὸς δὲ σαφῶς διακρίνει ἰατροὺς καὶ ἱερεῖς 2,281 καὶ 13,273 καὶ Ψευδογαληνὸς 19,676. Πρὸς δὲ Στράβων Θ, ε, 10, Ἀθήναιος 8,51 καὶ Διοσκορίδης ἐν Προοιμίῳ τοῦ Περὶ ὕλης ἰατρικῆς Α. Ι, 2. Ἐπὶ δὲ τῶν ἀνακαλυφθεισῶν ἐν Ἐπιδαύρῳ στηλῶν οὐδαμοῦ ὁ ἱερεὺς ἰατρὸς ἢ Ἀσκληπιάδης λέγεται, ἀλλὰ πάντοτε *ἱερεὺς* ἢ ὑπηρέτης τοῦ θεοῦ Ἀσκληπιοῦ.

Περὶ παιωνίων ἰατρῶν ἢ παιώνων. Ὡς ἔφθημεν εἰπόντες, πρὸ Ἱπποκράτους ὑπῆρχον οἱ εὐθὺ ἐξ Ἀσκληπιοῦ τὸ γένος ἕλκοντες ἰατροί, οἳ διὰ τοῦτο Ἀσκληπιάδαι ὠνομάζοντο, οἷον οἱ τῆς Κῶ καὶ Κνίδου καὶ Ῥόδου· πρὸς δὲ καὶ ἰατροί, οἳ ὡς ἔοικεν οὐκ ἐξ Ἀσκληπιοῦ τὸ γένος εἵλκον, οἷον οἱ τῆς Ἰταλίας, ἀλλ' Ἀσκληπιάδαι καὶ οὗτοι ἐλέγοντο, καθ' ἅπερ Παυσανίας· πρὸς τούτοις δὲ οἱ ἐκ τῶν φιλοσόφων ἰατροί, οἳ οὐκ ἰατροὶ ἀλλὰ *φιλόσοφοι* ἢ *φυσιολόγοι* ὠνομάζοντο, καὶ οἱ τῶν Ἀσκληπιείων θεόπνευστοι ἰατροί, *ἱερεῖς* ἢ *ὑπηρέται τοῦ θεοῦ* καλούμενοι.

Ἀλλὰ πλὴν τούτων, ὡς ἔοικε, καὶ ἕτερον ἰατρικὸν γένος ὑπῆρχεν ἀρχαιότερον ἴσως τῶν Ἀσκληπιαδῶν, οἱ *παιώνιοι ἰατροί*, οἱ ἀπὸ Παιήονος ἢ Παιῶνος τὸ γένος ἕλκοντες. Ὁ πρῶτος ἰατρὸς καὶ ἀρ

χηχὸς τοῦ ἰατρικοῦ τούτου γένους ἦν *Παιήων* ἢ *Παιών*, ὃν Ὅμηρος ὡς πρῶτον καὶ πάντων ἄριστον ἰατρὸν παρίστησιν· οὗτος τὸν Ἄδην, ὑφ' Ἡρακλέους βέλει τρωθέντα κατ' ὦμον, ἰάσατο *ὀδυνήφατα* φάρμακα ἐπιπάττων Ε 401 καὶ τὸν Ἄρην, ὑπὸ Διομήδους κατὰ τὴν λαγόνα δόρατι πληγέντα, Διὸς κελεύσαντος, τὸν αὐτὸν τρόπον ἐθεράπευσε Ε 899. Οὐδαμοῦ δὲ τὸν Παιῶνα θεὸν λέγει Ὅμηρος, ἀλλ' ὡς ἄριστον ἰατρὸν παρίστησι καὶ θεοὺς ἰώμενον. Οὐκ ἔοικε δ' Ὅμηρος τὸν Ἀπόλλωνα Παιήονα λέγειν, ὡς πολλοὶ οἴονται· φυσικὸν γὰρ ἰατρὸν πραϋντικοῖς φαρμάκοις ἰώμενον τὰ τραύματα παρίστησιν· Ἡσίοδος δὲ σαφῶς μαρτυρεῖ Ἀπ. 101, ὡς ὁ Παιὼν διαφέρει Ἀπόλλωνος κατὰ τὰ Σχόλια εἰς Ὀδύσσειαν δ 231·

εἰ μὴ Ἀπόλλων Φοῖβος ὑπὲκ θανάτοιο σαώσει
ἢ αὐτὸς Παιών, ὃς πάντα τε φάρμακα οἶδεν.

Καὶ Σόλων δὲ τοὺς ἰατροὺς Παιῶνος πολυφαρμάκου ἔργον ἔχειν φησὶν Ἀπ. 13,57. Ἐκ τοῦ Παιῶνος δὴ τούτου κατήγοντο πάντες οἱ παιώνιοι ἰατροί, ὧν οὐδενὸς ὄνομα ἴσμεν πλὴν τοῦ Παιῶνος αὐτοῦ. Μαρτυρεῖ δὲ καὶ Ὅμηρος ὅτι πάντες οἱ ἐν Αἰγύπτῳ γε ἰατροὶ γένους Παιῶνος ἦσαν ὧδε λέγων δ 231·

ἰητρὸς δὲ ἕκαστος ἐπιστάμενος περὶ πάντων
ἀνθρώπων· ἦ γὰρ Παιήονός εἰσι γενέθλης.

Ὅδε δ' ἔμοιγε δοκεῖ ὁ νοῦς τῶν στίχων τούτων· ἡ Αἰγυπτία Πολύδαμνα, Θῶνος σύζυγος, ἓν μόνον νηπενθὲς καὶ ἄχολον φάρμακον ᾔδει, ὃ τῇ Ἑλένῃ ἔδωκεν, ἢ εἰς οἶνον ἔβαλεν, ἵνα πάντες ὅ τε Τηλέμαχος καὶ οἱ σύνδειπνοι ἁπάντων τῶν κακῶν ἐπιλήσμονες γένοιντο καὶ κλαυθμοῦ παύσαιντο. Οὐ μόνον δὲ τοῦτο τὸ *νηπενθὲς* καὶ *ἄχολον* φάρμακον, φησὶν ὁ ποιητής, φέρει ἡ γόνιμος τῆς Αἰγύπτου γῆ, ἀλλὰ καὶ πολλὰ ἄλλα φάρμακα *ἐσθλά* τε *λυγρά* τε. Καὶ ἡ μὲν Πολύδαμνα, μὴ οὖσα ἰατρός, ἓν μόνον οἶδε φάρμακον· *ἰατρὸς δ' ἕκαστος ὑπὲρ πάντας ἀνθρώπους ἐπιστήμων ἐστὶ τῶν πολλῶν τούτων φαρμάκων, ἐπίσταται τὰ φάρμακα ταῦτα· οἱ γὰρ ἰατροὶ γένους Παιῶνός εἰσιν·* δοκεῖ δ' ὁ ποιητὴς τοὺς Αἰγυπτίους μόνον ἰατροὺς Παιῶνος γένους λέγειν· τούτους γάρ, ὧν πλῆθος ὑπῆρχε πολὺ καθ' Ἡρόδοτον, εἰκὸς ἦν καὶ τὰ τῆς Αἰγύπτου φάρμακα βέλτιον ἐπίστασθαι ἢ τοὺς ἄλλους Ἀσκληπιάδας.

Πιθανὸν δὲ καὶ ἐν Ἑλλάδι παιωνίους ὑπάρχειν ἰατροὺς εἴτ' ἐξ

Αἰγύπτου ἀφιχθέντας καὶ δὴ γνησίους Παιῶνος ἐκγόνους εἴτε μὴ τοιούτους ἀλλὰ τὰ Παιῶνος ἰατρικὰ διδάγματα παραδεξαμένους καὶ διὰ τοῦτο οὕτως ὠνομασμένους. ὥσπερ Ἀσκληπιάδαι πάντες οἱ ἰατροὶ καὶ οἱ μὴ ἐξ Ἀσκληπιοῦ γεγονότες ἐλέγοντο. Κράτης τε γὰρ ὁ κωμῳδὸς *παιωνίου* ἰατρείου μνημονεύει παρὰ θερμὰ μεταλλικὰ λουτρὰ καὶ ἐπὶ τῆς θαλάττης, δι' οὗ τὰ θερμὰ λουτρὰ διῆκον ἐν ὑδραγωγείῳ ἐπὶ κιόνων, ὡς ἔοικε, καὶ ἐν ᾧ πύελοι πρὸς λουτρὰ ὑπῆρχον, καθ' ἅπερ Ἀθήναιος παρατίθησιν 6, 94. 268a· παιώνιον δὲ τοῦτο μόνον τῷ Κράτητι εἰρημένον ἴσμεν, ὃ ἴσως μὲν οὐκ ἰατρεῖον, ἀλλὰ μεταλλικῶν θερμῶν ὑδάτων λουτρὼν ἦν, τοῦτο φέρων τοὔνομα, ἀλλὰ μὴν καὶ οὕτως οὐκ ἂν ἐλέγετο παιώνιον, εἰ μὴ παιώνιοι ἰατροὶ κατὰ τοὺς χρόνους τῆς ἱδρύσεως αὐτοῦ ὑπῆρχον καὶ σύνηθες καὶ κοινὸν ἦν τὸ ὄνομα. Μαρτύριον δὲ τῶν εἰρημένων μοι ἔστωσαν καὶ οἱ ποιηταί, οἳ *παιώνιον* καὶ *παιῶνα* καὶ *παιᾶνα* καὶ *παιήονα* τὸν ἔξοχον, ὡς ἔοικε, ἰατρὸν λέγουσι· Αἰσχύλος μὲν γὰρ *παιῶνα* τὸν ἰατρὸν λέγει Ἀγαμέμνονι 99, Σοφοκλῆς δὲ *παιῶνά* τε τὸν ἰατρόν φησι Φιλοκτήτῃ 168 καὶ *παιήονα* τῶν ὀδυνῶν καὶ τῶν ἀλγῶν τὸν ὕπνον 832 καὶ *παιώνιον* Τραχινίαις 1208, «*παιώνιον καὶ μοῦνον ἰατῆρα τῶν ἐμῶν κακῶν*», Εὐριπίδης δὲ *παιᾶνα* ἤτοι ἰατρὸν τὸν θάνατον λέγει Ἱππολύτῳ 1373, Ἀριστοφάνης δὲ *παιῶνα* περὶ Ἀσκληπιοῦ Πλούτῳ 636. Πρὸς δὲ παρ' Αἰσχύλῳ μὲν ἀναγινώσκεται *φάρμακα παιώνια* Ἀγαμέμνονι 848 καὶ *χεὶρ παιωνία* Ἱκέτισι 1067, Σοφοκλῆς δὲ «*παιωνίας ἐς χεῖρας ἐλθεῖν*» φησι, περὶ τῶν Ἀσκληπιαδῶν Ποδαλειρίου καὶ Μαχάονος προκειμένου Φιλοκτήτῃ 1345. Καὶ *παιηοσύνη* δ' ἡ ἰατρικὴ ἐλέγετο, ὡς φησιν Ἡσύχιος, καὶ παιωνὶς τέχνη κατὰ Σέξτον τὸν Ἐμπειρικὸν Πρὸς γραμματικοὺς 51.

Φέρε δὲ νῦν εἴπωμεν περὶ τῶν ἰατρείων τῶν Ἀσκληπιαδῶν, *πῶς τὴν ἰατρικὴν ἐδίδασκον καὶ δὴ καὶ τὰ περὶ ὀφθαλμῶν καὶ ὤτων, ποῦ καὶ πῶς τοὺς πάσχοντας ἰῶντο*. Ἕκαστος ἐλεύθερος καὶ κατὰ φύσιν μεμαθηκὼς ἰατρὸς δοκεῖ ἴδιον ἰατρεῖον ἔχειν· εἰς ὃ ἔξωθέν τε προσήρχοντο κάμνοντες ἐπὶ φαρμακοποσίαν εἶτ' οἴκαδε ἀπιόντες καὶ ἐν αὐτῷ τῷ ἰατρείῳ πρὸς κλινικὴν νοσηλείαν παρέμενον, ἐν ᾧ καὶ φάρμακα παρεσκευάζοντο. Εἰς τὰ ἰατρεῖα ταῦτα καὶ ὀφθαλμιῶντες προσήρχοντο πρὸς ἴασιν, εἶτα δ' οἴκαδε ἀπήεσαν· ὁ γὰρ Λάκων ἁρμοστὴς Ἐτεόνικος, ὡς φησι Ξενοφῶν Ἑλληνικοῖς Β,α,3, «ἐντυχών τινι ὀφθαλ-

μιῶντι ἀνθρώπῳ ἀπιόντι ἐξ ἰατρείου, κάλαμον ἔχοντι, ἀπέκτεινε ». Ὅτι δ' ἕκαστος ἰατρὸς εἶχεν ἰατρεῖον φανερὸν προσέτι ἔκ τε τοῦ *Κατ' ἰητρεῖον* τῆς Ἱπποκρατείου συλλογῆς 3,271 καὶ ἐξ ὧν ἐν Ἐπιδημιῶν τῷ πρώτῳ περὶ τοῦ ἐν Θάσῳ ἰατρείου αὐτοῦ Ἱπποκράτης λέγει 2,604· « *τὰ δ' ἄλλα, ὁκόσα κατ' ἰητρεῖον, ἀτόσως διῆγον* »· πρὸς δὲ ἐκ τῶν Πλάτωνι εἰρημένων ἐν Νόμοις Α. 646 καὶ Δ. 720. Ἐν τοῖς ἰατρείοις δ' ἕκαστος ἰατρὸς κατὰ Πλάτωνα τούς τε ἑαυτοῦ παῖδας κατὰ φύσιν ἐδίδασκε καὶ τοὺς ὑπηρέτας, οἳ καὶ αὐτοὶ ἰατροὶ ἐκαλοῦντο, κατ' ἐπίταξιν δὲ τοῦ δεσπότου ἰατροῦ καὶ θεωρίαν καὶ κατ' ἐμπειρίαν τὴν τέχνην ἐκτῶντο. Δύο δὲ γένη ἰατρῶν ἦσαν· οἱ κατὰ φύσιν τὴν τέχνην μεμαθηκότες, οἳ ἐλεύθεροί τε ἦσαν καὶ τῶν ἐλευθέρων ὡς ἐπὶ τὸ πλεῖστον τὰ νοσήματα ἐθεράπευον, κατὰ φύσιν δ' ἰατροὶ ἦσαν ἐξ ἰατρῶν γεννώμενοι καὶ ἐκ παίδων παρὰ τῶν γονέων τὴν ἰατρικὴν μανθάνοντες· καὶ οἱ ὑπηρέται τῶν ἰατρῶν οἱ ἐξ ἐμπειρίας τὴν τέχνην κτώμενοι, οἳ τὰ τῶν δούλων πάθη ὡς ἐπὶ τὸ πολὺ ἐθεράπευον ἔν τε τοῖς ἰατρείοις περιμένοντες καὶ ἔξω περιτρέχοντες. Ὥσπερ δ' οἱ ἐλεύθεροι καὶ κατὰ φύσιν τὴν ἰατρικὴν μεμαθηκότες ἰατροὶ ἐκ παίδων ὑπὸ πατρὸς ἐδιδάσκοντο καὶ τὴν ἀνατομὴν αὐτὴν ὡς τὸ ἀναγινώσκειν καὶ γράφειν ἐκ παίδων ἐμάνθανον, ὡς ὅ τε Πλάτων καὶ Γαληνὸς ἡμῖν γνωρίζουσι, καὶ κληρονομικὴ ἄρα ὡς ἐπὶ τὸ πολὺ τὸ πάλαι ἡ ἰατρικὴ ἦν, οὕτω καὶ νῦν ἔτι ἔν τε Ζαγορίῳ καὶ ἀλλαχοῦ τῆς Ἑλλάδος, εἴ τι ἰατρικὸν ἢ χειρουργικὸν ἰατρική τις οἰκογένεια οἶδε, τοῦτο ὑπὸ τοῦ πατρὸς τοῖς παισὶν ἐν πάσῃ ἑνόρκῳ μυστικότητι μεταδίδοται· μόνον δ' ἐν ἐλλείψει τέκνων ἄλλον διδάσκουσι τὸ ἰατρικὸν ἢ χειρουργικὸν ἐπὶ ἑνόρκῳ μυστικότητι, ἵνα μὴ ἡ γνῶσις τούτου ἐξαφανισθῇ. Οὕτω ἄρα καὶ τῆς διδασκαλίας ὁ τρόπος διαδοχικῶς μέχρις ἡμῶν ἀφίκετο.

Τῶν δ' οὕτω τὴν ἰατρικὴν μεμαθηκότων οἱ βουλόμενοι τὴν ἰατρικὴν ἀσκῆσαι παρὰ τῆς πόλεως, ὡς ἔοικεν, ἄδειαν ἐλάμβανον· Σωκράτης γὰρ τὴν Εὐθυδήμου περὶ τὰ πολιτικὰ ἀμαθίαν πρὸς ὅλως ἀδαῆ περὶ τὰ ἰατρικὰ παραβάλλων λέγει κατὰ Ξενοφῶντα Ἀπομνημονεύμασι Δ, 6, 5· « Ἁρμόσειε δ' ἂν οὕτω προοιμιάζεσθαι καὶ τοῖς » βουλομένοις παρὰ τῆς πόλεως *ἰατρικὸν ἔργον λαβεῖν*· ἐπιτήδειόν » γ' ἂν αὐτοῖς εἴη τοῦ λόγου ἄρχεσθαι ἐντεῦθεν· Παρ' οὐδενὸς μὲν » πώποτε, ὦ ἄνδρες Ἀθηναῖοι, τὴν ἰατρικὴν τέχνην ἔμαθον, οὐδ' ἐζή-

» τησα διδάσκαλον ἑμαυτῷ γενέσθαι τῶν ἰατρῶν οὐδένα· διατετέ-
» λεκα γὰρ φυλαττόμενος οὐ μόνον τὸ μαθεῖν τι παρὰ τῶν ἰατρῶν,
» ἀλλὰ καὶ τὸ δόξαι μεμαθηκέναι τὴν τέχνην ταύτην. Ὅμως δέ μοι
» τὸ *ἰατρικὸν ἔργον δότε*· πειράσομαι γὰρ ἐν ὑμῖν ἀποκινδυνεύων μαν
» θάνειν ».

Περὶ δὲ τοῦ τρόπου τῆς ἰάσεως τῶν ὀφθαλμικῶν παθῶν ὑπὸ τῶν ἰατρῶν τῶν πρὸ Ἱπποκράτους εἴ τι ἴσμεν, τοῦτο ἐκ τῶν ποιητῶν φιλοσόφων καὶ ἱστορικῶν γιγνώσκομεν. Καὶ οἴονται μέν τινες *τὰς Κωακὰς προγνώσεις* πολλῷ προγενεστέρας Ἱπποκράτους εἶναι, οὐδὲν δὲ ἄλλο ἢ συλλογὴν τῶν ἐν τῷ Ἀσκληπιείῳ τῆς Κῶ ἰατρικῶν παρατηρήσεων καὶ ἰαμάτων, τῶν ἐπὶ τῶν πινάκων ἀναγεγραμμένων. Τινὲς δὲ καὶ ὡς ἔτος τῆς συγγραφῆς ταύτης τὸ 530 π. Χ. ὁρίσαι ἐπεχείρησαν· ἀλλὰ τοιαύτην τινὰ ἄνευ σαφῶν ἱστορικῶν ἀποδείξεων γνώμην ἀποφαίνεσθαι, τολμηρόν, ἔμοιγε δοκεῖ, λίαν· δι' ὃ πᾶν ὅ,τι ὀφθαλμικὸν καὶ ὠτικὸν ἐν ταῖς Κωακαῖς προγνώσεσιν ἐμπεριέχεται, καὶ τοῦτο ἐν τοῖς Ἱπποκράτους συμπεριληφθήσεται, καθ' ἅπερ καὶ πάντα τὰ ἐν τοῖς Ἱπποκρατείοις βιβλίοις τῶν παλαιτέρων ἰατρῶν ὀφθαλμικὰ καὶ ὠτικὰ εὑρήματα· ὅτι δ' ὄντως ἰατρῶν πολλὰ ἦσαν συγγράμματα, ἐξ ὧν Ἱπποκράτης τῶν παλαιῶν ἰατρῶν τὰ εὑρήματα ἀρυσθῆναι ἠδύνατο, τοῦτο γνωρίζει ὑμῖν Σωκράτης ἐν Ξενοφῶντος Ἀπομνημονεύμασι Δ, 6, 10.

Ἐκ τῶν ποιητῶν ἄρα μόνον καὶ ἱστορικῶν καὶ φιλοσόφων τῶν πρὸ Ἱπποκράτους ἡ ὁμοχρόνων αὐτῷ εἴη ἂν καὶ περὶ ὀφθαλμικῶν παθῶν ὀλίγ' ἅττα μαθεῖν, ἤτοι *περὶ αἰτίων παθοποιῶν*, *περὶ τυφλότητος καὶ δυσορασίας καὶ ἀμβλυωπίας*, *περὶ ὀφθαλμίας*, *περὶ στραβισμοῦ*, *περὶ ὀφθαλμικῶν τραυμάτων*, *περὶ θεραπείας τῶν ὀφθαλμικῶν παθῶν*.

Περὶ αἰτίων παθοποιῶν. Ὥσπερ ἐπὶ Ὁμήρου περί τε τῆς αἰτίας καὶ τῆς ἰάσεως τῶν νόσων καθόλου καὶ τῶν ὀφθαλμικῶν ἰδίᾳ δύο ἐπεκράτουν δόξαι· οἱ μὲν γὰρ ἐκ θεοῦ οἱ δὲ φυσικὰ τῶν νόσων αἴτια καὶ φυσικὴν τὴν ἴασιν ἐνόμιζον σ. 136· οὕτω καὶ μεθ' Ὅμηρον καὶ μέχρι νῦν ἔτι παρὰ μὲν τῷ λαῷ καὶ τοῖς θεοσεβέσιν ἡ πρώτη ἰσχύει δόξα, παρὰ δὲ τοῖς ἐπιστημόνως ἔχουσι καὶ τοῖς ἰατροῖς ἡ δευτέρα κρατεῖ γνώμη, ὅτι φυσικὰ τῶν νόσων τὰ αἴτια καὶ φυσικὴ ἡ ἴασις.

Καὶ ὁ μὲν τοῦ Προμηθέως μῦθος παρ' Ἡσιόδῳ διδάσκει ἡμᾶς, ὡς ἔφθημεν εἰπόντες σ. 60, ὅτι πάσας τὰς νόσους καὶ τὰ κακὰ Ζεὺς

τοῖς ἀνθρώποις ἔπεμψεν, αἱ δὲ νόσοι σιγῇ νύκτωρ τε καὶ μεθ' ἡμέραν φοιτῶσι τοῖς ἀνθρώποις κακὰ φέρουσαι, καθ' ἅπερ Ἡσίοδος ἐποίησεν ἐν Ἔργοις καὶ ἡμέραις 102· τοῖς δὲ κακοῖς ἀνθρώποις πρὸς ποινὴν *λιμὸν ὁμοῦ καὶ λοιμὸν* ἐπήγαγε 243· καὶ Μίμνερμος δ' ᾄδει ὡς Ζεὺς πολλὰ τοῖς ἀνθρώποις δίδωσι κακὰ Ἀπ. 2,16. 4 καὶ Σόλων δὲ μόρσιμα τά τε ἄλλα καὶ τὰ τῆς ἰατρικῆς οἴεται, τὴν δὲ Μοῖραν κακόν τε καὶ ἐσθλὸν τοῖς θνητοῖς φέρειν Ἀπ. 13,55-65. Ἀλλ' εἰ καὶ ἐκ θεοῦ πάσας τὰς νόσους τοῖς ἀνθρώποις γίγνεσθαι διδάσκει Ἡσίοδος, ἀλλὰ μὴν καὶ φυσικὴν αἰτίαν τῆς τῶν ὀφθαλμῶν σκοτώσεως παραδέχεται, ἤτοι τὴν τοῦ κεραυνοῦ καὶ τῆς ἀστραπῆς μαρμαίρουσαν αὐγήν, ἢ καὶ τοὺς ἰσχυροτάτους ὀφθαλμοὺς σκοτοῖ Θεογονίᾳ 698. Τούτῳ δὲ τῷ τρόπῳ τῇ ἀνταυγείᾳ στιλβούσης ἀσπίδος, ἣν κατέναντι ἔθετο τοῦ ἡλίου, καὶ Δημόκριτος ἠμαυρώθη τὰς ὄψεις, ἵν' ἀταράχως ἀντέχηται τῶν ἑαυτοῦ θεωρημάτων, ὡς Γέλλιός φησιν ἐν Ἀττικαῖς νυξὶ 10, 17. Τοῦτο δὲ ψεῦδος Πλούταρχος λέγει, «τὸ Δημόκριτον » ἑκουσίως σβέσαι τὰς ὄψεις ἀπερεισάμενον εἰς ἔσοπτρον πυρωθὲν καὶ » τὴν ἀπ' αὐτῶν ἀνάκλασιν δεξάμενον, ὅπως μὴ παρέχωσι θόρυβον, » τὴν διάνοιαν ἔξω καλοῦσαι πολλάκις, ἀλλ' ἐῶσιν ἔνδον οἰκουρεῖν » καὶ διατρίβειν πρὸς τοῖς νοητοῖς, ὥσπερ παρόδιοι θυρίδες ἐμφρα» γεῖσαι», ἐν τῷ Περὶ πολυπραγμοσύνης 12.521d. Ἑτέρα δ' αἰτία τυφλότητος φυσικὴ ἐστι τὸ ἀτενῶς καὶ ἀκριβῶς τὸν ἥλιον προσβλέπειν κατὰ Σωκράτην, ὡς φησι Ξενοφῶν Ἀπομνημονεύμασι Δ, γ, 14. «ὁ πᾶσι φανερὸς δοκῶν εἶναι ἥλιος οὐκ ἐπιτρέπει τοῖς ἀνθρώποις �αυ» τὸν ἀκριβῶς ὁρᾶν, ἀλλ' ἐάν τις αὐτὸν ἀναιδῶς ἐγχειρῇ θεᾶσθαι, » τὴν ὄψιν ἀφαιρεῖται». Ἕτερον δὲ φυσικὸν αἴτιον τὸ γῆρας ἐστίν, ὃ Ζεὺς ἔδωκε καὶ ὃ τούς τ' ὀφθαλμοὺς καὶ τὸν νοῦν ἀδικεῖ κατὰ Μίμνερμον Ναννοῖ Ἀπ 5, ὡς φησι Στοβαῖος 116,34. Αἰσχύλος δὲ τὰ συνεχῆ δάκρυα καὶ τὴν συχνὴν ἀγρυπνίαν αἴτια βλάβης τῶν ὀφθαλμῶν οἴεται· Κλυταιμήστραν γάρ, ἣ συχνῶς ἔκλαιε, ποιεῖ λέγουσαν «*ἐν ὀψικοίτοις δ' ὄμμασι βλάβας ἔχω*» Ἀγαμέμνονι 889· φοβερὰν δ' ὁμίχλην φησὶ τοῖς ὀφθαλμοῖς τοῦ δακρύοντος ἐπέρχεσθαι τὴν ἐκ τοῦ δακρύειν δυσορασίαν, ὡς ἔοικεν, οὕτω ὑπεμφαίνων Προμηθεῖ 144. Καὶ Πινδάρῳ δ' ὡς νοσοποιὰ αἴτια τὸ μὲν ἐξωτερικὰ ὑπολαμβάνεται, οἷον χαλκὸς καὶ χερμὰς καὶ καύσων καὶ ψῦχος, τὸ δὲ ἐσωτερικά, ἐξ ὧν ταὐτόφυτα ἕλκη. Ἡρόδοτος δὲ πολλὰ

φυσικὰ τῶν νόσων αἴτια λέγει, ὡς φέρ' εἰπεῖν τὰς τοῦ ἀέρος μεταβολὰς καὶ τῶν ὡρῶν τοῦ ἔτους τὰς δυσκρασίας καὶ τῶν ἀστέρων τὴν ἀνατολὴν καὶ δύσιν καὶ τὴν κακὴν τροφήν, ἢ λοιμὸν καὶ δυσεντερίαν τοῖς τοῦ Ξέρξου στρατιώταις ἐπήγαγε, πρὸς δὲ καὶ τὴν ὑπερβάλλουσαν τροφὴν καὶ τὸ κακὸν ὕδωρ B,77.117.142.H,115. Καὶ τρώσεις δὲ τυφλότητα ποιοῦσι Γ, 78, 2. H, 116· θαῦμα δὲ τοὐναντίον οἴεται Ἡρόδοτος τὸ ἄνευ παθοποιοῦ αἰτίου τυφλωθῆναι ς, 117, καὶ τὴν Φερῶνος δὲ τύφλωσιν τῇ θείᾳ τοῦ Νείλου τιμωρίᾳ ὡς κοινῶς ἐν Αἰγύπτῳ λεγόμενον ἱστορεῖ B, 111. Καὶ Εὐριπίδης δέ φησι πάσας τῶν ἀνθρώπων τὰς νόσους καὶ δὴ καὶ τὰς ὀφθαλμικὰς καὶ ὠτικὰς τὰς μὲν εἶναι αὐθαιρέτους, τὰς δ' ἐκ θεῶν προέρχεσθαι· τὴν κοινὴν δὲ ταύτην δόξαν, τὸ ἐκ θεῶν τὰς νόσους παρεῖναι, ἔοικεν Εὐριπίδης οὐ συνομολογῶν· εἰ γὰρ *θεοί τι δρῶσιν αἰσχρόν*, φησίν, *οὐκ εἰσὶ θεοὶ* Ἀπ. 300·

νόσοι δὲ θνητῶν αἱ μέν εἰσ' αὐθαίρετοι,
αἱ δ' ἐκ θεῶν πάρεισιν, ἀλλὰ τῷ νόμῳ
ἰώμεθ' αὐτάς· ἀλλά σοι λέξαι θέλω,
εἰ θεοί τι δρῶσιν αἰσχρόν, οὐκ εἰσὶν θεοί.

Εὐριπίδης δὲ καὶ τὴν περὶ κληρονομίας τῶν νόσων θεωρίαν διδάσκει, τοῦ τε χρηστοῦ ἢ εὐγενοῦς καὶ τοῦ κακοῦ ἢ δυσγενοῦς ἤθους καὶ τῆς μωρίας τὸ κληρονομικὸν σαφῶς ὑποτυπῶν Ἀπ. 60.77.342.166· ὃ καὶ Αἰσχύλος ὑπεμφαίνει τὴν θεωρίαν τοῦ ἀνεξιτήλου τῶν τοῦ γένους χαρακτήρων διδάσκων Ἱκέτισι 282.

Περὶ τυφλότητος, δυσωρασίας, ἀμβλυωπίας. Ἀήρ, νεφέλη, νύξ, ἀχλύς. Ὁ τῆς ὄψεως ἐξ οἰαςδήτινος αἰτίας ἐστερημένος Ὁμήρῳ τυφλὸς καὶ πηρὸς λέγεται, ὡς εἴρηταί μοι σ. 131. Ἀρχίλοχος δὲ καὶ τὰς ἐγχέλεις τυφλὰς λέγει Ἀπ. 101· «*πολλὰς δὲ τυφλὰς ἐγχέλυας ἐδέξω*». Σιμωνίδης δ' ὁ Ἀμοργῖνος τὸν μὲν μηδόλως ὁρῶντα *τυφλόν*, τὸν δ' ἀμυδρῶς βλέποντα *σκιπόν* λέγει, τὸν δ' ὀξέως *μέγα βλέποντα* κατὰ Πολυδεύκην B, 65·

Ἢ τυφλὸς ἢ τις σκιπὸς ἢ μέγα βλέπων.

Αἰσχύλος δὲ τὸν τῆς ὄψεως ἐστερημένον *δυσόμματον* μὲν λέγει ἐν Εὐμενίσι 388, ἀλαὸν δὲ Πέρσαις 549 καὶ Εὐμενίσι 322· *τυφλὰς* δὲ ἐλπίδας ἐν Προμηθεῖ 250. Ὁ δὲ κωμικὸς Ἐπίχαρμός φησιν ὅτι οὐδεὶς μὲν τὸν τυφλὸν ἐφθάνησεν, ἐλέησε δ' ἰδὼν B, 33 καὶ ὅτι οὐδεμία

κοινωνία κατόπτρῳ καὶ τυφλῷ. Σοφοκλῆς δὲ καὶ *ἕλκος ὀμμάτων ἀλαὸν* καὶ *ὄμματα ἀλαὰ* λέγει· πρὸς δὲ *ἄδερκτα ὄμματα*. Οἰδίπους δὲ Τειρεσίᾳ λέγει ἐν Οἰδίποδι τυράννῳ 370

τυφλὸς τά τ' ὦτα τόν τε νοῦν τά τ' ὄμματ' εἶ·

ἔνθα τυφλὸς οὐ μόνον ὁ τῆς ὁράσεως ἐστερημένος ἐστίν, ἀλλὰ καὶ ὁ τῆς ἀκοῆς καὶ ὁ τῆς νοήσεως. Εὐριπίδῃ δ' «*ἀμβλῶπες αὐγαί*» λέγονται τὰ ἀμβλέως ὁρῶντα ὄμματα· διδάσκει δ' ὅτι κατὰ τὴν νύκτα ἀμβλέως ὁρῶμεν ἀναγκαῖον τὸ ἔξω φῶς πρὸς ὀξυωπίαν δοξάζων Ῥήσῳ 737· τὸ δ' ἀμβλὺ ὁρᾶν *βραχὺ βλέπειν* λέγει Ἴωνι 744· τὴν δ' ἐκ τῆς προπτώσεως τῆς κόμης δυσορασίαν *λεπτὰ λεύσσειν κόραις* φησὶν Ὀρέστῃ 224. Πρὸς δὲ καὶ *ἀλαὸν ὄμμα* λέγει Φοινίσσαις 1531. Πᾶσα δὲ τυφλότης, δυσορασία καὶ ἀμβλυωπία εἴτε πρόσκαιρος εἴτε διαρκὴς ἐξ οἱουδήποτε αἰτίου, εἴτ' ἐν τῇ τοῦ ὁρωμένου ἀμφικαλύψει, ἵν' ἀόρατον ᾖ, ἔγκειται ἡ αἰτία εἴτ' ἐν αὐτῷ τῷ ὀφθαλμῷ, οἷον ἐξόρυξις αὐτοῦ καὶ ἡ ἐκ τοῦ δακρύειν δυσορασία, εἴτ' ἐν τῇ τοῦ ὅλου σώματος καταστάσει, οἷον μανία, θάνατος, δυστυχίαι, μέθη, γῆρας, πᾶσαι, λέγω, αἱ τῆς ὄψεως σκοτώσεις καὶ δυσορασίαι παρίστανται ὡς *ἀήρ, νεφέλη ἢ νέφος, σκότος, νύξ, ἀχλύς*, ἃ τὸ μὲν τὸ ὁρώμενον περικαλύπτοντα ἀόρατον ποιοῦσι, τὸ δὲ τοὺς ὀφθαλμοὺς κατακαλύπτουσι σκοτοῦντα αὐτούς.

Καθ' ἅπερ Ὅμηρος, οὕτω καὶ Ἡσίοδος τοὺς θεοὺς καὶ θεὰς ἀέρι κεκαλυμμένους παρίστησιν, ἵν' ἀόρατοι ὦσιν· οἷον τὰς Μούσας ἐν Θεογονίᾳ 9· καὶ πάντες δ' οἱ ἐπιχθόνιοι δαίμονες ἀέρα ἀμφιεσάμενοι, ἵν' ἀόρατοι ὦσι, πανταχῇ φοιτῶσιν ἐπὶ τὴν γῆν, ὡς φησιν Ἔργοις καὶ Ἡμέραις 125· 255, καὶ ἡ Δίκη ἀέρα ἀμφιεσαμένη καὶ δὴ ἀόρατος κακὸν φέρει τοῖς ἀδικοῦσι 223. Ἡ δὲ Νὺξ νεφέλῃ ἀεροειδεῖ κεκαλυμμένη καὶ δὴ ἀόρατος παρίσταται, ὃ ὅμως καὶ τὸ οὐχ ὁρᾶν ἡμᾶς τὴν νύκτα ἔοικεν ὑποσημαίνειν Θεογονίᾳ 757, καὶ τὰ οἰκία δὲ τῆς νυκτὸς κυαναῖς νεφέλαις κεκαλυμμένα 745. Οὐδὲν δ' ἄλλ' ἂν εἴη ὁ ἀὴρ οὗτος φυσικῶς ἢ ὁμίχλη μέλαινα, νέφος πυκνὸν καὶ μέλαν, σκότος ἐξ ἐλλείψεως φωτός, ἃ ἀδιόρατον τὸ ὑπ' αὐτῶν κεκαλυμμένον ποιεῖ· καὶ γὰρ ἀεροειδὴς ἢ *ἠερόεις* λέγεται Ἡσιόδῳ ὅ τε ζόφος καὶ ὁ πόντος καὶ ὁ Τάρταρος διὰ τὸ μέλαν καὶ σκοτεινὸν τοῦ χρώματος αὐτῶν· καὶ ῥητῶς δὲ «*σκοτόεν νέφος*» λέγει Ἔργοις 555. Καὶ ὁ μητροκτόνος Ὀρέστης σκότει ἢ νέφει καλυφθῆναι ἐφίεται, ἵν' ἀόρατος τῷ Τυνδάρεῳ γένηται

«γέροντος ὄμμάτων φεύγων κόρας», καθ' ἅπερ Εὐριπίδης ποιεῖ Ὀρέστῃ 469.

Ὡς δ' οἱ θεοὶ ἀέρι καὶ νεφέλῃ καλυπτόμενοι ἀόρατοι τοῖς θνητοῖς γίγνονται, οὕτω καὶ σκότει τοὺς ὀφθαλμοὺς τοῦ ὁρῶντος καλύπτοντες τοῦ ὁρᾶν αὐτὸν κωλύουσιν· οἷον ἡ Ἀθηνᾶ σκοτοῖ τὰ τοῦ μαινομένου Αἴαντος ὄμματα, ἵνα μὴ τὸν Ὀδυσσέα ἴδῃ, καθ' ἅπερ Σοφοκλῆς πεποίηκεν Αἴαντι 85·

ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα.

Ὁ δὲ θάνατος τὸ μὲν ὡς αἰωνία τυφλότης παρίσταται, τὸ δὲ ὡς διὰ παντὸς τῶν βλεφάρων μύσις. Ἡσίοδος τὸν γεννώμενον ἀπὸ τοῦ ἐρέβους καὶ τοῦ σκότους εἰς φῶς ἀφικνεῖσθαι καὶ δὴ φῶς ὁρᾶν παρίστησι Θεογονίᾳ 669· ὁ δὲ θάνατος *μέλας* λέγεται διὰ τὴν αἰωνίαν τοῦ θνήσκοντος ἀβλεψίαν καὶ διὰ τὸ καταλείπειν τὸν θνήσκοντα καὶ μὴ ὁρᾶν τὸ λαμπρὸν τοῦ ἡλίου φῶς, εἰς τὸν κρυερὸν δ' Ἄδην καὶ ζοφερὸν Τάρταρον μεταβαίνειν Ἔργοις καὶ Ἡμέραις 155, 166· καὶ Αἰσχύλος δὲ τὸν μὲν γεννώμενον *φεύγειν τὸ μητρόθεν σκότος* λέγει, ἤτοι ἐκ τῆς σκοτεινῆς μήτρας ἐς φῶς ἀφικνεῖσθαι, ἐν Ἑπτὰ ἐπὶ Θήβας 664 καὶ Εὐμενίσι 665, τὸ δὲ *ζῆν φῶς βλέπειν* Πέρσαις 299.630. Ὁ δὲ θάνατος ὡς «*νὺξ ἐπ' ὀφθαλμοῖς*» τοῦ θνήσκοντος πίπτει, τῆς διὰ παντὸς τυφλότητος οὕτω παρισταμένης ἐν Ἑπτὰ ἐπὶ Θήβας 403. Εὐριπίδης δὲ τὸν θνήσκοντα παρίστησιν ὡς τὸ ὕστατον φῶς βλέποντα Ἱππολύτῳ 57, τὸ *βλέπειν* ζῆν οἰόμενος καὶ τῷ θανάτῳ ἐναντίον Ἀλκήστιδι 143, 269 καὶ Τρωϊάσιν 628· σκότος δὲ περιβάλλει τὸν θανόντα, *σκοτία νὺξ* ἐπὶ τῶν ὀφθαλμῶν ἐφέρπει καὶ *μέλας θάνατος* αὐτὰ κατακαλύπτει Τρωϊάσι 1314· καὶ τὰ βλέφαρ' αὐτοῦ *συναρμόττειν* ἔθος ἦν ἱερὸν Φοινίσσαις 1450, ὃ καὶ *ὄμμα συγκλείειν* λέγει Ἑκάβῃ 430 καὶ Ἱππόλυτος δὲ θνήσκων λέγει «*κατ' ὄσσων κιγχάνει μ' ἤδη σκότος*» Ἱππολύτῳ 1444· Πολυξένη δὲ τὸν θάνατον τοῦ μὴ καλῶς ζῆν προτιμῶσα «*ἀφίημ' ὀμμάτων ἐλεύθερον φέγγος τόδε*» λέγει Ἑκάβῃ 367, ὃ πῶς τὴν τύφλωσιν καὶ σκότωσιν ἐδόξαζον γίγνεσθαι ὑπεμφαίνει· ἀπειργμένου γὰρ ἐν τοῖς ὀφθαλμοῖς ὄντος τοῦ φωτὸς καὶ φυλαττομένου ὁρᾶν ἡμᾶς, ὅταν δὲ τὸ φῶς ἀπὸ τῶν ὀμμάτων τελείως ἐξέλθῃ ἐλεύθερον, τύφλωσιν τότε καὶ σκότωσιν ἐπιγίγνεσθαι.

Τὸ θνήσκειν Αἰσχύλος καὶ τῇ αἰωνίᾳ τῶν βλεφάρων συγκλείσει ἐμφαίνει *ὄμμα συμβάλλειν* λέγων Ἀγαμέμνονι 1294, ὥσπερ καὶ Θέογνις

τὸν θάνατον «*ἐπὶ βλεφάροις ἕζετό*» φησι τὴν τῶν βλεφάρων μύσιν οὕτως ὑπεμφαίνων 207. Τὸν δὲ θάνατον τῆς συζύγου τοῦ Κρέοντος Εὐρυδίκης Σοφοκλῆς παρίστησιν, ὡς ἔοικε, διὰ τῆς κατὰ τὸν θάνατον συμβαινούσης χαλάσεως τῶν βλεφάρων, «*λύει κελαινὰ βλέφαρα*» λέγων Ἀντιγόνῃ 1302.

Ὡς *νεφέλας* ὕπερθεν τῶν ὀμμάτων κρεμαμένας καὶ δὴ σκότωσιν καὶ δυσορασίαν ἐπαγούσας παρίστησι πάντα τὰ κακὰ καὶ πάσας τὰς δυστυχίας Αἰσχύλος ἐν Ἑπτὰ ἐπὶ Θήβας 224· καὶ λόγος δ' ἄσκοπος, φησίν, ἤτοι ἀκατανόητος καὶ σκοτεινός, *σκότος* πρὸ τῶν ὀμμάτων φέρει, τὴν μὴ κατανόησιν, ὡς ἔοικε, τοῦ *ἀσκόπου ἔπους* οὕτω παριστὰς Χοηφόροις 817· καὶ τὴν ἐκ τοῦ δακρύειν δὲ δυσορασίαν ὡς φοβερὰν ὁμίχλην τοῖς ὄμμασιν ἐπερχομένην παρίστησι Προμηθεῖ 144. *Ἀχλὺν ἀμβλωπὸν* καὶ τὴν ἐκ μέθης τῶν ὀφθαλμῶν σκότωσιν ἢ δυσορασίαν λέγει Κριτίας Ἀπ. 2,11, ὡς φησιν Ἀθήναιος 10,41.432e·

πρὸς δ' ὄμματ' ἀχλὺς ἀμβλωπὸς ἐρίζει.

Εὐριπίδης δὲ «*νὺξ ἔχει βλέφαρα*» λέγων τὴν τῶν ὀμμάτων σκότωσιν τοῦ ἐν δεινῷ φρενῶν ταράγματι διατελοῦντος Ἡρακλέους ἐμφαίνει Ἡρακλεῖ μαινομένῳ 1071, ὥσπερ καὶ Ἀθηνᾶ τὰ τοῦ μαινομένου Αἴαντος ὄμματα σκοτοῖ κατὰ Σοφοκλέα Αἴαντι 85, τῆς τῶν ὀμμάτων διαστροφῆς τοῦ μαινομένου καὶ δὴ καὶ τῆς ἐκ ταύτης διπλωπίας καὶ δυσορασίας, ὡς ἔοικεν, οὕτω παρισταμένων· τὸ δὲ γῆρας σκότει τὸ φῶς τῶν ὀμμάτων ἐπικαλύπτει, τῆς πρεσβυωπίας, ὡς ἔοικε, καὶ τῆς ἐξ ἄλλων γεροντικῶν νόσων ἀμβλυωπίας καὶ τυφλότητος οὕτω παρισταμένων Ἡρακλεῖ μαινομένῳ 641.

Περὶ ὀφθαλμίας καὶ ψωροφθαλμίας. Ἰσχυραὶ ὀφθαλμίαι καὶ ἐπὶ τῶν Περσικῶν πολέμων ἐπεκράτουν ἐν Ἑλλάδι· Ἡρόδοτος γὰρ ἱστορεῖ ὡς *ὀφθαλμιῶντες εἰς τὸ ἔσχατον* κατέκειντο ἐν Ἀλπηνοῖς Εὔρυτος καὶ Ἀριστόδημος, δύο ἐκ τῶν ἐν Θερμοπύλαις τριακοσίων, ὑπὸ Λεωνίδου διὰ τοῦτο ἐκ τοῦ στρατοπέδου μεθειμένοι εἴθ', ὡς ἔοικε, διὰ τὸ κολλητικὸν τῆς νόσου εἴτε διὰ τὴν ἐκ τῆς σκληρᾶς ὀφθαλμίας δυσορασίαν Z, 229, 1. Θουκυδίδης δὲ τὸν Ἀθήνησι λοιμὸν ἱστορῶν, αὐτός τε νοσήσας καὶ αὐτὸς ἄλλους πάσχοντας ἰδών, πρὸς τοῖς ἄλλοις τοῦ πάθους συμπτώμασί φησι καὶ τῶν *ὀφθαλμῶν ἐρυθήματα καὶ φλόγωσιν*, ἤτοι ταράξεις καὶ ὀφθαλμίας, τοὺς πάσχοντας καταλαμβάνειν, πολλοὺς δὲ καὶ τῶν ὀφθαλμῶν στερίσκεσθαι διὰ τὸ τῆς

ὀφθαλμίας ἔντονον, εἴ τις ἐκ τῶν μεγίστων κινδύνων περιγένοιτο Β, μθ, 2. 8. *Ὀφθαλμίαι* λέγει καὶ τὸ τοῦ Πλούτου πάθος Ἀριστοφάνης Πλούτῳ 115, ὃ ὄντως ὡς τοῦ ἐπιπεφυκότος τῶν ὀφθαλμῶν φλόγωσιν παρίστησιν, ὡς εἴρηταί μοι σ. 5, καὶ ἦν Ἀσκληπιὸς τῇ τοῦ *λείχειν* μεθόδῳ ἰάσατο σ. 92. Ὁ δὲ λημῶντας ἔχων ὀφθαλμούς, οὓς Ἱπποκράτης *γλαμυρούς* λέγει, *γλάμωνας* Ἀριστοφάνει εἴρηται, οἷον Ἀρχέδημος ὁ γλάμων Βατράχοις 588 καὶ Νεοκλείδης ὁ γλάμων Ἐκκλησιαζούσαις 254. 398, ὃν Ἀσκληπιὸς δριμεῖ καταπλάσματι ἰάσασθαι ἐπεχείρησε σ. 91· πρὸς δὲ *ὀφθαλμιῶντ* λέγεται Βατράχοις 192· ὀφθαλμιῶν δέ τις παρ' ἰατρῷ ὑπαλειφόμενος κακῶς ἔσχεν Ἀπ. 181. Δοκεῖ δ' Ἀριστοφάνης καὶ τῆς συκώσεως τῶν βλεφάρων ἤτοι τῶν τραχωμάτων μνημονεύειν· λέγει γὰρ διακωμῳδῶν «*ὥσπερ τὰ σῦκα ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ*», οὕτω καὶ τὸ *ληκύθιον* ἐπὶ τῶν προλόγων Εὐριπίδου, Βατράχοις 1247· καὶ κατὰ Πολυδεύκην μὲν σῦκα τὰ ἐν τοῖς ὀφθαλμοῖς ἕλκη ἐστὶν Β, 65, ἀλλ' ἔμοιγε δοκεῖ, οὐκ ἂν ἦν τὸν ποιητὴν τὰ ἕλκη πρὸς σῦκα παραβαλεῖν· οὐδὲν γὰρ ἐοίκασιν, ἀλλὰ τὰ τραχωματικὰ κοκκία σῦκα εἰπεῖν, ἐξ οὗ *σύκωσις* ἡ νόσος ἡ τραχωματικὴ εἴρηται· ταῦτα γὰρ τὰ κοκκία πάντη ὅμοια τοῖς τοῦ σύκου κοκκίοις. Καὶ Ξενοφῶν δ' ὀφθαλμιῶντος ἀνθρώπου ἐξ ἰατρείου ἀπιόντος μέμνηται Ἑλληνικοῖς Β, α, 3. Εὐριπίδης δέ φησιν οἷς τὰ ὄμματα μεστὰ κόνεως ἢ τέφρας ἐστὶ τοῦ ὁρᾶν κωλύεσθαι, ταράξεως, ὡς εἰκός, τῶν ὀφθαλμῶν ἐπιγιγνομένης, Κύκλωπι 641· Ἡρόδοτος δὲ ὡς *ἀλγηδόνας ὀφθαλμῶν* καὶ τὰς ἀντικαθημένας εὐμόρφους γυναῖκας παρίστησι Ε, 18,5. Τὸ δὲ δάκρυον Ἐμπεδοκλῆς καὶ δὴ καὶ τὴν λήμην ἐκκρούεσθαι οἴεται, τοῦ αἵματος ταραχθέντος, ὥσπερ τοῦ γάλακτος ταραττομένου ὀρρὸς ἐξάγεται, ὡς Πλούταρχός φησιν ἐν Αἰτίαις φυσικαῖς κ, 2.

Τὸ δὲ κοιλοφθαλμιᾶν, ὃ κατὰ τὴν γενικὴν τοῦ σώματος ἀδυναμίαν καὶ ἀτροφίαν συμβαίνειν εἴωθεν ἐξ ἀτροφίας τοῦ ἐν τῷ κόγχῳ λίπους, *τὸ ὄμμα συντετηκέναι* λέγει Μηδείᾳ 689. *Κοιλοφθαλμιᾶν* δὲ Κρατῖνος, *τὴν* δὲ *κοιλοφθαλμίαν* Φρύνιχος ὁ κωμικὸς εἴρηκε κατὰ Πολυδεύκην, ὃ οὐκ ἴδιον ἐν ὀφθαλμοῖς πάθος, ἀλλὰ σημαίνει κοιλαίνεσθαι τοὺς ὀφθαλμοὺς ἐξ ἄλλου νοσήματος Δ, 184.

Περὶ δὲ Ὀδυσσέως Εὐριπίδης λέγει *ὕπαφρον ὄμμ' ἔχειν* Ῥήσῳ 711. Ποῖον δὲ πάθος ἂν εἴη τὸ ὕπαφρον τοῦτ' ὄμμα; Ὡς ἄνω μοι εἴρη-

ται σ. 138, τὸν Ὀδυσσέα ἡ Ἀθηνᾶ τῇ μαγικῇ ῥάβδῳ εἰς γέροντα ἐπαίτην ῥακόδυτον μετεμόρφωσεν, ἐκνύζωσε δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ, ἤτοι *ψωρώδη* καὶ *μιλφὰ* κατέστησε τὰ βλέφαρα. Τὴν κνίζωσιν ἄρα ἤτοι τὴν *ψώραν* ἢ τὰς *ψωρώδεις* ἐν τῇ τῶν βλεφάρων στεφάνῃ καὶ τοῖς κανθοῖς διαθέσεις ἢ τὴν *ψωροφθαλμίαν* λέγει, ὡς ἔοικεν, Εὐριπίδης ὕπαφρον ὄμμα· ἐπαίτην τε γὰρ αὐτὸν παρίστησι καὶ ῥακόδυτον, ὥσπερ καὶ Ὅμηρος, καὶ δέρμα τῆς κεφαλῆς ἔχοντα ῥυπαρὸν καὶ ξηρὸν καὶ τραχὺ ἤτοι ἐσχαρῶδες καὶ ψωρῶδες, « *ψαφαρόχρουν κάρα πολυπινές τ'* ». Εἰ οὖν ψωρώδη τῆς κεφαλῆς διάθεσιν εἶχε, εἰκὸς ψωρώδη καὶ τὰ βλέφαρα ἔχειν· *ὕπαφρον ἄρ' ὄμμ'* ἂν εἴη τὸ ὑπὸ ψωρώδων τινων κεκαλυμμένον ἐσχαρῶν, λευκῶν τε καὶ λεπτῶν, ὥσπερ ἀφρός, ἢ καὶ τὸ ὑπ' ὀλίγης κεκαλυμμένον λήμης, ἣ ταῖς τοιαύταις διαθέσεσιν ἔνεστι.

Περὶ στραβισμοῦ. Διαστρόφους ὀφθαλμοὺς καὶ δὴ καὶ διπλωπίαν καὶ τὸ ἐκ ταύτης δυσόμματον τὸ μὲν ὁ μανίᾳ ἐχόμενος ἔχειν παρίσταται, τὸ δὲ ὁ οἰνόφλυξ, τὸ δὲ ὁ λιποθυμῶν. Ὁ δὲ στραβισμὸς λέγεται καὶ *διαστροφὴ ὀφθαλμῶν* καὶ *ἴλλωσις* παρ' Ἱπποκράτει· ὁ δὲ στραβίζων λέγεται *διάστροφος, ἰλλός, στραβός, στρεβλός, παραβλώψ* παρ' Ὁμήρῳ καὶ *φολκὸς* ἴσως· αἴσχιστον γὰρ τὸν Θερσίτην λέγων, ὡς εἰκός, τὸ πάντων αἴσχιστον, τὸ στραβὸν ἢ φολκόν, προὔταξε τῶν ἄλλων ἐλαττωμάτων Β, 217. Τὴν δὲ τῶν ὀμμάτων διαστροφὴν τοῦ μαινομένου Αἴαντος Σοφοκλῆς «*ὀμμάτων ἀποστρόφους αὐγάς*» λέγει ἐν Αἴαντι 69· ἔνθα *αὐγαὶ* σημαίνουσιν, ὡς ἔοικε, τὸ στίλβον καὶ αὐγάζον μόριον τοῦ ὀφθαλμοῦ ἤτοι τὸν κερατοειδῆ. *Διάστροφον ὀφθαλμὸν* καὶ σπασμοὺς ἔσχε καὶ Ἡρακλῆς ἐκ νόσου μανιώδους πάσχων Τραχινίαις 795. Ἀριστοφάνης δὲ τὴν μανικὴν τῶν ὀμμάτων διαστροφήν, ὡς ἔοικε, διὰ τοῦ «*βλέπει γέ τοι μανικόν τι*» ἐκφράζει Πλούτῳ 424. Εὐριπίδης δὲ τοῦ μαινομένου τοὺς ὀφθαλμοὺς *διαστρόφους, γοργωπούς, ἀγριωπούς* καὶ *αἵματι ἐριεμένους* λέγει, οὓς ἑλίττει καὶ στρέφει ὁ μαινόμενος, ἐν Ἡρακλεῖ μαινομένῳ 868, 990 καὶ τῆς μαινάδος Ἀγαύης ἐκ τοῦ οἴνου μανείσης *διαστρόφους* καὶ *ἑλιττομένους* παρίστησι τοὺς ὀφθαλμοὺς Βάκχαις 1122, 1167. Ἄριστα δ' ἐν ὀλίγοις τοῦ μαινομένου τὸ πάθος ἱστορεῖ ἐν Ἡρακλεῖ μαινομένῳ 931·

παῖδες προσέσχον ὄμμ' ὁ δ' οὐκέθ' αὑτὸς ἦν,
ἀλλ' ἐν στροφαῖσιν ὀμμάτων ἐφθαρμένος,
ῥίζας τ' ἐν ὄσσοις αἱματῶπας ἐκβαλών,
ἀφρὸν κατέσταζ' εὐτρίχου γενειάδος·
ἔλεξε δ' ἅμα γέλωτι παραπεπληγμένῳ.

Σκοτοῦται δὲ τὰ ὄμματα ἐν δεινῷ φρενῶν ταράγματι, «*νὺξ ἔχει βλέφαρα*» 1071. Ὁ δὲ μητροκτόνος Ὀρέστης μανίᾳ ἐχόμενος καὶ ὑπὸ τῆς συνειδήσεως τυπτόμενος τὰ εὐκίνητα αὐτοῦ ὄμματα πάντοσε στρέφων παρίσταται Ὀρέστῃ 837, «*δρομάσι δινεύων βλεφάροις*», ὃ καὶ πρὸς τὸ εὐκρινῶς ὁρᾶν εἴρηται 1459. Τοῦτ' αὐτὸ δὲ ἤτοι τὸ μανικὸν καὶ ἄγριον αὐτοῦ βλέμμα σημαίνει καὶ τὸ ἐν 389

δεινὸν δὲ λεύσσειν ὀμμάτων ξηραῖς κόραις

καὶ τὸ «*ὄμμα σὸν ταράσσεται*» 253. Στενῶς δὲ συνδεδεμένον τὸ δυσόμματον πρὸς διατάραξιν τῶν φρενῶν οἴεται Εὐριπίδης. Μενέλαος γὰρ τὴν αὐτοῦ σύζυγον Ἑλένην οὐ σαφῶς διαγιγνώσκων λέγει Ἑλένῃ 575·

Ἦ που φρονῶ μὲν εὖ, τὸ δ' ὄμμα μου νοσεῖ;

Ἀριστοφάνης δ' «*ὑπὸ μανίας δεινῆς ὄμματα στροβήσεται*» περὶ Αἰσχύλου φησὶ Βατράχοις 816. Τὴν δὲ λιποθυμοῦσαν Εὐριπίδης παρίστησιν ὠχρὰν καὶ ἀφρίζουσαν καὶ τὰς τῶν ὀμμάτων κόρας ἀποστρέφουσαν Μηδείᾳ 1174, Αἰσχύλος δὲ τὴν διπλῆν ὄψιν, ἤτοι τὴν νῦν *διπλωπίαν* καλουμένην, «*δίκραν ὄψιν*» λέγει Τροφοῖς Ἀπ. 317, ὡς φησιν Ἡσύχιος. Ἔοικε δὲ τὸ διπλᾶ ὁρᾶν *δίκραν ὄψιν* εἰπεῖν· δίκρους γὰρ ἡ δίκρος ὁ εἰς δύο διῃρημένος ἐστίν, οἷον δίκρους γλῶττα, δίκρουν σπέρμα, καὶ ὄψις ἄρα δίκρα οὐδὲν ἄλλ' ἂν εἴη ἡ ὄψις εἰς δύο διεσχισμένη καὶ διπλᾶ ὁρῶσα· τὸ διπλωπεῖν δ' οὐκ ἄλλως ἂν ἐγίγνετο ἢ ἐν διαστρόφοις καὶ στραβίζουσιν ὀφθαλμοῖς, ὃ εἰκὸς ἦν τὸ ὀξὺ Αἰσχύλου παρατηρητικὸν οὐ διαλαθεῖν.

Περὶ ὀφθαλμικῶν τραυμάτων. Πλήξεις καὶ τραύματα τῶν ὀφθαλμῶν, οἷον ὑποσφάγματα, ὑπώπια, ἐξορύξεις καὶ ἄλλα, ποικίλα ἐγίγνετο, ἀλλ' οὔπω πάντα ἴδια ὀνόματα ἔφερεν. Ἐπὶ δὲ ὀφθαλμῶν ἐξορύξεως κατὰ Πολυδεύκη εἴρηται τοὺς ὀφθαλμοὺς ἐξορύττειν καὶ κοιλαίνειν, σβεννύναι, βαθύνειν, κενοῦν, σπαράττειν, ἐκ πυθμένων ἀνασπᾶν, ἀνέλκειν, ἐκκόπτειν, ἀποσβέσθαι τὴν γλήνην Β, 62. Η, 79.

Δ, 188, πρὸς δὲ καὶ πλεῖσται ἄλλαι ἐκφράσεις, περὶ ὧν ἐν τοῖς ἑξῆς ἔσται ἡμῖν ὁ λόγος.

Ἱππῶναξ διακωμῳδῶν «*κόψω Βουπάλου τὸν ὀφθαλμόν*» φησιν Ἀπ. 83. *Ἐξωρύξεις δ'* ὀφθαλμῶν δύο ἀφηγεῖται Σοφοκλῆς τὴν τῶν Φινειδῶν ἐν Ἀντιγόνῃ 970 καὶ τὴν τοῦ Οἰδίποδος ἐν Οἰδίποδι τυράννῳ 1268. Οἱ δύο Φινεῖδαι ἀραχθέντες ταῖς αἱματηραῖς χερσὶ καὶ ταῖς τῶν κερκίδων ἀκμαῖς ὑπὸ τῆς ἀγρίας αὐτῶν μητρυιᾶς κατὰ τοὺς ὀμμάτων κύκλους ἤτοι τοὺς κερατοειδεῖς ἕλκος ἔσχον κατὰ τοὺς κερατοειδεῖς *ἀλαὸν* ἤτοι τύφλωσιν ἐπάγον.

Ὁ δὲ Οἰδίπους ἀποσπάσας ἀπὸ τῶν ἐνδυμάτων τῆς νεκρᾶς Ἰοκάστης τὰς χρυσηλάτους περόνας αὐτόχειρ ἔπαιε καὶ ἤραττε πολλάκις κοὐχ ἅπαξ τὰ ἑαυτοῦ ὄμματα ἐπαίρων τὰ βλέφαρα, ἃ καὶ «*ἄρθρα τῶν αὐτοῦ κύκλων*» Σοφοκλῆς ὀνομάζει *κύκλον* λέγων, ὡς ἔοικε, τὸν βολβὸν ἢ πιθανότερον τὸν κερατοειδῆ. Οἱ δ' αἱμάττοντες ἐκ τῆς τρώσεως ὀφθαλμοὶ αὐτοῦ ἔβρεχον τὰ γένεια· οὐκ ἐξέρρεον δὲ τῶν αἱμορρύτων ὀμμάτων σταγόνες ὑγραὶ αἵματος, ἀλλὰ ῥάγδην μέλαν αἷμα ὡσεὶ ὄμβρος ἐξεχύνετο καὶ θρόμβοι αἵματος ὡς χάλαζα. Τὴν τύφλωσιν δὲ ταύτην λέγει καὶ «*ὄψεις μαρᾶναι*» Ο. Τ. 1328 καὶ «*τὰς αἱματηρὰς ὀμμάτων διαφθορὰς*» ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ 552 καὶ «*διπλᾶς ὄψεις ἀράξας αὐτὸς αὐτουργῷ χειρί*» ἐν Ἀντιγόνῃ 51. Αἰσχύλος δὲ περὶ τῆς αὐτόχειρος Οἰδίποδος τυφλώσεως τάδε λέγει ἐν Ἑπτὰ ἐπὶ Θήβας 783·

πατροφόνῳ χερὶ τῶν
κρεισσοτέκνων ὀμμάτων ἐπλάγχθη.

Τοὺς δ' ἐξορύττοντας τοὺς ὀφθαλμοὺς ὀφθαλμωρύχους λέγει Εὐμενίσι 186· «*ὀφθαλμώρυχοι δίκαι*». Τὴν Οἰδίποδος τύφλωσιν τῇ τῶν ὀμμάτων τρώσει *αἱματωποὺς δεργμάτων διαφθορὰς* λέγει Εὐριπίδης Φοινίσσαις 870. Ὡς αἰτίαν δὲ τῆς αὐτόχειρος ταύτης Οἰδίποδος τυφλώσεως λέγει τὸν ἐν ἀγνοίᾳ μετὰ τῆς αὐτοῦ μητρὸς Ἰοκάστης γάμον, ὃν ἅμα μαθὼν Φοινίσσαις 61

ἐς ὄμμαθ' αὑτοῦ δεινὸν ἐμβάλλει φόνον,
χρυσηλάτοις πόρπαισιν αἱμάξας κόρας.

Ἐν δὲ τῷ Οἰδίποδι λέγει ὅτι οἱ Λαίου θεράποντες αὐτὸν ἐτύφλωσαν Ἀπ. 545·

ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ
ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.

Ὡς δὲ πᾶσα ἐξ οἱασδήποτε αἰτίας τυφλότης καὶ σκότωσις, οὕτω καὶ ἡ Οἰδίποδος αὐτόχειρ τύφλωσις *ἀερίῳ σκότει* τὰ ὄμματα καλύπτουσα παρίσταται Φοινίσσαις 1534.

Τὴν δὲ τοῦ βασιλέως τῆς Θράκης Πολυμήστορος τύφλωσιν, ἣν Ἑκάβη σὺν γυναιξὶ Τρῳαῖς αἰχμαλωτίσιν ἐξειργάσαντο, Εὐριπίδης ὧδ' ἀφηγεῖται· αὗται πόρπας λαβοῦσαι τὰς τῶν ὀμμάτων αὐτοῦ κόρας κεντοῦσι καὶ αἱμάττουσιν Ἑκάβῃ 1169· οὕτω δ' αἱμάξασαι τὰς κόρας τυφλὸν τὸ ὄμμ' αὐτοῦ ἔθηκαν 1117· ὁ δὲ Πολυμήστωρ «*ὤμοι, τυφλοῦμαι φέγγος ὀμμάτων*» ἀναφωνεῖ 1035· εὔχεται δὲ τῷ Ἡλίῳ, ὅπως ἀπαλλάξῃ αὐτὸν τῆς τυφλότητος ἰώμενος τὸ αἱματόεν τῶν ὀμμάτων βλέφαρον 1066·

Εἴθε μοι ὀμμάτων αἱματόεν βλέφαρον
ἀκέσαι', ἀκέσαιο, τυφλόν, Ἅλιε,
φέγγος ἀπαλλάξας.

Τὸν Ἥλιον οὖν τὸν θεοῖς τε καὶ ἀνθρώποις φαίνοντα καὶ οὐ ἄνευ οὐκ ἔστιν ὁρᾶν ἰατρὸν τῆς τυφλότητος αὐτοῦ ἐπικαλεῖται. Εὖ δ' οἶδεν Ἑκάβη ὅτι οὕτω ταῖς περόναις κεντηθέντας καὶ αἱμαχθέντας ὀφθαλμοὺς ἰάσασθαι ἀδύνατον· δι' ὃ λέγει 1045·

οὐ γάρ ποτ' ὄμμα λαμπρὸν ἐνθήσεις κόραις.

Τὴν δὲ Κύκλωπος τύφλωσιν ὑπ' Ὀδυσσέως τῷ ἠνθρακωμένῳ δαλῷ Εὐριπίδης ἐν πολλοῖς ὥσπερ Ὅμηρος ἀφηγεῖται· καὶ δὴ πεπρωμένον παρίσταται κατὰ παλαιὸν χρησμὸν τὸν Κύκλωπος ὀφθαλμὸν ὑπ' Ὀδυσσέως τυφλωθῆναι Κύκλωπι 697. Τὸν δὲ τρόπον τῆς τοῦ ὄμματος καύσεως Ὀδυσσεὺς ὧδ' ἐκτίθησι 454·

Ὅταν δ' ὑπνώσῃ Βακχίου νικώμενος
ἀκρέμων ἐλαίας ἐστὶν ἐν δόμοισί τις,
ὃν φασγάνῳ τῷδ' ἐξαποξύνας ἄκρον
ἐς πῦρ καθήσω· κἄθ' ὅταν κεκαυμένον
ἴδω νιν, ἄρας θερμὸν ἐς μέσην βαλὼν
Κύκλωπος ὄψιν ὄμματ' ἐκτήξω πυρί·
Ναυπηγίαν δ' ὡσεί τις ἁρμόζων ἀνὴρ
διπλοῖν χαλινοῖν τρύπανον κωπηλατεῖ,
οὕτω κυκλώσω δαλὸν ἐν φαεσφόρῳ
Κύκλωπος ὄψει, καὶ συναυανῶ κόρας.

Ὡς δ' ἔθος Εὐριπίδῃ καὶ ἡ τύφλωσις αὕτη ποικίλαις ἐκφράσεσι λέγεται· οἷον 483

Ἄγε, τίς πρῶτος; τίς δ' ἐπὶ πρώτῳ
ταχθείς, δαλοῦ κώπην ὀχμάσας
Κύκλωπος ἔσω βλεφάρων ὥσας,
λαμπρὰν ὄψιν διακναίσει;

Πρὸς δὲ λέγει «*πυροῦν Κύκλωπος ὄψιν*» 594, «*λαμπρὸν πυρώσας ὄμμ'*» 600, «*πυρὶ γὰρ τάχα φωσφόρους ὀλεῖ κόρας*» 610, «*ἐξελέτω βλέφαρον*» 617, «*ὄμματος ὄψις ἐξαμιλληθῇ πυρὶ*» 627, «*καυστὸν μοχλὸν λαβόντας ἐκκαίειν τὸ φῶς*» 633, «*ὠθεῖν ἐς τὸν ὀφθαλμὸν τὸ πῦρ*» 636, «*ἐκκαίετε τὰν ὀφρῦν*» 657, «*κατηρθρακώμεθ' ὀφθαλμοῦ σέλας*» 663, «Οὔτις με *τυφλοῖ βλέφαρον*» 673. Παρίστησι δ' Εὐριπίδης τὸν μὲν χορὸν ἐπῳδὴν Ὀρφέως ἀγαθὴν εἰδέναι, ὥστε ταύτῃ αὐτόματον τὸν πεπυρακτωμένον δαλὸν εἰς τὸ ὄμμα ἐμβαίνοντα ἐκκαίειν τὸ ὄμμα τοῦ μονοφθάλμου Κύκλωπος, τὸν δ' Ὀδυσσέα τῇ χειρὶ καὶ εὐψυχίᾳ τῶν οἰκείων φίλων πεποιθότα καὶ τῇ Ὀρφικῇ ἐπῳδῇ 646.

Ἐκ τραύματος δὲ τῆς κεφαλῆς καιρίου μετὰ ῥήξεως τοῦ κρανίου, καθ' ὃ καὶ ὁ ἐγκέφαλος τιτρωσκόμενος χαμαὶ ῥαίνεται, ἀπὸ τῶν ὀμμάτων, φησὶν Εὐριπίδης εὖ εἰδὼς τὰ τῶν τοιούτων τρώσεων συμπτώματα, *αἱμοσταγεῖς πρηστῆρες ῥεύσονται κάτω*, ἤτοι ῥαγδαία ὡσεὶ καταιγὶς αἱμορραγία γενήσεται Ἀπ. 388. Ἐκ βιαίου δ' ὑπὸ τὸν ὀφθαλμὸν τραύματος ἀποθνήσκει ὁ Κῦρος, ὃν παίοντα τὸν βασιλέα Ἀρταξέρξην τὸν Μνήμονα κατὰ τὸ στέρνον ἀκοντίζει τις παλτῷ ὑπὸ τὸν ὀφθαλμόν, ὡς φησι Ξενοφῶν ἐν Κύρου ἀναβάσει Α, η, 27. Ἐκ δὲ διακεντήσεως τοῦ ὀφθαλμοῦ τοῦ Ἰνταφέρνους τῇ αἰχμῇ δόρατος ὑπὸ τοῦ ἑτέρου τῶν βασιλευόντων τοῖς Πέρσαις μάγων ἐστερήθη μὲν τοῦ ὀφθαλμοῦ ὁ Ἰνταφέρνης, ὃς πρῶτος μὲν τῶν Περσῶν, εἷς δὲ τῶν ἑπτὰ κατὰ τῶν μάγων συνωμοτῶν ἐγένετο, καὶ ἐκ τοῦ τραύματος τούτου ἐτυφλώθη, ἀλλ' οὐκ ἀπέθανε, φησὶν Ἡρόδοτος Γ, 78, 2. Καὶ τοῦτο μὲν τὸ ὀφθαλμικὸν τραῦμα οὐκ ἦν θανατηφόρον ἅτε τύφλωσιν μόνον ἐπενεγκόν· ὁ δὲ Πέρσης Μασίστιος, ἵππαρχος Μαρδονίου, ἐν Ἐρυθραῖς τῆς Βοιωτίας ἐς τὸν ὀφθαλμὸν ὑπό τινος τῶν Ἀθηναίων πληγεὶς ἐκ τοῦ τραύματος τούτου ἔπεσε καὶ ἀπέθανε Θ, 22, 4. Θαῦμα δὲ καὶ ὑπὲρ φύσιν τὸ ἄνευ αἰτίας τυφλὸν γενέσθαι οἴεται Ἡρό.

δοτος ἱστορῶν ἃ περὶ Ἐπιζήλου ἤκουσε λεγόμενα· ὡς Ἐπίζηλος ὁ Κουφαγόρου Ἀθηναῖος ἐν Μαραθῶνι συσταδὸν ἀνδρείως μαχόμενος τῶν αὐτοῦ ὀφθαλμῶν διὰ βίου ἐστερήθη οὔτε πληγεὶς οὐδὲν τοῦ σώματος μέρος οὔτε βληθείς, ἀλλ' ὁπλίτης μέγας ἔδοξεν αὐτῷ ὡς φάσμα ἀπέναντι στῆναι καὶ τὸν αὐτοῦ παραστάτην ἀποκτεῖναι, ἔκτοτε δὲ τυφλὸν διὰ βίου γενέσθαι ς, 117· τοῦτο δ' οὐκ ἂν ἄλλως γενέσθαι οἷόν τ' ἦν, εἰ ἀληθὲς εἴη, ἢ ἐξ ἐγκεφαλικοῦ τινος πάθους, ἐξ οὗ ἥ τε παραίσθησις τοῦ φάσματος καὶ ἡ τύφλωσις ἐξηγοῦνται.

Ἡ τύφλωσις παλαίτατα πρὸς τιμωρίαν ἐν χρήσει ἦν· Κύκλωψ τε γὰρ ὑπ' Ὀδυσσέως τυφλοῦται πρὸς τιμωρίαν, ὅτι τοὺς ἑταίρους αὐτοῦ καταβιβρώσκει, ὡς εἴρηταί μοι σ. 135, καὶ Φοῖνιξ ὑπὸ τοῦ πατρὸς Ἀμύντορος πρὸς τιμωρίαν διὰ τὴν τῆς παλλακίδος αὐτοῦ φθορὰν σ. 74 καὶ οἱ Φινεῖδαι Πλήξιππος καὶ Πανδίων ὑπὸ τοῦ ἑαυτῶν πατρὸς σ. 90 καὶ ὁ Νεῖλος πρὸς ἐκδίκησιν τὸν βασιλέα Φερῶνα τυφλοῖ, ὡς τὸ ῥεῦμα αὐτοῦ σφόδρα πλημμυροῦντος αἰχμῇ ἐκέντησε σ. 48. Καὶ Θρᾷξ δ' ὁ τῶν Βισαλτέων βασιλεύς, ὡς ἱστορεῖ Ἡρόδοτος, πρὸς τιμωρίαν τῶν ἐξ αὐτοῦ υἱῶν τοὺς ὀφθαλμοὺς ἐξώρυξεν, ὅτι παρὰ τὴν ἀπαγόρευσιν τοῦ αὐτῶν πατρὸς σὺν τῷ Ξέρξῃ ἐστρατεύσαντο ἐπὶ τὴν Ἑλλάδα Η, 116. Καὶ ὡς ποινὴν δὲ τὴν τύφλωσιν ὁ μέγας νομοθέτης Σόλων ἐνομοθέτησεν, ἐὰν ἑτεροφθάλμου ἐκκόψῃ τις τὸν μόνον ὀφθαλμόν, ἀντεκκόπτειν καὶ τὰ δύο αὐτοῦ ὄμματα, ὥστε καὶ τὸν τυφλώσαντα τελείως τυφλὸν γενέσθαι, ὡς Διογένης φησὶ Α, 6, 57. Πρὸς ποινὴν τὸν Εὐήνιον ἐξετύφλωσαν καὶ οἱ Ἀπολλωνιᾶται, οἱ ἐν Ἰλλυρίδι ἐν τῷ Ἰονίῳ πελάγει οἰκοῦντες, ὑπαγαγόντες αὐτὸν ὑπὸ δικαστήριον καὶ κατακρίναντες τῆς ὄψεως στερηθῆναι, ὡς πρὸς φυλακὴν τῶν ἱερῶν Ἡλίου προβάτων ἐκλεχθεὶς κατεκοιμήθη, λύκοι δ' ἐς τὸ ἄντρον παρελθόντες τῶν προβάτων ὡς ἑξήκοντα διέφθειραν· τῆς δ' ἀδίκου ταύτης ἐκτυφλώσεως δίκην αὐτῷ κατὰ θεοπρόπια ἐκτίνουσιν Ἀπολλωνιᾶται δύο ἀγροὺς καὶ οἰκίαν τῶν καλλίστων τῆς Ἀπολλωνίας, ἵνα τὴν μῆνιν αὐτοῦ ἐξιλεώσωσι καὶ τῆς μαστιζούσης αὐτοὺς ἀφορίας ἀπαλλαχθῶσιν, ὡς φησιν Ἡρόδοτος Θ, 93,3. Καὶ ταῦτα μὲν αἱ Ἑλληνικαὶ πόλεις νόμῳ διέπραττον· οἱ δὲ νομάδες Σκύθαι, φησί, πάντας οὓς ἂν λάβωσι δούλους τυφλοῦσι διὰ τὴν τοῦ βουτύρου ἐργασίαν, ἵνα τὸ γάλα δονῶσιν οἱ τυφλοὶ οὗτοι κύκλῳ περὶ τὰ πλήρη γάλακτος ξύλινα ἀγγεῖα ταττόμενοι Δ,2.

Περὶ θεραπείας τῶν ὀφθαλμικῶν παθῶν. Ὥσπερ ἡ καθόλου θεραπευτικὴ παλαίτατα τὸ μὲν φαρμάκοις τὸ δὲ τομαῖς ἐγίγνετο, ἤτοι τοῦτο μὲν φαρμακευτικὴ τοῦτο δὲ χειρουργικὴ ἦν, οὕτω καὶ ἡ τῶν ὀφθαλμικῶν παθῶν θεραπεία, ὡς εἰκός, τὸ μὲν φαρμάκοις τὸ δὲ χειρουργίαις ἐπετελεῖτο. Πάντα δὲ τῆς ἰατρικῆς τὰ εὑρήματα καὶ τῇ τῶν ὀφθαλμῶν θεραπευτικῇ ὡς ἐπὶ τὸ πολὺ ἐφηρμόζετο. Ὥσπερ δὲ τῶν νόσων αἰτίους τῶν τε καθόλου καὶ τῶν ὀφθαλμικῶν ἀνέκαθεν οἱ μὲν τοὺς θεοὺς εἶναι ἐνόμιζον, οἱ δὲ φυσικὰ νοσοποιὰ αἴτια παρεδέχοντο· οὕτω καὶ ἡ θεραπευτικὴ ἥ τε καθόλου καὶ ἡ ὀφθαλμικὴ τοῦτο μὲν μόρσιμος καὶ δὴ ἐκ θεῶν τὰς ἰάσεις γίγνεσθαι ἐνομίζετο, τοῦτο δὲ φυσικῶς φαρμάκοις τε καὶ χειρουργίαις ἐπιτελεῖσθαι.

Οὐ μόνον δ' ὁ λαὸς ἀλλὰ καὶ λογάδες καὶ ἐπιφανεῖς ἄνδρες ἐκ θεοῦ τὴν τῶν ὀφθαλμῶν σωτηρίαν καὶ ἴασιν, καθ' ἅπερ καὶ τῶν ἄλλων νόσων, νομίζουσιν, οἷον Διομήδης τε καὶ οἱ ἄριστοι τῶν ἑλλήνων νομοθετῶν Λυκοῦργος καὶ Σόλων. Ἡ Ἀθηνᾶ δὲ τὸ πάλαι ὡς ὀφθαλμῶν σώτειρα καὶ ἰατρὸς ἐνομίζετο, δι' ὃ καὶ ἱερὰ αὐτῇ ἵδρυται καὶ *Ὀξυδερκής*, *Ὀπτιλέτις*, *Ὀφθαλμῖτις* ἐπωνόμασται.

Καὶ πρῶτος μὲν Διομήδης, ὡς εἴρηταί μοι καὶ πρότερον σ. 129, ἱερὸν Ἀθηνᾶς Ὀξυδερκοῦς ἐν Ἄργει ἱδρύσατο, ὅτι μαχόμενόν ποτε αὐτὸν ἐν Τροίᾳ τὴν ἀχλὺν ἡ θεὸς ἀπὸ τῶν ὀμμάτων ἀφεῖλεν, ὥς φησι Παυσανίας Β, 24,2.

Εἶτα δὲ Λυκοῦργος ὁ μέγας νομοθέτης ἐν Σπάρτῃ ἱερὸν Ὀπτιλέτιδος ἢ Ὀφθαλμίτιδος Ἀθηνᾶς ἱδρύσατο ὑπ' Ἀλκάνδρου τὸν ὀφθαλμὸν πληγείς· περὶ τούτου δὲ Πλούταρχός τε (50 μ. Χ.) ἱστορεῖ ἐν Λυκούργῳ 11,7 καὶ Παυσανίας (2ον μ. Χ. αἰῶνα) Γ, 18,2. Καὶ Πλούταρχος μὲν περί τε τοῦ πάθους καὶ τοῦ τῇ Ὀπτιλέτιδι Ἀθηνᾷ ἀναθήματος λέγει ὡς Λυκοῦργος ὑπ' Ἀλκάνδρου τὸν ὀφθαλμὸν βακτηρίᾳ πληγεὶς καὶ τὴν ὄψιν διαφθαρεὶς τοῦ πάθους τούτου ὑπόμνημα τὸ ἱερὸν ἱδρύσατο· κατὰ δὲ τὴν Διοσκορίδου καὶ ἄλλων τινῶν δόξαν ἀκέσεως χαριστήριον διὰ τὴν τοῦ ὀφθαλμοῦ αὐτοῦ ἐκ τῆς πληγῆς σωτηρίαν τὸ ἱερὸν ἀναθεῖναι, *Λυκούργῳ* 11,7· « Τοῦ δὲ πά-» θους ὑπόμνημα Λυκοῦργος ἱδρύσατο τῆς Ἀθηνᾶς ἱερόν, ἣν *Ὀπτι-» λέτιν* προσηγόρευσε· τοὺς γὰρ ὀφθαλμοὺς ὀπτίλους οἱ τῇδε Δωριεῖς » καλοῦσιν. Ἔνιοι μέντοι τὸν Λυκοῦργον, ὃν καὶ Διοσκορίδης ἐστὶν » ὁ συντεταγμένος τὴν Λακωνικὴν πολιτείαν, πληγῆναι μέν φασιν,

» οὐ τυφλωθῆναι δὲ τὸν ὀφθαλμόν· ἀλλὰ καὶ τὸ ἱερὸν τῇ θεῷ τῆς » ἀκέσεως χαριστήριον ἱδρύσασθαι ». Παυσανίας δ' ἱστορεῖ ὡς ὁ μέγας νομοθέτης Λυκοῦργος ἐκκοπεὶς τῶν ὀφθαλμῶν τὸν ἕτερον ὑπ' Ἀλκάνδρου διὰ τὴν τοῦ ἑτέρου σωτηρίαν ναὸν Ὀφθαλμίτιδος Ἀθηνᾶς ἐν Σπάρτῃ ἱδρύσατο Γ, 18,2· « Ἰόντι δὲ ὡς ἐπὶ τὸ Ἀλπίον » καλούμενον ναός ἐστιν Ἀθηνᾶς *Ὀφθαλμίτιδος*· ἀναθεῖναι δὲ Λυ- » κοῦργον λέγουσιν ἐκκοπέντα τῶν ὀφθαλμῶν τὸν ἕτερον ὑπὸ Ἀλ- » κάνδρου, διότι οὓς ἔθηκε νόμους οὐκ ἀρεστοὺς συνέβαινεν εἶναι τῷ » Ἀλκάνδρῳ. Διαφυγὼν δὲ ἐς τοῦτο τὸ χωρίον Λακεδαιμονίων ἀμυ- » νάντων μὴ προσαπολέσθαι οἱ καὶ τὸν λειπόμενον ὀφθαλμόν, οὕτω » ναὸν Ὀφθαλμίτιδος Ἀθηνᾶς ἐποίησε ». Καὶ τὰ δύο δὲ ταῦτα χωρία τό τε Πλουτάρχου καὶ τὸ Παυσανίου σαφῆ ἐστι μαρτύρια ὅτι καὶ ἐπὶ Λυκούργου τοῦ περιφήμου τῆς Σπάρτης νομοθέτου, ὃς περὶ τὸν 8ον π. Χ. αἰῶνα ἔζη, ἡ Ἀθηνᾶ πρὸς τοῖς ἄλλοις καὶ ὡς θεότης ὀφθαλμικὴ ἐτιμᾶτο. *Ὀπτιλέτις* δὲ κατὰ Πλούταρχον προσηγόρευσε τὴν Ἀθηνᾶν Λυκοῦργος, τῶν ὀφθαλμῶν δωρικῶς *ὀπτίλων* καλουμένων. Παυσανίας δὲ τὴν Ἀθηνᾶν *Ὀφθαλμίτιδα* λέγει· ἢ διότι οὕτως τότε ὑπὸ τοῦ λαοῦ ἐλέγετο, τῆς κοινῆς ἀττικῆς διαλέκτου εἰσαχθείσης καὶ παρὰ τοῖς Δωριεῦσιν, ἢ διότι ὁ συγγραφεὺς ἀττικῶς τὸ *Ὀπτιλέτις* μετέφρασε.

Μόρσιμα δὲ καὶ Σόλων (594) ὁ μέγας νομοθέτης καὶ ποιητὴς τά τε ἄλλα ἡγεῖται καὶ τὰ τῆς ἰατρικῆς καὶ θεραπευτικῆς καὶ δὴ ἐκ θεῶν καὶ τὰς τῶν ὀφθαλμῶν ἰάσεις· μελαγχολίας γὰρ ἔμπλεως καὶ σκεπτικὸς ἦν ἄθυμος ὧδε λέγει Ἀπ. 13,55·

τὰ δὲ μόρσιμα πάντως
οὔτε τις οἰωνὸς ῥύσεται οὐθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί· καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος
κοὐκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς·
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἀψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.

Ἐκ τῶν στίχων τούτων φανερόν, ὡς *ἔργον* ἴδιον τὴν ἰατρικὴν οἴεται, ἧς ὁ τελικὸς σκοπός, ἡ ἴασις, ὅλως ἐκ τῆς εἱμαρμένης ἤρτηται ἢ ἐκ τῆς ὑψηλῆς τῶν θεῶν βουλήσεως, μηδενὸς γιγνώσκοντος, εἰ θεραπείας τινὸς καλὸν ἢ κακὸν ἔσοιτο τὸ τέλος· πρὸς δὲ διδασκόμεθα ὅτι

ἐπὶ τῶν χρόνων αὐτοῦ ἡ τῶν παθῶν ἴασις εἴτ' ἠπίοις φαρμάκοις εἴτε τῇ μαγικῇ τῶν χειρῶν ἐπαφῇ ἐγίγνετο ὑπὸ τῶν ἰατρῶν αὐτῶν. Σοφοκλῆς δὲ τὸν μὲν ἐπῳδαῖς τὰς νόσους ἰώμενον *ἀοιδόν*, τὸν δὲ χειρουργίαις *χειροτέχνην ἰατορίας* ὀνομάζει ἐν Τραχινίαις 1001.

Καὶ ταῦτα μὲν περὶ τῆς ἐκ θεοῦ ἰάσεως τῶν ὀφθαλμικῶν τε καὶ ἄλλων παθῶν, ἐφ' οὗ κυρίως τῶν Ἀσκληπιείων ὁ θρίαμβος στηρίζεται καὶ ἡ μαγικὴ φιλοσόφων τινῶν ἰατρική· ὅτι δ' αἱ ἰάσεις ἔκπαλαι φαρμάκοις τε καὶ τομαῖς ὑπὸ τῶν ἰατρῶν ἐπετελοῦντο καὶ ὅτι τὰ φάρμακα ἔσωθέν τε ποτὰ καὶ ἔξωθεν ἐπίπαστα καὶ χριστὰ ἦν, τοῦτο καὶ παρ' Ὁμήρῳ μὲν ὑπεμφαίνεται· τούς τε γὰρ ἰατροὺς *πολυφαρμάκους* λέγει Π 28 καὶ ἡ Ἀγαμήδη παμφάρμακος ἦν Λ 741 καὶ ὁ Μαχάων τετρωμένος μέλανα οἶνον πίνει Ξ 5 καὶ ἡ Ἑλένη Τηλεμάχῳ τε καὶ τοῖς ὁμοτραπέζοις ἔδωκεν ἐν οἴνῳ πιεῖν τὸ *νηπενθές, ἄχολον* καὶ κακῶν ἁπάντων *ἐπίληθον* φάρμακον δ 221 καὶ ἡ Κίρκη τοῖς Ὀδυσσέως ἑταίροις ἐν τῷ κυκεῶνι φάρμακα *λυγρὰ* ἔδωκε πιεῖν κ 276· χειρουργίαις δ' αὖθις αὖ ἤτοι τομαῖς τὸ βέλος ἐκ τοῦ μηροῦ Εὐρυπύλου ἐξέταμεν ὁ Πάτροκλος Λ 844, Μαχάων δ' ἀπὸ Μενελάου ἁπλῶς τὸ βέλος ἐξείλκυσε καὶ τὸ αἷμα τοῦ τραύματος ἐξεμύζησεν, εἶτα δὲ φάρμακα ἔξωθεν ἐπὶ τοῦ τραύματος ἐπέπασε Δ 213. Σαφῆ δ' ἰατρικῆς καὶ χειρουργικῆς διάκρισιν πρῶτος Ἀρκτῖνος (775) ποιεῖται Μαχάονα μὲν χειρουργικὸν Ποδαλείριον δὲ παθολογικὸν λέγων, ὅρα σ. 104. Καὶ Πίνδαρος δὲ καὶ Αἰσχύλος καὶ Σοφοκλῆς καὶ Εὐριπίδης τὴν τῆς ἰατρικῆς τε καὶ χειρουργικῆς ἀξίαν πολλαχῶς ἐξαίρουσι τῇ φαρμάκοις καὶ τομαῖς θεραπευτικῇ πεποιθότες, ἣ καὶ ἐπὶ τὴν ὀφθαλμολογίαν, ὡς εἰκός, καθ' ἅπερ καὶ ἐπὶ τὴν ὠτολογίαν, ἐφηρμόζετο. Αἱ δὲ γνῶμαι, ἃς περί τε ἰατρικῆς καὶ ἰατρῶν ἀποφαίνονται, πρόοδον οὐ σμικρὰν δεικνῦσι τῆς τε ἰατρικῆς καθόλου καὶ θεραπευτικῆς καὶ δὴ καὶ τῆς ὀφθαλμολογίας καὶ ὠτολογίας.

Καὶ Πίνδαρος μὲν (520-450) τὰ τῆς ἀνθρωπικῆς ἰατρικῆς πεπερασμένα οἴεται καὶ παραινεῖ ὡς ἐν χερσὶ θνητῶν κεῖται ἐμπείρως ἀσκεῖσθαι· ὑπέρτερα δὲ τῶν ἀνθρωπικῶν δυνάμεων μὴ ἐπιχειρεῖν ἰάματα, τὰ θεοῖς μόνοις δυνατά· ἀνθρώπους δ' ἐκ θανάτου ἀνιστάναι παρὰ φύσιν τῆς ἰατρικῆς εἰκότως οἴεται, ὥσπερ καὶ Ἴβυκος, οὐκ ἔστι, φησί, τοῖς ἀποφθιμένοις ζωῆς ἔτι φάρμακον εὑρεῖν, νεκρὸν ἰάσασθαι καὶ ἐς ζωὴν ἐπαναγαγεῖν ἀδύνατον ἀποφαίνων Ἀπ. 27. Πέ-

ποιθε δὲ τῇ ἰατρικῇ ἐπιστήμῃ τὴν Χείρωνος καὶ Ἀσκληπιοῦ ἐμπειρίαν περὶ τὸ ἰᾶσθαι βαρείας νόσους ἐξαίρων, σαφῶς δὲ τὴν χειρουργικὴν καὶ παθολογικὴν διακρίνων, φυσικὰ δὲ καὶ τὰ νοσοποιὰ αἴτια ἀποφαίνων. Καὶ ἡ ἴασις δὲ τὸ μὲν γίνεται τομαῖς, ὅ ἐστι *χειρουργική*, καὶ τοῖς μέλεσιν ἠπίων περιαπτομένων πάντοθεν φαρμάκων, ὅ ἐστιν *ἐπιδεσμολογία*, τὸ δὲ τῇ πόσει φαρμάκων, ὅ ἐστι *παθολογική*, τὸ δὲ μαλακαῖς χειραψίαις καὶ ἐπῳδαῖς, ὅ ἐστιν *ἡ δι' ἐπῳδῶν ἢ μαγικὴ ἰατρική*, τὸ τῆς ψυχῆς ἦθος ἐπεγείρουσα, ἢ καὶ νῦν ἔτι ὡς ἐπὶ τὸ πολὺ παρὰ τῷ λαῷ κρατεῖ καὶ ᾗ μαλακαὶ χειραψίαι καὶ τρίψεις συμπαρομαρτοῦσι, τὴν τοῦ νευρικοῦ συστήματος ἐνέργειαν καὶ τὸ τῆς ψυχῆς ἦθος παρὰ τοῖς ἁπλουστέροις σφόδρα κινοῦσαι. Πίνδαρος πρὸς τούτοις διδάσκει, οἵαν ἐπίρροιαν ἡ χαρὰ καὶ εὐφροσύνη ἐπὶ τοῦ τῆς ψυχῆς ἤθους ἔχει, ὡς ἄριστον ἰατρὸν τῶν πόνων τὴν χαρὰν ἀποφαίνων Νεμεονίκαις Δ 1 καὶ ὅτι τὰ τῆς φύσεως ἔργα τὰ ἰσχυρότερά ἐστιν Ὀλυμπιονίκαις Θ 100. Ἀπ. 146. Ἐπιστημονικὴ ἄρα καὶ σαφὴς παρίσταται ἡ τῆς ἰατρικῆς καὶ θεραπευτικῆς εἰκὼν ὑπὸ Πινδάρου, καθ' ἣν φυσικὰ αἴτια τὰς νόσους παράγουσι, φυσικὰ δ' ἰάματα, φάρμακα καὶ ἐπίδεσμοι καὶ χειρουργίαι αὐτὰς θεραπεύουσι, καί περ οὐδὲ τὰς ἐπῳδὰς ἀπαξιοῦντος. Οὐδ' οἷός τ' ἂν εἴη ποιητὴς πλείονα καὶ σαφέστερα περὶ ἰατρικῆς εἰπεῖν ἢ ἃ Πίνδαρος ᾄδει ἐν Πυθιονίκαις Γ 1-7. 45-68, περὶ ὧν ἐκτενῶς εἴρηταί μοι σ. 71.

Καὶ Αἰσχύλος δὲ Πινδάρῳ σύγχρονος τὴν ἰατρικὴν καὶ θεραπευτικὴν φυσικὰς ἐπιστήμας καθαρῶς παρίστησι Προμηθέα πρῶτον διδάσκαλον τούτων τε καὶ πασῶν τῶν ἄλλων τεχνῶν ἀποφαίνων, ὡς εἴρηταί μοι ἐν σ. 40 καὶ 59. Τὰ δὲ φάρμακα, ἃ πάσας τὰς νόσους ἰῶνται καὶ δὴ καὶ τὰς ὀφθαλμικάς, τὰ μὲν *βρώσιμα*, τὰ δὲ *χριστά*, τὰ δὲ *πιστὰ* εἶναί φησι τὰ μάλα τῇ θεραπευτικῇ αὐτῶν δυνάμει πεποιθώς. Κακὸν δ' ἰατρὸν Αἰσχύλος οἴεται τὸν οὐκ ἔχοντα εὑρεῖν, ἐπειδὰν ἐς νόσον πέσῃ, ὁποίοις φαρμάκοις ἑαυτὸν ἰάσεται, Προμηθεῖ 472-483. 506. Οὐ μόνον δὲ φαρμάκοις παιωνίοις ἀλλὰ καὶ τέμνοντες καὶ καίοντες, ἤτοι χειρουργίαις, τὰς νόσους ἰῶντο, φησί, πεποιθότως ἄρα καὶ περὶ τῆς χειρουργικῆς ἀποφαίνεται, ἣ ἐν μεγάλῃ ἴσως ἦν χρήσει περί τε τἄλλα πάθη καὶ τὰ ὀφθαλμικὰ καὶ ὠτικά, Ἀγαμέμνονι 848·

ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων,
ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως
πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου.

Περὶ τῆς ἀξίας τῆς χειρουργικῆς μετὰ μεγάλης πεποιθήσεως ἀποφαίνεται καὶ Σοφοκλῆς (495) οὐ σοφοῦ ἰατροῦ ἴδιον οἰόμενος ἐπῳδὰς ἐπᾴδειν πρὸς ἴασιν πάθους χειρουργικοῦ, ὃ τομαῖς μόνον ἰάσιμον, Αἴαντι 581. Ὅστις δὲ φάρμακον χορηγεῖ δραστικώτερον ἢ κατὰ νόσον ἰατρός ἐστιν οὐκ ἔμπειρος οὐδ' ἐπιστήμων τῶν νόσων, φησὶ πάνυ γε εἰκότως Ἀπ. 519·

[Ὅστις] μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον,
ἰατρός ἐστιν οὐκ ἐπιστήμων κακῶν.

Καὶ τὸν μὲν ὕπνον τῆς νόσου ἰατρόν, τὸν δὲ θάνατον τελευταῖον τῶν ἀρρωστιῶν ἰατρὸν εἶναί φησιν Ἀπ. 300.118. Τὰς δὲ θηλάτους νόσους καρτερῶς ὑπομένειν παραινεῖ ὁ θεοσεβὴς Σοφοκλῆς Ἀπ. 553.

Εὐριπίδης δὲ (480) παραινεῖ τῷ ἰατρῷ τήνδε τὴν σοφὴν παραίνεσιν, ἣν καὶ νῦν ἔτι πάντα ἰατρὸν ἀπαρεγκλίτως τηρεῖν χρὴ Ἀπ. 299·

πρὸς τὴν νόσον τοι καὶ τὸν ἰατρὸν χρεὼν
ἰδόντ' ἀκεῖσθαι, μὴ 'πιτακτὰ φάρμακα
διδόντ', ἐὰν μὴ ταῦτα τῇ νόσῳ πρέπῃ.

Τοὺς δὲ καλοὺς ἰατροὺς, φησίν, τὰς τῶν κατοίκων διαίτας καὶ τὴν γῆν καὶ τὰς νόσους ἐπισκοπεῖν χρεὼν Ἀπ. 973·

ὅσοι δ' ἰατρεύειν καλῶς,
πρὸς τὰς διαίτας τῶν ἐνοικούντων πόλιν
τὴν γῆν τ' ἰδόντας, τὰς νόσους σκοπεῖν χρεών.

Τοιαύτη δ' ἰατρικὴ γνώμη καὶ ἐν τῷ Περὶ ἀέρων, ὑδάτων καὶ τόπων τῆς Ἱπποκρατείου συλλογῆς ἀναγινώσκεται· «*ἐπιβλέπειν οὖν δεῖ καὶ ὥρην καὶ χώρην καὶ ἡλικίην καὶ νούσους*». Παραινεῖ δὲ τῷ ἰατρῷ μὴ σπεύδειν τομαῖς χρῆσθαι Ἀπ. 897·

Μέλλων τ' ἰατρός, τῇ νόσῳ διδοὺς χρόνον
ἰάσατ' ἤδη μᾶλλον, ἢ τεμὼν χρόα.

ἐν βαρείαις δὲ νόσοις ὁτὲ μὲν τομαῖς, ὁτὲ δὲ ποτοῖς, ὁτὲ δὲ φαρμάκοις χρῆσθαι Ἀπ. 418· οὐδὲ τῷ πάσχοντι τὸν τῆς νόσου κίνδυνον

ἀποκαλύπτειν Ἀπ. 190. Ὑπ' Εὐριπίδου διδασκόμεθα προσέτι ὅτι αἱ μὲν γυναῖκες τὰς κρυφίας νόσους ἰῶντο, οἱ δ' ἰατροὶ τὰς φανερὰς καὶ μὴ αἰδῶ παρεχούσας τῷ πάσχοντι Ἱππολύτῳ 293. Ὡς δὲ τὰ τῶν ἄλλων τοῦ σώματος μορίων πάθη οὕτω καὶ τὰ τῶν ὀφθαλμῶν, ὡς ἔοικε, τομαῖς ἢ ποτοῖς ἢ φαρμάκοις ἰῶντο· Εὐριπίδης γὰρ τὸν φθόνον τὴν μεγίστην πασῶν τῶν ἐν ἀνθρώποις νόσων φάσκων καὶ τὴν ἕδραν τοῦ δεινοῦ τούτου πάθους ἀνερεύνων λέγει Ἀπ. 418·

> ἐν χερσίν, ἐν σπλάγχνοισιν, ἢ παρ' ὄμματα
> ἔσθ' ἡμῖν [ὁ φθόνος]; ὡς ἦν μόχθος ἰατροῖς μέγας
> τομαῖς ἀφαιρεῖν ἢ ποτοῖς ἢ φαρμάκοις.

Οὐ μὴν ἀλλὰ καὶ τῶν *ὑποβλεφάρων* ἤτοι τῶν τεχνητῶν ὀφθαλμῶν, ὡς ἔοικε, παλαίτατα χρῆσις ἴσως ἐγένετο. Παρά τισι μὲν γὰρ τεταριχευμένοις νεκροῖς ἐν Αἰγύπτῳ τεχνητοὺς ὀφθαλμοὺς εὑρῆσθαι λέγεται ἐξ ἐλεφαντίνου ὀστοῦ ἢ ἐξ ὑάλου ἢ καὶ ἐκ κεχρωσμένης μορρίας· καὶ ἐν ἀγάλμασι δὲ νεωστὶ ἐν Ἀκροπόλει Ἀθηνῶν εὑρεθεῖσιν, ἃ πρὸ τῶν Μηδικῶν πολέμων κατὰ Καββαδίαν, τεχνητοὶ ὀφθαλμοὶ ἔγκεινται. Εἰ δὲ τοιαύτην περὶ τοῦ κάλλους τῶν νεκρῶν οἱ ταριχευταὶ καὶ τῶν ἀγαλμάτων οἱ γλύπται μέριμναν ἔκπαλαι εἶχον, εἰκότως ἄν τις εἰκάσειεν ὡς καὶ περὶ τοῦ κάλλους τῶν ζώντων τοῖς ἰατροῖς πολλῷ μᾶλλον ἔμελεν. Ἀλλ' εἰ καὶ μὴ ἐπὶ ζώντων τὰ ὑποβλέφαρα ἐφηρμόζετο, βεβαίως ὅμως ἀπὸ τῶν παλαιτάτων τούτων χρόνων ἔχουσι τὴν ἀρχήν.

Ἴδιοι δ' ὀφθαλμικοί, ὡς ἔοικεν, ἔκπαλαι οἱ Αἰγύπτιοι γεγόνασιν, ὡς εἴρηταί μοι καὶ πρότερον σ. 41.46· μιᾶς γὰρ νόσου ἕκαστος ἰατρὸς ἦν κοὐ πλειόνων· ὀφθαλμῶν δ' ἰατροὶ ἴδιοι εἰ μὴ πρότερον παρ' Αἰγυπτίοις ὑπῆρχον, βεβαίως ὅμως κατὰ τοὺς χρόνους Κύρου (550), ὃς παρ' Ἀμάσιος τὸν ἄριστον ἰατρὸν ὀφθαλμῶν ἐξητήσατο καθ' Ἡρόδοτον Γ, 1, καθ' ἅπερ καὶ ἐπὶ Ἡροδότου αὐτοῦ (484) Β,84. Τοῖς δ' Ἕλλησιν ἴδιοι ὀφθαλμικοὶ οὐδ' ἐπ' Ἀριστοτέλους αὐτοῦ οὔπω ὑπῆρχον, ἀλλὰ καὶ τοὺς ὀφθαλμιῶντας εἴτ' ἐν ἰδίοις ἰατρείοις εἴτε κατὰ τὴν πόλιν οἱ ἰατροὶ ἰῶντο, ὅρα σ. 211. Φάρμακα δ' ὀφθαλμικὰ ὀλίγα ἴσμεν.

Φερῶνα μὲν (1350) τὸν Αἰγύπτου βασιλέα ἐκ δεκαετοῦς ἰαθῆναι τυφλότητος οὖρῳ ἀμώμου χρησάμενον γυναικός φησιν Ἡρόδοτος ὁ ἱστορικὸς Β, 3. Ὃ δὲ περιεργίας ἄξιόν ἐστιν, καὶ νῦν ἔτι τὸ οὖρον

παρθένου ἰδίᾳ ἢ παιδὸς ἐν χρήσει ἐστὶ παρὰ τῷ λαῷ ὡς πανάκεια κατὰ τῶν ὀφθαλμιῶν, ὡς ἔφθημεν εἰπόντες σ. 48.

Πυθαγόρας δὲ τὸ πήγανον βλαπτικὸν τῆς ὄψεως εἶναι λέγει, ὡς Πλίνιός φησιν 20,51. Τοὐναντίον δ' ἄλλοι τε καὶ Πλίνιος αὐτὸς τὸ πήγανον ὀξυδορκικὸν νομίζει, ὠφέλιμον δὲ πρός τε γλυπτῶν καὶ ζωγράφων ἀμβλυωπίας καὶ πρὸς λευκώματα καὶ πρὸς ἐπιφοράς· ἐξ ἐμφύτου δ' ὁρμῆς καὶ τὰς αἰγάγρους πηγάνου ἐσθίειν λέγεται πρὸς ὀξυωπίαν· καὶ νῦν δ' ἔτι ἐν χρήσει παρὰ τῷ λαῷ πρὸς ἴασιν ὀφθαλμικῶν παθῶν ἐστιν, ἰδίᾳ δ' ὡς μάσημα πρὸ τοῦ λείχειν τὸν κερατοειδῆ τῇ γλώττῃ, ὡς εἴρηταί μοι σ. 63.

Δημόκριτος δὲ λέγεται καὶ τὴν ἰατρικὴν ἐπαγγέλλεσθαι καὶ τῇ τῆς ὑαίνης χολῇ ὡς ὀφθαλμικῷ πρῶτος κεχρῆσθαι. Ὁ μόνος δ' αὐτοῦ μαθητὴς Διαγόρας ὁ Μήλιος ἤσκει ἐπίσης τὴν ἰατρικὴν καὶ κατὰ τὴν Ἐρασιστράτου μαρτυρίαν τὴν παρὰ Διοσκορίδῃ Δ, ξε τὸ ὄπιον ἀμβλύνειν καὶ ἀμαυροῦν τὴν ὄψιν ᾤετο, δι' ὃ καὶ τὴν ἐπὶ ὀφθαλμιῶν χρῆσιν αὐτοῦ ἀπεδοκίμαζε, καθ' ἅπερ καὶ ἐπὶ τῶν ὠταλγιῶν διὰ τὸ καρωτικὸν εἶναι. Καὶ ὀφθαλμικὸν δὲ συνέθετο κολλύριον τὸ *διάρροδον τὸ μέγα*, ὃ Ἀέτιος ἀναγράφει Ζ, ρι, πρὸς χημώσεις τε καὶ περιωδυνίας καὶ ῥεύματα παλαιὰ καὶ κεχρονισμένας ὀφθαλμίας καὶ δυσαπαλλάκτους διαθέσεις, πρός τε ὑπωπίους ὀφθαλμοὺς καὶ προπτώσεις καὶ σταφυλώματα.

Ἀριστοφάνης δὲ (περὶ τὸ 450) αὐστηρότατα τοὺς ἰατροτέχνας διακωμῳδῶν Ἐκκλησιαζούσαις 363 καὶ Νεφέλαις 331 οὐδ' αὐτοῦ τοῦ Ἀπόλλωνος φεισάμενος Πλούτῳ 11 οὐδ' αὐτοῦ τοῦ Ἀσκληπιοῦ 410 οὐδὲ τῶν ἱερέων τοῦ ἐν Ἐπιδαύρῳ Ἀσκληπιείου 653, ἐν τῇ διακωμῳδήσει ταύτῃ ἀκριβέστατα ἄλλα τε ὀφθαλμικὰ περιγράφει καὶ δύο τρόπους ἰάσεως ὀφθαλμικῶν παθῶν καὶ νῦν ἔτι ἐν χρήσει παρὰ τῷ λαῷ, ὡς ἔφθημεν εἰπόντες σ. 62 καὶ 92, τὴν τῷ λείχειν ὡς τάχιστα ἴασιν τοῦ Πλούτου καὶ τὴν δριμεῖ καταπλάσματι θεραπείαν τοῦ Νεοκλείδου Πλούτῳ 716-747. Πρὸς ἴασιν δὲ τῆς ὀφθαλμίας τοῦ γλάμωνος Νεοκλείδου, ὥςπερ Ἀριστοφάνης διακωμῳδῶν φησιν, ὁ Βλέπυρος ἐπιτάττει ἀλοιφὴν διάφορόν πως τῆς ὑπ' Ἀσκληπιοῦ δι' αὐτὸν παρασκευασθείσης, ἤτοι σκόροδα σὺν ὀπῷ τοῦ σιλφίου τρίψαντα καὶ τιθύμαλλον, ὃ ἔστιν Εὐφόρβιον, ἐκ τοῦ Λακωνικοῦ ἐμβαλόντα τῆς ἑσπέρας παραλείφειν τὰ αὐτοῦ βλέφαρα· οὔτ' ὄξος Σφήττιον

ἄρ' ἐνεῖχεν οὔτε σχῖνον, ἤτοι σκίλλαν, ἀλλ' ἀντὶ τούτων τιθύμαλλον, οὔτ' ἐκστρεφομένων τῶν βλεφάρων κατεπλάττετο ἡ Βλεπύρου ἀλοιφή, ὥςπερ Ἀσκληπιὸς ἐποίησεν, ἀλλὰ μόνον τὰ βλέφαρα παραλείφειν Βλέπυρος ἐπιτάττει Ἐκκλησιαζούσαις 404. Ὀφθαλμιῶν δέ τις τοὺς ὀφθαλμοὺς παρ' ἰατρῷ ὑπαλειφόμενος ἐγένετο μᾶλλον τυφλὸς Ἀπ. 181, ὥς φησι Πολυδεύκης 4,180·

Ὀφθαλμιάσας πέρυσιν εἶτ' ἔσχον κακῶς,
ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ.

Τῶν ὀφθαλμικῶν ἐπιχρίσεων καὶ ἀλλαχοῦ μνημονεύει· χωρικὸς τὸν ἰατρὸν Δικαιόπολιν παρακαλεῖ, ἵν' ὑπαλείψῃ αὐτῷ τοὺς ὀφθαλμοὺς παθόντας, ὅτι ἐδάκρυεν ἀπολέσας τὼ βόε· Δικαιόπολις δὲ πέμπει αὐτὸν τῷ δημοσιεύοντι ἰατρῷ Πιττάλῳ Ἀχαρνεῦσι 1027·

Ἀπόλωλα τὼφθαλμὼ δακρύων τὼ βόε.
Ἀλλ' εἴ τι κήδει Δερκέτου Φυλασίου,
ὑπάλειψον εἰρήνῃ με τὼφθαλμὼ ταχύ.

Καὶ Λάμαχος δὲ τὴν κεφαλὴν λίθῳ πεπληγμένος, ἐκ δὲ τούτου ἰλιγγιῶν καὶ σκοτοδινιῶν Δικαιόπολιν ἱκετεύει, ἵνα ταῖς Παιωνίαις χερσὶ Πιττάλου αὐτὸν παραδώσῃ πρὸς ἴασιν 1222·

θύραζε μ' ἐξενέγκατ' ἐς τοῦ Πιττάλου
παιωνίαισι χερσίν.

Ἀριστοτέλης δὲ τὴν καλλίστην χρυσοκόλλαν ἧς Δημόνησος ἡ Καλχηδονίων νῆσος ἔχει φάρμακον ὀφθαλμῶν καὶ διὰ τοῦτο πολύτιμον εἶναί φησι Περὶ θαυμασίων ἀκουσμάτων νή. «Οἱ δὲ τὸν χαλ-» κὸν ὀρύττοντες ὀξυδερκέστατοι γίνονται», φησί, «καὶ οἱ βλεφαρίδας » μὴ ἔχοντες φύουσιν· παρὸ καὶ οἱ ἰατροὶ τῷ ἄνθει τοῦ χαλκοῦ καὶ » τῇ τέφρᾳ τῇ Φρυγίᾳ χρῶνται πρὸς τοὺς ὀφθαλμούς» νή. Παρὰ δὲ Λυκόρμᾳ ποταμῷ γεννᾶσθαι βοτάνην λόγχῃ παρόμοιον πρὸς ἴασιν ἀμβλυωπίας ἄριστα συντελοῦσαν ἐλέγετο Θαυμ. Ἀκουσμ. ροά. Ἔοικε δὲ καὶ τὰ ὀφθαλμικὰ ταῦτα παλαίτατα γεγονέναι.

β'. Περὶ ὠτολογίας ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

Ὥςπερ τὰ περὶ ὀφθαλμολογίας τῶν χρόνων τούτων, ὡς εἴρηταί μοι σ. 144.203, οὕτω καὶ τὰ τῆς ὠτολογίας ἐκ τῶν ποιητῶν μόνον, ἱστορικῶν καὶ φιλοσόφων, τῶν πρὸ Ἱπποκράτους καὶ ὁμοχρόνων

αὐτῷ, ἔστι πως γνῶναι· πάντα γὰρ τῶν ἰατρῶν τὰ συγγράμματα, ὧν ἐπὶ Σωκράτους γε πολλὰ ὑπῆρχεν σ. 213, ἀπώλετο. Ἀλλὰ μὴν καὶ περ ἀπολεσθέντων τούτων οὐ συναπώλετο, δοκεῖ μοι, καὶ τὰ κύριά γε τῶν παλαιῶν ἰατρῶν ὠτικὰ εὑρήματα, καθ' ἅπερ καὶ τὰ ὀφθαλμικὰ καὶ τὰ τῆς καθόλου ἰατρικῆς. Καὶ ταῦτα γὰρ δοκεῖ μοι ἐν τοῖς Ἱπποκράτους βιβλίοις εἰρημένα εἶναι, εἰ καὶ Ἱπποκράτει τί τίνι ἰατρῷ εὕρηται διὰ τὴν συνήθη αὐτῷ συντομίαν οὐ γέγραπται· διὰ δὲ τοῦτο εἰπεῖν ἀδύνατον τίνα τὰ Ἱπποκράτους καὶ τίνα τῶν πρὸ αὐτοῦ τὰ ὠτικὰ εὑρήματα. Ὠτικοὶ δὲ ἴδιοι καὶ Ἱπποκράτους πολλῷ ὕστερον τοῖς Ἕλλησιν οὔπω ἦσαν, οἱ Αἰγύπτιοι δὲ δοκοῦσι παλαίτατα καὶ ἰδίους ὠτικοὺς ἔχειν, καθ' ἅπερ καὶ ὀφθαλμικούς· ἑκάστης γὰρ νόσου ἰατρὸς ἴδιος ὑπῆρχε καθ' Ἡρόδοτον Β, 84. Οἱ ἰατροὶ ἄρα τὸ μὲν ἐν ἰατρείοις τὸ δὲ ἀνὰ τὴν πόλιν εἴτε ὡς δημοσιεύοντες εἴτε ὡς περιοδευταὶ καὶ τὰ ὠτικὰ πάθη ἰῶντο· ἐν τοῖς ἰατρείοις δὲ καὶ τὴν ὠτολογίαν τὰ τέκνα αὐτῶν καὶ τοὺς ὑπηρέτας ἐδίδασκον, ὥςπερ καὶ τὴν ὀφθαλμολογίαν καὶ τὴν καθόλου ἰατρικήν, περὶ οὗ ἐκτενῶς εἴρηταί μοι σ. 211. Οὔτε δ' ἡ τῶν ὤτων ἀνατομὴ οὔτε ἡ φυσιολογία καὶ ἀκουστικὴ φαίνεται ἐπίδοσίν τινα λαβοῦσα κατὰ τοὺς πρὸ τῶν φιλοσόφων χρόνους· τῶν δὲ φιλοσόφων τινὲς περί τε τὴν ἀνατομὴν καὶ φυσιολογίαν τῶν ὤτων καὶ περὶ τὴν ἀκουστικὴν οὐ παρέργως διέτριβον. Περὶ δὲ τῆς τῶν ὤτων θεραπευτικῆς τῶν χρόνων τούτων, ὥςπερ καὶ τῶν ὀφθαλμῶν, ἐλάχιστα ἴσμεν· τὰ γὰρ τῶν ὤτων ἰατρικὰ ἐν ἰατρικοῖς, ὡς εἰκός, λόγοις εἰρημένα ἂν ἦν, οἳ ὑπ' ἰατρῶν ὡς ἐπὶ τὸ πολὺ ἀνεγινώσκοντο· ταῦτ' ἄρα ἐν τοῖς Ἱπποκράτους εἰκὸς ἦν συμπεριληφθῆναι· ἀλλὰ μὴν οὐ πάνυ γε σπουδαία δοκεῖ ἡ τῶν ὤτων παθολογία τε καὶ θεραπευτικὴ γεγονέναι.

α'. Περὶ ἀνατομῆς ὤτων ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

Σμικρὰν πάνυ ἐπίδοσιν ἔσχε καὶ ἡ τῶν ὤτων ἀνατομὴ κατὰ τοὺς χρόνους τούτους. Καὶ παρ' Ἡσιόδῳ μὲν ἀναγινώσκεται μόνη ἡ ὀνομασία *οὔατα* καὶ *οὔασιν*, σημαίνει δὲ τὸ μὲν τὸ τῆς ἀκοῆς αἰσθητήριον Θεογονίᾳ 701, τὸ δὲ τὴν ὠτικὴν κόγχην 771· καὶ Θεόγνις δὲ *οὔατα* τὸ τῆς ἀκοῆς αἰσθητήριον λέγει 1163 καὶ Σιμωνίδης Ἀπ. 37, καθ' ἅπερ καὶ Μέτωπος καὶ ἄλλοι τινές· τὸ δὲ δωρικὸν ὦς ἀναγινώσκεται παρὰ Θεοκρίτῳ ΙΑ, 32. *Οὖς* δὲ κοινότερον καὶ συνηθέστερόν

ἐστιν ἀπὸ Ὁμήρου μέχρι καὶ τῶν καθ' ἡμᾶς χρόνων. Ἄκουαι δὲ πρῶτον Σαπφοῖ εἴρηται τὸ τοῦ ἀκούειν αἰσθητήριον, παρ' Ὁμήρῳ δ' *ἀκουὴ* τὴν τοῦ ἀκούειν ἐνέργειαν σημαίνει· παρὰ δὲ Πινδάρῳ *ἀκοὰ* μόνον τὸ ἀκουόμενον, τὴν φήμην, Πυθιονίκαις Α 90, 84. Θ 77· παρ' ἅπασι δὲ σχεδὸν τοῖς μετέπειτα ποιηταῖς τε καὶ πεζοῖς ὁτὲ μὲν τὸ αἰσθητήριον δύναται, ὁτὲ δὲ τὴν τοῦ ἀκούειν αἴσθησιν· ὅρα δὲ καὶ σ. 37 καὶ 139. *Ἀκούουσαι δὲ πηγὴν* ἔοικε Σοφοκλῆς τὸ ἔσω οὗς λέγειν Οἰδ. Τ. 1386. Τὴν δ' ὠτικὴν κόγχην ἢ τὸ ἔξω οὗς *σάρκινον ὄζον* Ἐμπεδοκλῆς προσαγορεύει, κώδωνι δὲ παρομοιάζει κατὰ Θεόφραστον Αἰσθ. 9. Ἀλκμέων δ', ὃς ἔμπειρος περὶ τὰ ἀνατομικὰ ἐγένετο, ὡς εἴρηταί μοι σ. 154 καὶ 173, πρὸς τοῖς ἄλλοις τοῦ τ' ἀκουστικοῦ νεύρου ἢ πόρου, δι' οὗ ἡ ἀκοή, εὑρετὴς γεγονέναι δοκεῖ (ἁπάσας γὰρ τὰς αἰσθήσεις πόροις συνηρτῆσθαι πρὸς τὸν ἐγκέφαλον εἴρηκε) καὶ τὸ κενὸν ἢ κοῖλον τοῦ ὠτὸς ἤτοι τὸ μέσον καὶ ἔσω οὗς ἀνερευνῆσαι, ἐξ ὧν Θεοφράστῳ εἴρηται Αἰσθ. 25. Πρῶτος δὲ δοκεῖ καὶ τὴν Εὐσταχιανὴν σάλπιγγα εὑρηκέναι ἀνατομὰς αἰγῶν ποιησάμενος· πῶς γὰρ ἂν ἄλλως ἀναπνεῖν τὰς αἶγας κατὰ τὰ ὦτα ἔλεγεν, εἰ μὴ ἐξ ἀνατομῆς ἤδει πόρον ἐκ τοῦ ὠτὸς εἰς τὸ τοῦ φάρυγγος κοῖλον ἄγειν; Καὶ ἐκ τῶν ἄλλων δ' αὐτοῦ ἀνατομικῶν εὑρημάτων καὶ ἐρευνῶν οὐκ ἀπίθανον δοκεῖ καὶ τῆς Εὐσταχιανῆς σάλπιγγος εὑρετὴν γεγονέναι. Καὶ τὴν φυσιολογικὴν δ' αὐτῆς λειτουργίαν ὀρθῶς, ἔμοιγε δοκεῖ, ἐξηγήσασθαι· ἀὴρ γὰρ ὄντως κατὰ τὴν ἀναπνοὴν εἰς τὸ μέσον οὗς εἰσέρχεται διὰ τῆς Εὐσταχιανῆς σάλπιγγος· ὥστ' Ἀριστοτέλης μὲν *ἄπρουν τὸ οὖς* οὐκ ὀρθῶς λέγει, ἤτοι ἄνευ εἰσροῆς ἀέρος, ἄνευ πνοῆς, Ἀλκμέων δ' ὀρθῶς εἴρηκεν ἀναπνεῖν τὰς αἶγας κατὰ τὰ ὦτα, ἤτοι πνοὴν ἀέρα κατὰ τὰ ὦτα εἰσκομίζεσθαι. Ἀριστοτέλης γάρ φησιν ἐν τῷ Περὶ ζῴων ἱστοριῶν Α, ια. 3,9,35· «Ἔτι δὲ κε» φαλῆς μόριον, δι' οὗ ἀκούει, *ἄπρουν*, τὸ οὖς· Ἀλκμέων γὰρ οὐκ » ἀληθῆ λέγει φάμενος ἀναπνεῖν τὰς αἶγας κατὰ τὰ ὦτα». Καὶ Δημόκριτος δὲ περὶ τὴν τῶν ὤτων ἀνατομὴν ἔμπειρος δοκεῖ γεγονέναι, ὅρα σ. 155· οἶδε γὰρ τό τε *κενὸν* ἢ κοῖλον τοῦ ὠτὸς καὶ τὸν *ἔξω χιτῶνα* αὐτοῦ ἤτοι τὸ τύμπανον καὶ τὰ *φλέβια* τῶν ὤτων ἤτοι τοὺς ἀκουστικοὺς πόρους καὶ τὰ ὀστᾶ, ἐν οἷς τὸ αἰσθητήριον τῆς ἀκοῆς ἑδρεύει, καθ' ἃ Θεόφραστος λέγει Αἰσθ. 55-57. Καὶ Ἀναξαγόρας δὲ οἶδεν ὡς τὸ περιέχον τὴν ἀκοὴν ὀστοῦν κοῖλόν ἐστι καὶ καθόλου

περὶ τὰ ἀνατομικὰ ἔμπειρος γέγονεν, ὅρα σ. 7 καὶ 156. Διογένης δὲ τά τε παρὰ τῇ ἀκοῇ αἱμόρρυτα ἀγγεῖα γινώσκει, ἃ *φλέβας* ὀνομάζει, καὶ τοῦ ἀκουστικοῦ πόρου τάς τε ποικίλας διαστάσεις καὶ ἐγκλίσεις καὶ τὴν εὐθυωρίαν αὐτοῦ, πρὸς δὲ τοῦ ἔξω ὠτὸς ἤτοι τῆς ὠτικῆς κόγχης τὰ ποικίλα μεγέθη καὶ τὸ ὀρθὸν ἢ μὴ καὶ ὡς τὸ μέσον οὗς οὐ κενὸν ἀλλ' ἀέρος πλῆρές ἐστι, καθ' ἅπερ Θεόφραστός φησιν Αἰσθ. 40-41.

6'. Περὶ ἀκουστικῆς καὶ φυσιολογίας ὤτων ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.

Ὅτι τὸ οὖς ἐστι τὸ τῆς ἀκοῆς ὄργανον καὶ τούτῳ ἀκούομεν *ἠχὴν* ἢ *ψόφον*, *ὄσσαν*, *δοῦπον*, *αὐδήν*, *ἠχώ*, *ἰαχὴν* καὶ *ἄραβον* ὀδόντων καὶ *καναχὴν* καὶ πάντα τὰ ἀκουστά, οὐ μόνον Ὁμήρῳ εἴρηται, ὅρα σ. 140-2, ἀλλὰ καὶ Ἡσιόδῳ Θεογονίᾳ 701 καὶ ἅπασί που τοῖς μετέπειτα. Σωκράτης δὲ διδάσκει ὅτι γνώμης καὶ προνοίας ἔργα ἔοικε τό τε τὰ ὦτα πεποιῆσθαι «*ὥστ' ἀκούειν τὰ ἀκουστὰ*» καὶ «*τὸ τὴν ἀκοὴν δέχεσθαι μὲν πάσας φωνάς, ἐμπίπλασθαι δὲ μήποτε*», καθ' ἅπερ φησὶ Ξενοφῶν ἐν Ἀπομνημονεύμασι Α, δ, 6. Ἡρόδοτος δὲ τὸν μὲν Ξέρξην ἱστορεῖ ἐν τοῖς ὡσὶ τὸν θυμὸν οἰκεῖν οἰόμενον καὶ δὴ τὰ ὦτα ἔδραν εἶναι τῆς ψυχῆς Ζ, 39, 2· «Εὖ νῦν τόδ' ἐξεπίσταο, ὡς » ἐν τοῖσι ὡσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμός, ὃς χρηστὰ μὲν ἀκούσας » τέρψιος ἐμπιπλέει τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκούσας ἀνοι- » δέει». Κανδαύλην δὲ τὸν Σάρδεων τύραννον λέγειν Α, 8, 2 «ὦτα » γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν». Δημόκριτος δὲ περὶ ὤτων φυσιολογεῖ ὧδε λέγων ἐν ἐπιστολῇ αὐτοῦ περὶ φύσεως ἀνθρώπου Ἱπποκράτει 9,394· «Ἐνδοχεῖα δὲ μύθων ὦτα δη- » μιουργὸς ἀνέφγεν, οἷς ἐπεὶν ὁ μῦθος οὐκ ἀσφαλὴς διήκονος ἀλο- » γιστίης γίνεται», ἐν οἷς σαφῶς ἐμφαίνεται ὅτι πρὸς τὸ ἀκούειν τὰ ὦτα ἐπλάσθη, ἔξωθεν δὲ τῶν ψόφων ἢ μύθων προσπιπτόντων ἀκούομεν. Ἀλκμέων δὲ καὶ τὴν τῆς Εὐσταχιανῆς σάλπιγγος φυσιολογικὴν λειτουργίαν δοκεῖ πρῶτος εἰπεῖν, ὡς ἔφθημεν εἰπόντες.

Καὶ περὶ τῶν *κινήσεων* δὲ τῶν ὤτων τῶν ζώων, ὥςπερ Ὅμηρος, οὕτω καὶ τῶν μετέπειτα τὸ παρατηρητικὸν πολλὰ ἡμᾶς διδάσκει· Ἰχνεύουσαι αἱ κυνηγετικαὶ κύνες, φησὶ Ξενοφῶν, αἱ μὲν τὰ ὦτα ἀκίνητα ἔχουσιν, αἱ δὲ διακινοῦσιν αὐτά, ἄλλαι δὲ συνάγουσι τὰ ὦτα καὶ ἐπισκυθρωπάζουσι Κυνηγετικῷ γ, 4-5, αἱ δὲ μακρὰ ὦτα

ἔχουσαι ἐπικαταβάλλουσιν αὐτὰ δ, 3, αἱ δὲ ἐπικλίνουσι τὰ ὦτα καὶ ἀστράπτουσι τοῖς ὄμμασιν ς, 15· ὁ δὲ λαγὼς κατακλίνεται τὰ ὦτα ἐπιπετάσας ἐπὶ τὰς ὠμοπλάτας ε, 10. Τὴν δὲ τοῦ λαγῶ ὀξυηκοίαν Αἰγύπτιοι θαυμάσαντες ἐν τοῖς ἱερογλυφικοῖς γράμμασι δι' ὠτὸς λαγῶ τὴν ἀκοὴν σημαίνουσιν, ὥς φησι Πλούταρχος ἐν Συμποσιακοῖς προβλήμασι Δ, ε, 3. 671a.

Σιμωνίδης δ' ὁ Ἀμοργῖνος ποιητὴς (664) εὖ οἶδεν ὅτι ἡ τῶν ἀνέμων ταραχώδης πνοὴ κατακωλύει τοὺς ψόφους ταῖς ἀκοαῖς συναρμοσθῆναι, ἤτοι εἰς κανονικὰς δονήσεις, ὡς ἔπος εἰπεῖν, τὰ τύμπανα ἐμβαλεῖν πρὸς εὐκρινῆ ἀκοὴν Ἀπ. 41, ὡς Πλούταρχός φησιν ἐν Συμποσιακοῖς προβλήμασιν Η, γ, 4· «Νηνεμία γὰρ ἠχῶδες καὶ γαλήνη καὶ τοὐναντίον, ὡς Σιμωνίδης φησίν·

οὐδὲ γὰρ εἰνοσίφυλλος ἄητα τότ' ὦρτ' ἀνέμων,
ἅτις κατεκώλυε κιδναμέναν μελιηδέα γάρυν
ἀραροῖν ἀκοαῖσι βροτῶν».

Εὖ δ' οἶδε Σιμωνίδης ὅτι τὰς τῶν ἀκουστῶν δονήσεις, τοὺς ψόφους, ἤχους, τόνους καὶ φωνὰς ἔξωθεν δεχόμεθα, ὡς ἔκ τε τοῦ ἄνω χωρίου φανερὸν καὶ ἐκ τοῦ ἀποσπάσματος τοῦδε 85·

παῦροι μὴν θνητῶν οὖασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο.

Ἡ δὲ Φωκυλίδου *γνώμη*, εἴτ' ἀληθὴς αὐτοῦ γνώμη ἐστὶν εἴτ' ἄλλου τινὸς 89,

οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκοή,

διδάσκει ἡμᾶς ὅτι τῇ ἀρχαιότητι ἀνήκει καὶ ἡ παρατήρησις, ὅτι ἡ ἀκοὴ ὡς καὶ πᾶν αἰσθητήριον τῇ ἀσκήσει καὶ διδασκαλίᾳ ἐπὶ τὸ τελειότερον προάγεται, ἵνα καὶ τῶν λεπτοτήτων τῶν αἰσθητῶν καὶ ἀκουστῶν εὐκρινέστερον ἀντιλαμβάνηται. Ὁ δ' ὀξυήκοος λέγεται ὑπὸ Σοφοκλέους «*δεινὸς κλύειν*», καθ' ἅπερ καὶ ὁ ὀξυωπὸς *δεινὸς ὁρᾶν* ἐν Οἰδίποδι ἐπὶ Κολωνῷ 141· *ὀξεῖαν ἀκοὴν* δὲ λέγει ἐν Ἠλέκτρᾳ 30 καὶ ὅτι ὁ ἵππος *ὀρθὸν οὖς ἵστησι* πρὸς ὀξυηκοίαν 27.

Ἡ δὲ τῶν ἠχητικῶν κυμάνσεων θραῦσις καὶ πολλαπλῆ ἀντανάκλασις φανερῶς παρίσταται διὰ τοῦ «*περὶ δέ σφισιν ἄγνυτο ἠχώ*» ὑπὸ Ἡσιόδου ἐν Ἀσπίδι 348. Τὴν τῶν ἠχητικῶν κυμάτων ἰδέαν παρίστησι καὶ Σοφοκλῆς λέγων *τὸν φθόγγον δι' ὤτων βάλλειν τὸν ἀκούοντα* Ἀντιγόνῃ 1188· σαφέστερον δ' ἡ τῶν ἠχητικῶν κυμάτων

τοῖς ὠσὶ πρόσπτωσις ἐμφαίνεται διὰ τοῦ «*ὀξὺν δι' ὤτων κέλαδον ἐρσείσας θοαῖς πώλοις*», τοῦ Ὀρέστου τῇ μάστιγι, ὡς ἔοικε, τὸν ἀέρα πλήξαντος, Ἠλέκτρᾳ 737. Καὶ αἱ Εὐριπίδου δ' ἐκφράσεις, «*φήμην ἀκοαῖσι δέδεγμαι*», «*εἰς ἀκοὰς δυστυχία ἥκει*», «*ὠσὶν ἠχὴν οὐ σαφῶς δεδεγμέναι*», «*εἰς οὓς ἀεὶ πέμπουσα μύθους*» καὶ ἄλλαι, σαφῶς δεικνῦσι τὴν ἔκπαλαι κρατοῦσαν ἀκουστικὴν θεωρίαν, ὅτι τὰ ἀκουστά, *ἤχοι, ψόφοι, φωναί*, εἰς τὰ ὦτα προσπίπτοντα τὴν αἴσθησιν ποιοῦσι. Τὰς δ' αὐτομάτους τῶν ὤτων ἐμβοὰς ἢ συριγμοὺς ἢ βόμβους Εὐριπίδης *κενὸν ψόφον* δοκεῖ λέγειν, Ὀδυσσέως τὸν Διομήδην ἐρωτῶντος Ῥήσῳ 565

> Διόμηδες, οὐκ ἤκουσας — ἢ κενὸς ψόφος
> στάζει δι' ὤτων; — τευχέων τινὰ κτύπον;

τοὺς μὲν γὰρ ἔξωθεν ἤχους πανταχοῦ παρίστησι τὰ ὦτα βάλλοντας, τὸν δὲ *κενὸν ψόφον* οὐκ ἔξω ἀλλ' ἐν τοῖς ὠσὶ συνιστάμενον *δι' ὤτων στάζειν* λέγει.

Τὴν δὲ παλαιοτάτην ταύτην ἀκουστικὴν θεωρίαν, ὅτι ἔξωθεν οἱ ψόφοι, ἦχοι, φωναί, τῇ τοῦ ἀέρος κινήσει εἰς τὰ ὦτα ἐμπίπτοντες τὴν ἀκοὴν ποιοῦσιν, ἀκριβέστερον οἱ φιλόσοφοι ἀνέπτυξαν. Καὶ περὶ μὲν τῶν ἀκουστῶν, φωνῶν, ἤχων, ψόφων πάντες γε λέγουσιν ὅτι κίνησις τοῦ ἀέρος· τὴν δ' ἀκοὴν παραπλησίως πως ἀλλήλοις ποιοῦσιν· εἰς γὰρ τὸ τῶν ὤτων κοῖλον ἢ κενὸν ἐμπίπτοντα τὸν ἀέρα κίνησιν ἐμποιεῖν φασι καὶ οὕτως ἀκούειν ἡμᾶς. Κατὰ δὲ τὰς φιλοσοφικὰς αὐτῶν δόξας καὶ τὴν ἀκοήν, ὥσπερ καὶ τὰς ἄλλας αἰσθήσεις, οἱ μὲν τῷ ὁμοίῳ ποιοῦσιν, οἷον Παρμενίδης καὶ Ἐμπεδοκλῆς καὶ Διογένης καὶ Δημόκριτος, οἱ δὲ τῷ ἐναντίῳ, οἷον Ἀναξαγόρας καὶ Ἡράκλειτος καὶ Ἀλκμέων· ἐν δὲ ταῖς λεπτομερείαις τοῦ πῶς ἡ ἀκοὴ γίγνεται διαφόρως πως διδάσκουσι. Φέρε οὖν ἴδωμεν πῶς τὴν ἀκοὴν ἕκαστος τῶν φιλοσόφων ποιεῖ.

Οἱ μὲν πρῶτοι φιλοσοφήσαντες τῆς ἀρχαίας Ἰωνικῆς σχολῆς, Θαλῆς τε καὶ Ἀναξίμανδρος καὶ Ἀναξιμένης, οὐδεμίαν ἀκουστικὴν θεωρίαν, ὡς ἔοικεν, ὑποτυποῦσιν, ὡς εἴρηταί μοι σ. 165. Ὡς δὲ Γαληνός φησι 19,312, Ἀναξίμανδρος τὴν φωνὴν γίγνεσθαι ᾤετο, ἂν πνεῦμα ἐμπέσῃ μὲν στερεμνίῳ ἀέρι, ἐκ δὲ τῆς πλήξεως ὑποστρέφον μέχρι τῶν ἀκουῶν προσενεχθῇ, καθ' ὃ καὶ τὴν ἠχὼ γίγνεσθαι. Οὐ

πολὺ δὲ τοῦ ἀληθοῦς ἀφίσταται ἡ δόξα αὕτη, ἣν ὅμως Πλούταρχος Ἀναξαγόρου λέγει Ἀρεσκ. Δ, ιθ, 6.

Διογένης δ' ὁ τῆς Ἰωνικῆς σχολῆς ὀπαδὸς τὴν ἀκοὴν γίγνεσθαί φησιν, ὅταν ὁ ἐν τοῖς ὠσὶν ἀὴρ ὑπὸ τοῦ ἔξω κινηθεὶς πρὸς τὸν ἐγκέφαλον διαδοθῇ. Τῷ ὁμοίῳ ἄρα ἔοικε καὶ τὴν ἀκοὴν ποιεῖν· ὁ γὰρ ἔσω περὶ τὸν ἐγκέφαλον ἀὴρ τῶν κινήσεων τοῦ ἔξω ἐμμέσως διὰ τοῦ ἐν τοῖς ὠσὶν ἀέρος ἀντιλαμβάνεται. Ὀξύτατα δ' ἀκούειν ὅσα τὰς φλέβας τὰς παρὰ τῇ ἀκοῇ (ἤτοι τὰς σφαγίτιδας, ἃς παρὰ τὸ οὖς τελευτᾶν φησιν, Ἀριστ. Ζ. Ἱστ. Γ,6,6) λεπτὰς ἔχει καὶ τὰ βραχεῖς λεπτοὺς καὶ ἰθεῖς τοὺς ἀκουστικοὺς πόρους ἔχοντα καὶ πρὸς τούτοις μέγα καὶ ὀρθὸν τὸ ἔξω οὖς· τὴν γὰρ τοιαύτην τοῦ αἰσθητηρίου κατασκευὴν εὔθετον ἡγεῖτο πρὸς εὔκολον τοῦ ἐν τοῖς ὠσὶν ἀέρος κίνησιν ὑπὸ τοῦ ἐκτός· κινούμενον γὰρ τὸν ἐν τοῖς ὠσὶν ἀέρα κινεῖν τὸν ἐντὸς τοῦ ἐγκεφάλου καὶ οὕτω ὀξυτάτην τὴν ἀκοὴν γίγνεσθαι. Ἀμβλύτερον δὲ ἀκούειν τὰ εὐρύτερον πόρον ἔχοντα· τοῦ γὰρ ἐν τοῖς εὐρέσι τῶν ὤτων πόροις ἀέρος μὴ ἠρεμοῦντος, ὡς τοῦ ἐν τοῖς λεπτοῖς, ψόφον ἄναρθρον γίγνεσθαί φησιν, ὅταν ὁ ἐν τοῖς ὠσὶ μὴ ἠρεμῶν ἀὴρ ὑπὸ τοῦ ἔξωθεν προσπίπτοντος κινηθῇ, ἀνωμάλως δὲ καὶ οὗτος κινήσῃ τὸν ἐν τῷ κρανίῳ. Καὶ τοιαύτη μὲν ἡ ἀκουστικὴ Διογένους κατὰ Θεόφραστον Αἰσθ. 40.41. Κατὰ δὲ Πλούταρχον τὴν ἀκοὴν γίγνεσθαί φησι «Διογένης, τοῦ ἐν τῇ κεφαλῇ ἀέρος ὑπὸ τῆς φωνῆς τυπτομένου καὶ κινουμένου» Ἀρεσκ. Δ, ις, 3, ὃ καὶ Γαληνὸς αὐτολεξεὶ λέγει 19,309· οὐκ ὀρθῶς δ' ὑπό τινων Διογένει τῷ στοϊκῷ Βαβυλωνίῳ ἀποδίδοται.

Περμενίδου δέ, ἐξ ὧν ἔφθημεν εἰπόντες 169, ἥδ' ἂν εἴη ἡ ἀκουστικὴ θεωρία. Καὶ ἡ ἀκοή, ὥςπερ πάντα τὰ ὄντα, ἐκ πυρὸς καὶ γῆς ἢ θερμοῦ καὶ ψυχροῦ, ὡς εἰκός, συνέστηκε· καὶ τῷ μὲν πυρὶ ἢ θερμῷ ἢ φωτί, τῷ τοῖς ὠσὶν ὑπάρχοντι, φωνῆς καὶ ἤχων καὶ μουσικῆς ἀκούομεν, τῇ δὲ γῇ ἢ τῷ ψυχρῷ ἢ τῇ νυκτὶ σιγῆς καὶ τῶν ὁμοίων αἰσθανόμεθα· ἐκλιπόντος γὰρ τοῦ πυρὸς ὡς ἐπὶ τοῦ νεκροῦ καὶ μόνον ψυχροῦ ὑπολειπομένου, τούτῳ ὁ νεκρὸς σιγῆς μόνον αἰσθάνεται κοὐ φωνῆς (τῷ γὰρ ὁμοίῳ τὴν αἴσθησιν ποιεῖται)· ταῦτα δ', ὡς ἂν εἴη εἰκάσαι ἐξ ὧν φησι Θεόφραστος ἐν τῷ Περὶ αἰσθήσεως καὶ αἰσθητῶν Α, α, 4.

Οἱ δὲ Πυθαγόρειοι περὶ τῆς ἀκοῆς ἀέρος εἶναι δοξάζουσι κατὰ Στοβαῖον IV, 235, 31 ἢ ὥςπερ τὰς αἰσθήσεις καθόλου οὕτω καὶ

τὴν ἀκοὴν ἰδίᾳ σταγόνας τῶν τε φρενῶν καὶ τοῦ νοῦ, τῶν ἐν τῷ ἐγκεφάλῳ, ἢ ἀτμὸν θερμὸν κατὰ Διογένην Η,α,29. Ἀλλὰ μὴν ὥσπερ τὴν ὄψιν, οὕτω καὶ τὴν ἀκοὴν τῷ ὁμοίῳ ποιεῖν δοκοῦσιν· ὁ γὰρ τῶν ἀκουστῶν ἀριθμὸς ἔοικε τῷ τῆς ἀκοῆς ὁμοίῳ ἀριθμῷ ἁρμόζων τὴν τῶν ψόφων αἴσθησιν ποιεῖν καὶ δὴ ἀριθμὸν ἀριθμῷ ἀκούειν· ὁ ἀριθμὸς γὰρ σὺν τῇ αὐτοῦ φύσει ἡ οὐσία ἐνομίζετο τῆς τ' ἀκοῆς καὶ τῶν ἀκουστῶν, καθ' ἅπερ καὶ πάντων τῶν ὄντων. Εὐρύφαμος δὲ καὶ Μέτωπος οἱ Πυθαγόρειοι λέγουσι τὴν ὀξυηκοίαν ὅτι ἀκρότης καὶ τελειότης τῆς τῶν ὠτων φύσεώς ἐστιν. Ὅρα δὲ καὶ σ. 169-172.

Ἀλκμέων δὲ τῷ ἐναντίῳ τὴν αἴσθησιν ποιεῖ καὶ δὴ καὶ τὴν ἀκοήν, ὡς εἰκός. Ἐν δὲ ταῖς λεπτομερείαις ἡ ἀκουστικὴ αὐτοῦ τοιάδε τις ἂν εἴη· αἰσθητήριον μὲν γὰρ τῆς ἀκοῆς τὰ ὦτα εἶναί φησιν Ἀλκμέων· οἶδε δ' ἐξ ἀνατομῶν βεβαίως ἐν τοῖς ὠσὶ *κενὸν* ἢ *κοῖλον* ἐνυπάρχειν· τὸ δὲ κενὸν ἢ κοῖλον τοῦτο σκοπίμως ἐνυπάρχειν· ἠχητικὸν γάρ, ἤτοι πρὸς ἦχου παραγωγὴν κατάλληλον· τῷ δὲ κενῷ, ἠχητικῷ ὄντι, ἐμπίπτων ὁ ἔξω ἀὴρ ἀντηχεῖ ἐν αὐτῷ καὶ οὕτω φθόγγος, ψόφος, ἦχος, τῷ ἐν τοῖς ὠσὶ κοίλῳ γίγνεται, ὡς ἐκ τῶν εἰρημένων ἄλλοις τε καὶ Θεοφράστῳ εἰκάσαι ἂν εἴη Περὶ αἰσθήσεως καὶ αἰσθητῶν 25· «Ἀκούειν μὲν οὖν φησι τοῖς ὠσίν, διότι κενὸν ἐν αὐτοῖς ἐνυπάρχει· » τοῦτο γὰρ ἠχεῖν, φθέγγεσθαι δὲ τῷ κοίλῳ, τὸν ἀέρα δ' ἀντηχεῖν». Ἐπεὶ δ' ἅπασαι αἱ αἰσθήσεις συνήρτηνταί πως πρὸς τὸν ἐγκέφαλον πόροις, δι' ὧν τὰ αἰσθητά, ἦχοί τε καὶ χρώματα καὶ ὀσμαὶ καὶ χυμοί, πρὸς τὸν ἐγκέφαλον διαδίδονται, τὸ κεντρικὸν πασῶν τῶν αἰσθήσεων ὄργανον, καὶ ἐπεὶ τῶν πόρων τούτων ἀδικουμένων πηροῦνται καὶ αἱ αἰσθήσεις, ἕπεται ἄρα, ὅτι ὁ ὡς ἄνω εἴρηται τῷ κοίλῳ γιγνόμενος ἦχος διὰ τοῦ τῆς ἀκοῆς πόρου ἢ νεύρου διαδίδοται πρὸς τὸν ἐγκέφαλον, ἐν ᾧ τὸ ἡγεμονικὸν καὶ ἐκεῖ γίνεται ἡ ἀκοή, ὅρα καὶ σ. 172-5. Πλούταρχος δὲ τὴν ἀκουστικὴν θεωρίαν Ἀλκμέωνος ὧδε λέγει Ἀρεσκ. Δ, ις, 2· «Ἀλκμέων ἀκούειν ἡμᾶς τῷ κενῷ τῷ ἐντὸς τοῦ ὠτός· τοῦτο γὰρ εἶναι τὸ διηχοῦν κατὰ τὴν τοῦ πνεύματος ἐμβολήν, πάντα γὰρ τὰ κενὰ ἠχεῖ». Αὐτολεξεὶ δέ πως αὐτὴν ἐκτίθησι καὶ Γαληνὸς 19,309 καὶ Στοβαῖος IV, 238.

Ἡράκλειτος δὲ τὴν ἀκοὴν τῷ ἐναντίῳ ποιῶν καὶ ταύτην ἀπατηλὴν ὥσπερ καὶ τὴν καθόλου αἴσθησιν ἡγεῖται· κατὰ δὲ τὴν ἀξίαν καὶ ἀκρίβειαν δευτέραν τὴν ἀκοὴν λέγει. Ὥσπερ δὲ πάσας τὰς αἰ-

σθήσεις, οὕτω καὶ τὰ ὦτα θυρίσι παρομοιάζει, δι' ὧν ἡ ὁμοούσιος τῷ ἀειζώῳ πυρὶ ψυχὴ τῆς ἐν τῷ παντὶ ψυχῆς κοινωνεῖ, ὅρα σ. 175.

Ἐμπεδοκλῆς δὲ τῷ ὁμοίῳ καὶ τὸ ἀκούειν ποιεῖ καὶ δὴ τῷ ἐναρμόττειν εἰς τοὺς πόρους τῆς ἀκοῆς τὰ ἀκουστά, ψόφους, ἤχους, φωνάς, ἤτοι τὰ σύμμετρα τοῖς πόροις τῆς ἀκοῆς μόρια τὰ ἀπὸ τῶν σωμάτων ἀπορρέοντα, καθ' ἅπερ καὶ περὶ τῶν ἄλλων αἰσθήσεων λέγει, ὅρα σ. 178. Θεόφραστος μὲν γὰρ τὴν Ἐμπεδοκλέους ἀκουστικὴν ὧδε ἐκτίθησιν Αἰσθ. 9· « τὴν δ' ἀκοὴν ἀπὸ τῶν ἔξωθεν γί» γνεσθαι ψόφων· ὅταν γὰρ ὑπὸ τῆς φωνῆς κινηθῇ ἠχεῖν ἐντός· ὥσπερ » γὰρ εἶναι κώδωνα τῶν ἔσω ἤχων τὴν ἀκοήν, ἣν προσαγορεύει *σάρ*» *κινον ὄζον*· κινουμένην δὲ παίειν τὸν ἀέρα πρὸς τὰ στερεὰ καὶ » ποιεῖν ἦχον ». Πλούταρχος δέ φησιν Ἀρεσκ. Δ, ις, 1· « Ἐμπεδοκλῆς τὴν ἀκοὴν γίνεσθαι κατὰ πρόσπτωσιν πνεύματος τῷ κοχλιώ» δει, ὅπερ φησὶν ἐξηρτῆσθαι ἐντὸς τοῦ ὠτός, κώδωνος δίκην αἰω» ρούμενον καὶ τυπτόμενον », καθ' ἅπερ καὶ Γαληνὸς αὐτολεξεί πως 19,309.

Ἐκ τῶν εἰρημένων Θεοφράστῳ Γαληνῷ τε καὶ Πλουτάρχῳ καὶ ἐκ τοῦ τὴν αἴσθησιν Ἐμπεδοκλέα ποιεῖν τῷ ὁμοίῳ τε καὶ τῇ συμμέτρῳ ἀπορροῇ φανερόν, δοκεῖ μοι, ὡς ἥδ' ἂν εἴη ἡ ἀκουστικὴ αὐτοῦ θεωρία.

Τὰς ἀπὸ τῶν σωμάτων συμμέτρους τοῖς πόροις τῆς ἀκοῆς ἀπορροάς, ἤτοι τὰς ἔξωθεν φωνάς, ψόφους, ἤχους, πάντως ἀέρος, πνεύματος, « *αἰθέρος* » εἶναι, ἐν φορᾷ δὲ κινεῖσθαι ᾤετο Ἐμπεδοκλῆς· ἀέρος γὰρ τὸ ἔσω οὖς πλῆρες εἶναι λέγων, ὡς εἰκός, καὶ τοὺς ἔξω ἄρα ψόφους ἀέρος ᾤετο· καὶ τὴν ἀκοὴν γὰρ τῷ ὁμοίῳ ποιεῖ· τὴν δὲ κίνησιν εἶναι διὰ τὴν ἀπορροήν. Οἱ ἐν κινήσει δ' οὗτοι ἔξωθεν ἀερώδεις ψόφοι τῷ κοχλιώδει χόνδρῳ προσπίπτοντες, ὃν Ἐμπεδοκλῆς μὲν *σάρκινον ὄζον* προσαγορεύει, οἱ δὲ μετέπειτα *τὸ κοχλιῶδες, κόγχην, ἔξω οὖς*, κινοῦσιν αὐτόν· ὅταν δὲ τὸ κοχλιῶδες ὑπὸ τῆς ἔξωθεν ἀερώδους φωνῆς κινηθῇ, κώδωνος δίκην παίει ἐν τῇ τρομώδει ταύτῃ κινήσει τὸν ἐν τοῖς ὠσὶν ἀέρα πρὸς τὰ στερεὰ τοῦ κοίλου τείχη καὶ οὕτω ἦχον ποιεῖ ἐντός. Πρὸς ἀκοὴν ἄρα Ἐμπεδοκλῆς δύο ψόφους ἀναγκαίους παραδέχεται, τὸν ἔξωθεν ψόφον τὸν ἀπὸ τῶν σωμάτων ἀπορρέοντα, καὶ τὸν ἐντὸς τοῦ ὠτὸς ψόφον, ὃν τὸ κοχλιῶδες ὥσπερ κώδων ποιεῖ· τὸ ὅμοιον ἄρα τῷ ὁμοίῳ ἀκούομεν, τῷ ἐντὸς τοῦ ὠτὸς ψόφῳ ἀκούομεν τὸν ἔξωθεν ἦχον, ἤτοι τῷ ἐντὸς ἀέρι κινηθέντι ὑπὸ τοῦ ἔξω

ἀντιλαμβανόμεθα τῆς τοῦ ἐκτὸς ἀέρος κινήσεως. Τοιαύτη τις δοκεῖ μοι ἡ Ἐμπεδοκλέους ἀκουστική.

Θεόφραστος δ' Ἐμπεδοκλέα ἐλέγχων, ὅτι τῷ ὁμοίῳ πάσας τὰς αἰσθήσεις καὶ δὴ καὶ τὴν ἀκοὴν ποιεῖ, οὐ ψόφῳ τὸν ψόφον ἀκούομεν, φησὶν Αἰσθ. 19, ἀλλὰ μᾶλλον τοῖς ἐναντίοις, ἤχου δ' ἐνόντος ἐν ὠσί, κωφοτέρα ἡ ἀκοὴ γίγνεται μᾶλλον, ὅσῳ ἂν πλήρης ᾖ ψόφων, καὶ δὴ καὶ ἀμβλύτερον ἀκούομεν. Καὶ τὴν τῶν ἀκουστῶν δ' ἀπορροὴν ἀντικρούει τὴν τοῦ φωτὸς μόνον παραδεχόμενος Αἰσθ. 20. Περὶ δὲ τὴν ἀκοήν, φησὶν Αἰσθ. 21, ὅταν ἀποδῷ Ἐμπεδοκλῆς «τοῖς ἔσωθεν » γίνεσθαι ψόφοις ἄτοπον τὸ οἴεσθαι δῆλον εἶναι πῶς ἀκούουσιν, ἔν- » δον ποιήσαντος ψόφον ὥςπερ κώδωνος. Τῶν μὲν γὰρ ἔξω δι' ἐκεῖ- » νον ἀκούομεν, ἐκείνου δὲ ψοφοῦντος διὰ τί; τοῦτο γὰρ αὐτὸ λείπε- » ται ζητεῖν». Ἀλλ' ἔμοιγε δοκεῖ, τὸν ἔσω ψόφον Ἐμπεδοκλῆς οὐχ ὡς τι ἀκουστὸν ἀλλὰ τὸ ᾧ ἀκούομεν ἡγεῖται, ὥςπερ καὶ τὸ ἐν τοῖς ὀφθαλμοῖς πῦρ οὐχ ὡς ὁρατὸν ἀλλὰ τὸ ᾧ ὁρῶμεν.

Κατὰ δὲ τὴν ἀκουστικὴν θεωρίαν Δημοκρίτου διὰ τῶν ἀπορροῶν καὶ τῇ ἐκ τούτων ἀλλοιώσει τῶν ὤτων ἡ ἀκοὴ γίγνεται, οἱονεί ἀφή τις ἐντὸς τοῦ ὠτὸς οὖσα, ὡς Θεόφραστός φησιν Αἰσθ. 55-57, ὅρα καὶ σ. 181 - 186. Ὡς γὰρ ἐκ τῶν ὁρωμένων οὕτω καὶ ἐκ τῶν ἠχούντων σωμάτων ἀπορροάς, ῥεύματα ἀτόμων, ἀπολύεσθαι· ταῦτα δὲ τὸν προκείμενον ἀέρα κινεῖν καὶ πυκνοῦν καὶ τοῖς ἐν αὐτῷ ὁμοίοις ἀτόμοις συνίστασθαι κατὰ τὸ «ὅμοια πρὸς τὰ ὅμοια φέρεσθαι», οὕτω δὲ συνηνωμένα τοῖς ὁμοίοις τοῦ ἀέρος τὰ ἐκ τῶν ἠχούντων ἀπορρέοντα ἄτομα ἐμπίπτοντα μετὰ βίας εἰς τὸ κενὸν τοῦ ὠτὸς κίνησιν ἐμποιεῖν καὶ δὴ τοῖς ὁμοίοις ἀτόμοις τῆς ψυχῆς ἐνούμενα τὴν ἀκοὴν ποιεῖν· τὰς δὲ φωνὰς ἢ ψόφους ἢ ἤχους διὰ τὸ τάχος κατὰ πᾶν τὸ σῶμα σκίδνασθαι· τὴν γὰρ φωνὴν γίγνεσθαι οἴεται πυκνουμένου τοῦ ἀέρος καὶ μετὰ βίας εἰσιόντος. Καὶ ἐν τῇ ἀκοῇ ἄρα οὐκ ἄμεσος, ἀλλ' ἔμμεσος ἡ δρᾶσις. Καὶ τῶν ὤτων δ' ἡ εὔθετος καὶ κατάλληλος κατα- σκευὴ ὀξυηκοίαν ποιεῖ· «ὥσπερ οὖν ἐκτὸς ποιεῖ τῇ ἀφῇ τὴν αἴσθη- » σιν», φησὶ Θεόφραστος Αἰσθ. 56, «οὕτω τῇ ἀκοῇ ἐντός. Ὀξύ- » τατον δ' ἀκούειν, εἰ ὁ μὲν ἔξω χιτὼν εἴη πυκνός, τὰ δὲ φλέβια » κενὰ καὶ ὡς μάλιστα ἄνικμα καὶ εὔτρητα κατά τε τὸ ἄλλο σῶμα » καὶ τὴν κεφαλὴν καὶ τὰς ἀκοάς, ἔτι δὲ τὰ ὀστᾶ πυκνὰ καὶ ὁ ἐγκέ- » φαλος εὔκρατος καὶ τὸ περὶ αὐτὸν ὡς ξηρότατον· ἀθρόον γὰρ οὕ-

» τως εἰσιέναι τὴν φωνὴν ἅτε διὰ πολλοῦ κενοῦ καὶ ἀνίκμου καὶ » εὐτρήτου εἰσιοῦσαν, καὶ ταχὺ σκίδνασθαι καὶ ὁμαλῶς κατὰ τὸ » σῶμα καὶ οὐδὲ ἐκπίπτειν ἔξω ». Ἀκούειν ἄρα τοῖς ὠσὶ μόνον, ὅτι πολὺ ἐν αὐτοῖς κενὸν ὑπάρχει. Οἴεται δὲ κατὰ πᾶν μὲν τὸ σῶμα τὸν ψόφον εἰσιέναι καὶ ὅταν διὰ τῆς ἀκοῆς εἰσέλθῃ κατὰ πᾶν διαχεῖσθαι τὸ σῶμα, μόνον δὲ τῇ ἀκοῇ αἰσθάνεσθαι, ὡς διὰ πλείστου κενοῦ ὁ ψόφος διέρχεται καὶ ἥκιστα διαμένει ταχὺ διαχεόμενος. Ὡς δὲ Πλούταρχός φησιν ἐν Ἀρεσκ. Δ, ιθ, 3 καὶ Γαληνὸς 19, 311, Δημόκριτος τὴν φωνὴν ἢ ἦχον ἢ ψόφον ἀπὸ τῶν φωνούντων ἢ ἠχούντων ἢ ψοφούντων ἀπορρέοντα εἰς ὁμοιοσχήμονα θρύπτεσθαι θραύσματα λέγει· πρὸς δὲ καὶ τὸν ἀέρα εἰς ὁμοιοσχήμονα θρύπτεσθαι σώματα καὶ συγκαλινδεῖσθαι τοῖς ἐκ τῆς φωνῆς ὁμοιοσχήμοσι θραύσμασιν.

Ἀναξαγόρας δὲ τὴν ἀκοὴν ἐν τῷ ἐγκεφάλῳ γίγνεσθαί φησι, τοῦ ψόφου διὰ τῶν ὤτων μέχρις αὐτοῦ διικνουμένου, ὡς φησι Θεόφραστος Αἰσθ. 28· «τὸ δὲ [ἀκούειν] τῷ διικνεῖσθαι τὸν ψόφον ἄχρι τοῦ ἐγκε- » φάλου· τὸ γὰρ περιέχον ὀστοῦν εἶναι κοῖλον εἰς ὃ ἐμπίπτειν τὸν » ψόφον ». Ὥσπερ δὲ πᾶσαν αἴσθησιν, οὕτω καὶ τὴν ἀκοὴν τοῖς ἐναντίοις γίγνεσθαι οἴεται, φανερὸν δὲ τοῦτο ἐκ τοῦ λύπην καὶ πόνον τοὺς ὑπερβάλλοντας ψόφους ἐμποιεῖν διὰ τὸ ἀνόμοιον Αἰσθ. 29. Καὶ τὴν ἀκοὴν δὲ τῇ τῶν ἀκουστῶν συμμετρίᾳ γίγνεσθαί φησι· τὰ μὲν ἄρα μεγάλα ζῷα τῶν μεγάλων καὶ πόρρωθεν ἀκούουσι, τὰ δὲ μικρὰ τῶν μικρῶν καὶ τῶν ἐγγύς· οὔτε δὲ τὰ μικρὰ τοῖς μεγάλοις ζῴοις αἰσθητὰ οὔτε τὰ μεγάλα τοῖς μικροῖς, καὶ δὴ κατὰ τὸ μέγεθος τῶν ὤτων ποιεῖ καὶ τὸ ὀξυήκοον, καθ' ἃ φησι Θεόφραστος Αἰσθ. 30. Ἀκούειν δὲ τὴν νύκτα μᾶλλον ἢ τὴν ἡμέραν· τὸν γὰρ ἀέρα ὑπὸ τοῦ ἡλίου θερμαινόμενον κινεῖσθαι κίνησιν τρομώδη καὶ παλμώδη, ὡς ἐκ τῶν διὰ τοῦ φωτὸς πάντοτε διαττόντων μικρῶν ψηγμάτων καὶ θραυσμάτων φανερόν· ταῦτα δὲ σίζοντα καὶ ψοφοῦντα ἡμέρας ὑπὸ τῆς τοῦ ἡλίου θερμότητος, τὰς φωνὰς δυσηκόους τῷ ἑαυτῶν ψόφῳ καθιστάναι, νύκτωρ δὲ τοῦ σάλου αὐτῶν τῇ τοῦ θερμοῦ ἐλλείψει φθίνοντος, μᾶλλον ἀκούειν ἡμᾶς, ὡς φησιν Ἀριστοτέλης Προβλήμασι ΙΑ, λγ καὶ Πλούταρχος Συμπ. Πρβλ. Η,γ,3. Ὡς δὲ Πλούταρχός φησιν ἐν Ἀρεσκ. Δ, ιθ, 6, « Ἀναξαγόρας τὴν φωνὴν γίνεσθαι πνεύματος ἀντιπεσόν- » τος μὲν στερεμνίῳ ἀέρι, τῇ δὲ ὑποστροφῇ τῆς πλήξεως μέχρι τῶν » ἀκοῶν προσενεχθέντος· καθὸ καὶ τὴν λεγομένην ἠχὼ γίνεσθαι ».

Πρωταγόρας δ' ὥσπερ τὴν ὅρασιν, ὅρα σ. 189, ὁμοίως, ἔμοιγε δοκοῖ, καὶ τὴν ἀκοὴν ἐποίει, εἰ καὶ μηδὲν ἄλλο περὶ ἀκοῆς λέγει ἡμῖν Πλάτων ἐν Θεαιτήτῳ 153. 156 ἢ ὅτι αἱ φωναὶ ὁμόγονοι ἀκοαῖς εἰσι καὶ ὅτι αἱ μὲν *ἀκοαὶ* αἴσθησις, αἱ δὲ *φωναὶ* αἰσθητόν ἐστιν. Ἀλλὰ μὴν ἐκ τούτων μόνον φανερὸν ὅτι καὶ ἡ ἀκουστικὴ θεωρία Πρωταγόρου, ὡς καὶ ἡ τῶν ἄλλων αἰσθήσεων, ὁμοία τῇ ὀπτικῇ ἐστι. Τὸ ποιοῦν ἤτοι τὸ οὖς καὶ τὸ πάσχον τὸ σύμμετρον τούτῳ, ἤτοι τὸ ἀκουστόν, πρὸς τὴν προσήκουσαν φορὰν φερόμενα καὶ ἀλλήλοις συνελθόντα γεννῶσι *φωνήν* τε ἢ ἦχον ἢ ψόφον καὶ αἴσθησιν αὐτῇ σύμφυτον, *ἀκοήν*· τότε δὴ μεταξὺ φερομένων τῆς μὲν ἀκοῆς ἀπὸ τῶν ὤτων, τῆς δὲ φωνῆς ἀπὸ τοῦ συναποτίκτοντος τοὺς ψόφους αἰσθητοῦ, τὸ μὲν οὖς ἔμπλεων ἀκοῆς γίγνεται καὶ ἀκούει καὶ γίγνεται οὔ τι ἀκοὴ ἀλλ' οὖς ἀκοῦον, τὸ δὲ συγγεννῆσαν τὸν ψόφον φωνῆς περιπίμπλαται καὶ γίγνεται οὐ φωνὴ ἀλλὰ φωνητικόν τι χρῆμα. Οὔτε φωνὴ ἄρα οὔτε ἀκοὴ ἐστί τι καθ' ὑπόστασιν, ἀλλὰ φάσμα γιγνόμενον ἐκ τῆς προσβολῆς τῶν ὤτων πρὸς τὸ αὐτοῖς σύμμετρον. Ἐκ τῆς φορᾶς ἄρα καὶ κινήσεως καὶ κράσεως τῶν συμμέτρως ἀλλήλοις ἐχόντων ἐν μὲν τῷ αἰσθητηρίῳ τῆς ἀκοῆς γίγνεται ὡρισμένη τις αἴσθησις, τὸ δ' αἰσθητὸν πρᾶγμα συναποτίκτει ὡρισμένην τινὰ ποιότητα· πάντα δὲ ταῦτα φάσματα γιγνόμενα φαίνεται, κοὐκ ἔστιν αὐτὰ καθ' αὑτά. Ὁ αὐτὸς ἦχος, ὥσπερ καὶ τὸ αὐτὸ χρῶμα, ἄλλος ἄλλῳ φαίνεται καὶ τῷ αὐτῷ ἀνθρώπῳ οὐχ ὁ αὐτὸς ἀεί· οὐδὲν ἄρα αἰσθητὸν ἄνευ αἰσθανομένου ὑπάρχει, ἀλλ' οὔτ' αἴσθησις ἄνευ αἰσθητοῦ· τὰ πάντα ἐν σχέσει καὶ ἀλληλοπαθείᾳ ὑφίσταται κοὐκ αὐτὰ καθ' αὑτά· «*τὸ δοκοῦν ἑκάστῳ τοῦτο καὶ εἶναι παγίως*»· «*μέτρον* γὰρ *πάντων χρημάτων ἄνθρωπος*». Γοργίας δὲ περὶ ἀκοῆς τοσοῦτον εἴρηκεν ὅτι τῇ ἀκοῇ μόνῃ αὐτῇ τῶν ἀκουστῶν, ἤχων, ψόφων, φωνῶν, ἀντιλαμβανόμεθα, οὔτε δ' ὁρατοὶ οὔτε διανοητοὶ οὐδὲ τῷ λόγῳ λεκτοὶ οἱ ἦχοι κατὰ τὸ Περὶ Γοργίου Ἀριστοτέλους ς'. 3,681,25.

γ'. *Περὶ ὠτικῶν παθῶν ἀπὸ Ὁμήρου μέχρις Ἱπποκράτους.*

Ὁ κωφὸς Σοφοκλεῖ «*κλύων μηδέν*», πρὸς δὲ «*τυφλὸς τὰ ὦτα*» λέγεται Οἰδίποδι τυράννῳ 370· εὖ δ' οἶδεν ὅτι τῶν ὤτων φραττομένων δυσηκοία ἐπιγίγνεται 1386· «*εἰ τῆς ἀκουούσης ἔτ' ἦν πηγῆς δι' ὤτων φραγμός*»· ἀκούουσαν δὲ πηγὴν δοκεῖ λέγειν τὸ κύριον τοῦ

αἰσθητηρίου τῆς ἀκοῆς ὄργανον. Κώφωσιν δὲ καὶ δυσορασίαν ἅμα τὴν δυστυχίαν τοῖς ἀνθρώποις ἐπάγειν φησὶ κατὰ Στοβαῖον Περὶ ἀφροσύνης Δ, 1. I,95·

Ἀλλ' οἱ κακῶς πράσσοντες οὐ κωφοὶ μόνον,
ἀλλ' οὐδ' ὁρῶντες εἰσορῶσι τἀμφανῆ.

Ἔκπαλαι δ', ὡς ἔοικε, γνωστὸν ἦν ὡς ὁ ἐκ γενετῆς κωφὸς γενόμενος καὶ ἄφωνος ἢ ἐνεὸς γίγνεται· Ἡρόδοτος γάρ, ὡς εἴρηταί μοι καὶ πρότερον σ. 199, τὸν αὐτὸν τοῦ Κροίσου παῖδα *κωφὸν* μὲν λέγει ἐν A, 34, 2, *διεφθαρμένον* δὲ *τὴν ἀκοὴν* ἐν A, 38, ὃν διὰ τὸ πάθος τοῦτο Κροῖσος οὐκ εἶναι αὐτῷ λογίζεται, *ἄφωνον* δ' ἐν A, 85. Ἀριστοτέλης δὲ τὴν ἀληθῆ ταύτην παθολογικὴν παρατήρησιν διαρρήδην λέγει, ὅτι «ὅσοι κωφοὶ γίνονται ἐκ γενετῆς πάντες καὶ ἐνεοὶ γίνονται», ἐν ταῖς Περὶ τὰ ζῷα ἱστορίαις Δ, η, 8. Ἡ κώφωσις παλαίτατα, ὥσπερ καὶ ἡ τυφλότης, δεινὸν κακὸν θεωρεῖται. Ὁ Κροῖσος ὅτι ὁ μὲν τῶν παίδων *κωφὸς* ὢν διετέλει ἴσον δεινὸν οἰόμενος τῷ τὸν ἕτερον ἀποθανεῖν, καθ' ἅπερ Ξενοφῶν λέγει ἐν Κύρου παιδείᾳ Z, β, 20.

Ὥσπερ δὲ πάλαι καὶ παρὰ τοῖς Ἕλλησιν ἡ τιμωρία τοῦ τέμνειν τὰ ὦτα ἐν χρήσει ἦν, ὡς εἴρηταί μοι σ. 144, οὕτω καὶ κατὰ τοὺς μετέπειτα χρόνους Κῦρος ὁ Καμβύσου Περσῶν ἄρχων τὰ ὦτα ἀπέτεμε τοῦ μάγου τοῦ Σμέρδιος, ὃς Περσῶν ἐβασίλευσεν ὦτα οὐκ ἔχων, ὡς φησιν Ἡρόδοτος Γ, 69, 4. Παρὰ δὲ τοῖς Σκύθαις ἔθος ἦν κατὰ τὴν κηδείαν βασιλέως τοῦ ὠτὸς ἀποτέμνεσθαι τούς τε βασιλείους Σκύθας καὶ τὸ ἄλλο ὑποτελὲς ἔθνος, εἰς ὃ τὸν νεκρὸν τοῦ βασιλέως ἐν ἁμάξῃ κομίζειν εἰώθεσαν Δ, 71,2.

ΔΙΟΡΘΩΤΕΑ.

Ἀνασκοποῦντες τὸ τελειωθὲν ἔργον τὴν τοῦ σοφωτάτου Σωκράτους γνώμην πάνυ γε ἀνομολογοῦμεν· « *χαλεπὸν γὰρ οὕτω τι ποιῆσαι ὥστε μηδὲν ἁμαρτεῖν, χαλεπὸν δὲ καὶ ἀναμαρτήτως τι ποιήσαντα μὴ ἀγνώμονι κριτῇ περιτυχεῖν* », Ξεν. Ἀπομν. Β, η, 5.

Καὶ ἃ μὲν αὐτὰ ἀφ' ἑαυτῶν δῆλα οἴχοθεν ὁ ἀναγνώστης διορθοῖ, ἀλλ' ὑποδεικτέα πως τῶν φιλαιτίων χάριν, οἷον δὴ παρεωραμένα τινά·

α') περὶ τὴν *στίξιν*,

β') ἐν τῇ *διαιρέσει τῶν συλλαβῶν*, ὡς ἐν 4, 8. 5, 3 κ. 27, 4. 33,9 κ. 43, 2 — *φθ*, ἐν 8, 16. 76, 1. 93, 10κ. 158, 4. 176,2— *κμ*, ἐν 12, 24. 45, 11. 80, 15κ. —*μν*, ἐν 21, 3—*κτ*, ἐν 40, 19— *χν*, ἐν δὲ 11, 23. 195, 8 *εξ*—, ἐν 28, 10. 68, 10 *προσ*—, ἐν 138, 1κ. *δυσ*—, καὶ ἐν 106, 9κ. *ὑπερ*—.

γ') ἐν τῇ *εὐφωνίᾳ*, ὡς πρόσθες *ν* ἐν 4, 20. 11, 18. 14, 6. 27, 13. 32,1. 36,3κ. 41, 8. 42, 6 κ. 43, 13. 46, 7 κ. 50, 22. 57,3κ. 61, 2. 64,8κ. 72,1, 2κ. 94,8κ., 3 κ. 98, 13 κ. 117, 9. 130, 10. 134, 22. 145, 10 κ. 146, 2 κ. 150,13. 154, 14κ. 159, 4. 160, 8, 8κ. 163, 15 κ. 165, 16. 171, 8. 175, 4. 177, 8, 11. 191, 4 κ. 204, 16 κ. 210, 6, ἄφελε δὲ τὸ *ν* ἐν 18, 22. 38, 1 κ. 59, 9. 74, 14. 80, 7 κ. 81, 2κ. 92, 4. 108, 3 κ. 127, 17. 134, 14. 182, 6. 197, 9· πρ. *ς* ἐν 4, 23. 37, 14 197, 10, ἀφ. *ς* 39, 10 κ.

δ) Οὐ μὴν ἀλλὰ καὶ περὶ τὴν *τόνωσιν*, ὡς 9, 8 κ. 13, 17. 19, 2 κ. 23, 14. 29,10κ. 33, 2κ. 35,5. 41, 5, 42, 12κ. 49, 9. 65, 2. 66,6κ. 81, 12κ. 82,18. 104, 25. 113, 4. 116, 3. 121, 15 κ. 122, 22. 123, 18. 124, 3 κ. 126, 15, 8 κ. 128, 8, 9. 129, 3. 140, 5. 153, 23. 154, 10 κ. 156, 14 κ. 167, 9κ. 168. 9. 171, 2. 172, 15 κ. 190, 1. 195, 8 κ., 7 κ. 202, 7. 207, 16. 226, 4κ. 240, 10.

ε') καὶ ἐν τῇ *ἐγκλίσει τοῦ τόνου*, ὡς ἐν 32,11. 77,10. 79,2. 109, 11. 132, 5. 138, 9κ., 1κ. οἷός (ν) τ', ἐν 31,24. 111,3. 115, 11 κ, 9κ., 7 κ., 5 κ., 3κ. 118, 14. 123, 6 κ. 127, 14 δέ οἱ, πρὸς δὲ 29, 6. 74, 4. 82, 15. 91, 24. 93, 4 κ. 94, 11. 117,13. 118, 3 κ. 121, 9. 122,15. 124, 14κ. 126,16. 157, 14. 168, 6, 5κ. 194, 20. 196, 5κ. 198, 4κ. 214, 11κ.

ς') καὶ ἐν τῷ *πνευματισμῷ*, ὡς θὲς πνεῦμα ψιλὸν μὲν ἐν 16,8. 24,9. 31, 15, ἐν || 33, 19. 48, 7 κ. 94, 12 κ. 133, 3 κ. 153, 1 κ. 193, 3 κ. ||, 40, 16. 42, 10, ἐν || 55, 9. 113, 5κ. 160, 11. ||, 63. 15. 75, 4κ. 85, 18. 87, 1κ. 92, 13κ. 94, 8. 110, 13 114, 11 κ., ἐν || 124, 19. 151, 7 κ. 192, 10 κ. ||, 146, 2 κ. 148, 3. 166, 11 κ., 9 κ. 239, 3. 194, 15 κ. 201, 10, *δασὺ* δὲ ἐν 22, 16. 31, 26. 43, 20. 46, 14. 54, 2κ. 62, 1. 66, 16. 76, 17 κ. 86, 20. 88, 20, 10 κ. 90, 13. 103, 16. 115,16,11κ. 123,9.127,13κ. 130, 2. 135, 4. 143,11κ. 159, 6, 13. 167, 8κ. 161,7κ. 162, 11 κ. 193, 15 κ. 198, 3. 202, 5. 220, 5 κ. 223, 4 κ. 227, 3 κ. 237, 6 κ.

Τὰ δὲ κυριώτερα τάδε:

Σελίς.
3, 11 ὀφθαλμικῶν
— 4 κ. ὀφθαλμολογίαν
5, 24 Ἄρ'
— 30 ὑπ' αὐτῆς
6, 18. 172, 9 (ὑπερ) ορᾶν
— 21. 18, 3 κ. 85, 14 κ. τοῦτο ἢ τοῦθ'
7, 6 ἐν γένει ἄρα
— 15. 19, 7. 156, 15 κ. ζῴων
— 19 ὑπερβάλλουσαν
— 3 κ. 9, 9κ. 15, 10. 154, 4 κ. ἐποιοῦντο
8, 13 κ., 11 κ. κριὸν
16, 2 κακίζει
— 21 ἀμεμπτότατα
18, 24 ἐν τῇ *Εἰσαγωγῇ* ἢ Ἰατρῷ
21, 5 κ. οὐρανισκόφωνον
22, 8 κ. Ἴωνας
23, 11 κ. Ἐπιδαύρῳ
— 6 κ. ἀποσπάσματι
— 4 κ. ἀ
26, 9κ. δ' ἀντὶ τ'
27, 24 ἀφ. *καὶ Ζωραβὰρ 149*
29, 12 θηλυκόν
— 18 Ἔνιοι
30, 11 κ. φαίεσσιν
31, 20. 32, 14. 112, 14. 135, 11 σκληρὸν (ῶ)
— 6 κ. 35, 6 τούτου ἕνεκεν
— 2 κ. 42, 16 ἄφελε *μέσα(ων)*
33, 20 ὀφθαλμῶν
34, 16. 37, 8 ὅας ἀντὶ ὗας
35, 18. 83, 2κ. 133, 7κ. 139, 11. 180, 1. 233, 2 οὐδὲ
— 24 ἃς ἀντὶ ὗς
38, 6 ἀκουήν.
— 23 Στρωματέων
— 6 κ. 222. 4 ἐξορύττοντες
40, 9 κ. κνίσῃ
42, 25. 108, 5. 231, 12. Ὡς
43, 3 ἀπαλλάττει
— 5 sanguine
44, 2 ἐκκενουμένου
— 18 τὰ δὲ
— 3 κ. ὑπόχυσιν
— 2 κ. ὑπάρχων

Σελίς.
— 1 κ. ἐπινενοῆσθαι
45, 10 ἀνεκοίνουν
47, 2. 50, 2. 227, 2 κ. οὐδὲν(ενός)
49, 5 *εἰ πάνυ*
50, 12 οὔπω ἀντὶ μηκέτι
— 7 κ. 169, 7, 20 ταῦτα ἢ ταῦθ'
51, 10κ., 9κ. οὐδεμίαν...οὐδὲ
52, 7. 72, 17. 152, 18. 175, 1. 222, 14 πιθανώτατον (τερον)
— 18 καθ' ἕκαστα
53, 17 προκέηται
54, 6 εὑρέτιδες
— 12. 193, 4. 195, 8 κ. Ἡσίοδος
56, 5 πολυφάρμακον
— 15 ἀρίστη
58, 6 Χαρμίδη
— 5κ. 62, 7, 10. 67, 6. 88, 4. 94, 9. 99, 11κ. 105, 12, 12 κ. 135, 21. 136, 2. 177, 15 κ. 181, 4 αὐτοῦ (ῷ)
59, 7. 69, 8, 3 κ. 70, 6 κ. 71, 14 κ. 72, 2κ. 104, 7κ. 229, 8κ. τὰ μάλιστα
60, 2 χρεία
61, 21 Ἐκάβην
64, 1 Σθενεβοίας
— 6 Στράβωνα
— 16 δι'
66, 11. 92, 11. 111, 11, 16. 128, 17 Σχολίοις
67, 19 ἐξεῖλκε
68, 9 κ. ἡρώων
70, 2 ῥωμαλέον
71, 13 κ. Συρακουσίου
— 5 κ. ὀξέος
73, 8 κυνηγετικῇ
74, 18 Πηνελόπη
75, 7. 135, 6κ. 178, 6 κ. 193, 20 αὐτοῦ
76, 4 Ταλθύδι'
78, 15 κ. αὐτῆς
— 11. 108, 8. 135, 1. 228, 17. ἐκτεμὼν
79, 4 Ἀλκήστιδι
80, 2 *πίναξιν* ἀντὶ πλαξὶν
81, 1 κ. διορισάμενος

Σελίς.
82, 3 κ. γεννηθέντα
84, 8 κ. 116, 10 ὥστε ἢ ὡσθ'
85, 9 Μεγαλοπόλεως
87, 17 θαυματουργικώτερον
— 7 κ. τό τε ἢ τό θ'
88, 5 Ἱεροῖς
88 10 κ. ἤ τους
89, 4 κ. 92·
90, 10 Θρᾴκη
93, 16 κ. Ἀνύτης
94, 11 ἀποδοῦναί οἱ
— 11 κ. ἠβούλετο
99, 11 κ. οὔτε ἢ οὐθ'
104, 1 ὑφ' Ἑκαμήδης
— 10 πολυφάρμακον
— 7 κ. Ὁ
107, 7 κ. *θεραπευομένους*
— 5κ. *οὔτε...οὔτε*
109, 6 Πλούταρχός
111, 6 βλεφάρων
113, 2 Ἀγαμέμνονι
115, 6 κ. ἐμφανίσεως
118, 3 διοτρεφές,
119, 11 κ. Αἰσχύνην
121, 7 μηδὲ
— 11 μοί.
— 13 Ἕκτορος
— 17. 125, 8, 10, 11, 17, 19 160, 9 ταῖς
— 6 κ. ὧν
122, 12 ἡδέος
— 14 τίπτε-
— 6 κ. ἐπένθει
125, 13 κυανέησιν
— 2 κ. ὧδε
127, 3, 14 κ. σκοτοδινία
128, 10 παροράσεις
131, 4 ὑπερβαλλούσης
132, 8. 142, 2 κ. δύο
134, 14. 173, 5 κ. ἐκτίθησι,
138, 2 κ. οὐδ' ἀντὶ καὶ

Σελίς.
— 1 κ. τότε ἢ τόθ',
140, 10 κ. ἑξ
143, 16 σιαγόνα
152, 10 ἀπόσπασμα 601 *c.* 564 *e.*
154, 3 κ. δέ, φησὶ
155, 11 τό τ'
159, 9 ἰσχύι
— 4 κ. ὄφεως
160, 6 Ἠῶ
161, 4 κ. πύρσ' ...1265
— 3 κ. Κύκλωπι
162, 13 κ. οἶνον
163, 17 κυρταὶ
165, 18 746.
166, 9 οὔτ'..οὔτ'..οὐδεμίαν..οὐδ'
— 6 κ. ὁ Ἀναξαγόρας τὸν νοῦν,
171, 12 Πυθαγόρειος
— 19. 9, 8 κ. καὶ
176, 18 ἀειζώῳ
181, 1 τοῦτο ἀντὶ τοῦτ' ἂν
182, 13 κ. πανταχοῦ
189, 3 κ. συνεκπιπτουσῶν
190, 22 ἅμ'
200, 13 κ. ταὐτοχρόνῳ
— 2 κ. σύναμα
201, 8κ. σταγόνα
202, 11 ἠλεκτροφανεῖς
204, 7 ἀμιλλώμενοι
— 10κ. ἑταιρειῶν
207, 3 Ἀρίστην δὲ φήμην
— 13 Ἱπποκοάτους
— 6 κ. ἐνεακαιδέκατος
210, 1 ἀρ-χηγὸς
211, 1 ἀφικομένους
218, 5 κ. Ἀθήνησι
— 1 κ. ὀφθαλμῶν
231, 14 *ὀψιανοῦ* ἀντὶ ὑάλου
233, 13 κ. ἦν
239, 13 κ. στωϊκῷ
— 12 κ. Παρμενίδου